Μέχρι Cass. Aug. Pal. Gr. I. B. Mosqu. Haack. Bekk. Goell. Vulgo *μέχρις*. „*Μέχρι* lego, quomodo et Herodotus, vid. Eustath. et Thom. Mag." WASS. „Thomas scribit Thucydidem semper dicere *μέχρι* etiam sequente vocali, ceteros tantum sequente consonante. Phrynichus ubique *μέχρι* et *ἄχρι* dici iubet ac *μέχρις* et *ἄχρις ἀδόκιμα* pronunciat. Liber Cass. quam plurimis locis habet *μέχρι* sequente vocali." DUK. Cf. I. 1. p. 215.

Ἐπέπεσε. Cass. Aug. Cl. F. Pal. It. Vat. H. Reg. (G.) Cam. Gr. (nisi quod hic *ν* ephelc. addit,) Bekk. Goell. *ἐξέπεσε*. Quod recipere dubitavimus, quoniam *ἐξπίπτειν* cum dativo et de animi motibus a scriptore nostro non dicitur. Aut vulgata igitur servanda, aut *ἐνέπεσε* restituendum, quod frequentissimum est hac in re vocabulum. Cf. Ind. verb.

Περιστᾶσιν Cass. Steph. 2., quod a Reisk. Heilm. nobisque commendatum receperunt Haack. Bekk. Goell. Vulgo *περὶ στάσιν*. It. Vat. *περίστασιν*. I. in marg. al. man. *περὶ στάσει*. Cf. adnot.

2. *Ἐγχειρήσαντες*. Cl. F. Gr. *ἐγχειρίσαντες*.

Λιθουργά. „Sic mss. et Schol. Suidas *λιθουργικά* corrupte. Pollux etiam VII, 125. hinc emendandus ex C. A. *Λιθουργική* est ars ipsa. vid. Diodor. 317. c." WASS. „Locus Suidae est v. *λογάδην*." DUK. „*Λογάδην*, *ἐπι-*

Digitized by Google

ξυνετίθεσαν ὡς ἕκαστόν τι ξυμβαίνοι· καὶ τὸν πηλὸν, εἴ που δέοι χρῆσθαι, ἀγγείων ἀπορίᾳ ἐπὶ τοῦ νώτου ἔφερον, ἐγκεκυφότες τε, ὡς μάλιστα μέλλοι ἐπιμένειν, καὶ τὼ χεῖρε ἐς τοὐπίσω ξυμπλέκοντες, ὅπως μὴ ἀποπίπτοι. 3. παντί τε τρόπῳ ἠπείγοντο φθῆναι τοὺς Λακεδαιμονίους τὰ ἐπιμαχώτατα ἐξεργασάμενοι πρὶν ἐπιβοηθῆσαι· τὸ γὰρ πλέον τοῦ χωρίου αὐτὸ καρτερὸν ὑπῆρχε, καὶ οὐδὲν ἔδει τείχους.

(Αἰτίαι τῆς ὀλιγωρίας τῶν Λακεδαιμονίων. οἱ Ἀθηναῖοι τειχίσαντες ταῖς πλείοσι ναυσὶν ἀποπλέουσιν.)

ε'. Οἱ δὲ ἑορτήν τινα ἔτυχον ἄγοντες, καὶ ἅμα πυνθανόμενοι ἐν ὀλιγωρίᾳ ἐποιοῦντο, ὡς, ὅτ' ἂν ἐξέλθωσιν, ἢ οὐχ ὑπομενοῦντας σφᾶς, ἢ ῥᾳδίως ληψόμενοι βίᾳ·

ἐπιτυχόντας ἤκουσαν· ἄμεινον δὲ τοὺς ἐπιλέκτους, ὡς καὶ ἄνδρας λογάδας. τειχοποιοῦντες γὰρ ἄνευ σιδηρίων οὐκ ἔμελλον τοὺς τυχόντας συνθήσειν λίθους, ὥστε ἀσθενὲς ἐργάσασθαι τὸ τεῖχος· ἀλλ' ἐπελέγοντο ὁμοίους τοῖς εἰργασμένοις, τουτέστι, τετραπέδους. — 1. Ὡς ἕκαστόν τι ξυμβαίνοι] ἔνιοι ἀντὶ τοῦ παραπίπτοι καὶ παρατυγχάνοι· ἄμεινον δὲ, ὡς ἕκαστα ἔμελλον συναρμόσεσθαι καὶ συμφωνήσειν πρὸς ἀλλήλους. — 2. Ἐπὶ τοῦ νώτου] τῶν καθ' ὑπερβολὴν ἐναργῶς εἰρημένων ἐστὶ τοῦτο. — 6. Τὰ ἐπιμαχώτατα] τὰ εὐεπιχείρητα τοῖς πολεμίοις.

ε'. 9. Οἱ δὲ] οἱ Λακεδαιμόνιοι. (λ. Ἀνῦ.) — 11. Οὐχ ὑπομενοῦντας σφᾶς] ἐνήλλακται, ἀντὶ τοῦ οὐχ ὑπομενούντων.

λέκτως, παρὰ Θουκυδίδῃ· σιδήρια λιθουργικὰ οὐκ ἔχοντες, λογάδην φέροντες τοὺς λίθους συνετίθεσαν, ὡς ἕκαστόν τι συμβαίνοι, quae repetit Phavor. cf GOELL. Dan. ἕκαστόν τε, Reg. (G.) ξυμβαίνειν.

Καὶ τὸν πηλόν etc. Locum Themistii huc spectantem quaere in adnot.

Εἴ που. Pal. H. Vat. εἴ ποι.

Μέλλοι. Vind. Dan. μέλλει.

Ἀποπίπτοι. D. ἀποπίπτει. Ar. Chr. ὑποπίπτῃ.

3. Ἐπιμαχώτατα. B. ἐπιμαχώματα. Vind. ἐπιχώματα. Ante τὰ ἐπιμ. vulgo (et apud Haack.) pessime comma ponitur. Etiam post ἐξεργασ. virgula cum Goell. delenda erat, cum τοὺς Λακ. etiam ad ἐπιβοηθ. spectet.

Ἐξεργασάμενοι. Ar. Chr. Dan. ἐξειργασμένοι.

Οὐδέν. Reg. (G.) οὐδέ.

Ἔδει τείχους. Vind. ἐδεῖτο τοῦ τείχους.

Cap. V. Ἄγοντες. H. ἔχοντες, sed erasum et s. v. al. man. scriptum ἔχοντες.

Πυνθανόμενοι. Literae θαB. s. v., sed ead. man.

Οὐχ. Vind. οὐχί.

Ὑπομενοῦντας. Vind. μενοῦντας.

Digitized by Google

καί τι καὶ αὐτοὺς ὁ στρατὸς ἔτι ἐν ταῖς Ἀθήναις ὢν ἐπέσχε. 2. τειχίσαντες δὲ οἱ Ἀθηναῖοι τοῦ χωρίου τὲ πρὸς ἤπειρον καὶ ἃ μάλιστα ἔδει ἐν ἡμέραις ἓξ, τὸν μὲν Δημοσθένην μετὰ νεῶν πέντε αὐτοῦ φύλακα καταλείπουσι, ταῖς δὲ πλείοσι ναυσὶ τὸν ἐς τὴν Κέρκυραν πλοῦν καὶ ἐς Σικελίαν ἠπείγοντο.

(Οἱ Πελοποννήσιοι ἀναχωροῦσιν ἐκ τῆς Ἀττικῆς.)

ϛ'. Οἱ δ' ἐν τῇ Ἀττικῇ ὄντες Πελοποννήσιοι ὡς ἐπύθοντο τῆς Πύλου κατειλημμένης, ἀνεχώρουν κατὰ τάχος ἐπ' οἴκου, νομίζοντες μὲν οἱ Λακεδαιμόνιοι καὶ Ἄγις ὁ βασιλεὺς οἰκεῖον σφίσι τὸ περὶ τὴν Πύλον· ἅμα δὲ, πρὶν ἐξβαλόντες, καὶ τοῦ σίτου ἔτι χλωροῦ ὄντος, ἐσπάνιζον τροφῆς τοῖς πολλοῖς· χειμών τε ἐπιγενόμενος μείζων παρὰ τὴν καθεστηκυῖαν ὥραν ἐπίεσε τὸ στράτευμα. 2. ὥστε πολλαχόθεν ξυνέβη ἀναχωρῆσαί τε θᾶσσον αὐτοὺς, καὶ βραχυτάτην γενέσθαι τὴν ἐξβολὴν ταύτην· ἡμέρας γὰρ πεντεκαίδεκα ἔμειναν ἐν τῇ Ἀττικῇ.

ϛ'. 7. Ὡς ἐπύθοντο τῆς Πύλου] λείπει ἡ περὶ. (λ. Ἀνγ.) — 10. Τὸ περὶ τὴν Πύλον] πάθος δηλονότι. (λ. Ἀνγ.) — Πρὶν] πρὸ τοῦ δέοντος καιροῦ. — 11. Ἐσπάνιζον τῆς τροφῆς ταῖς πολλοῖς] τουτέστιν οἱ πολλοὶ αὐτῶν οὐχ ἱκανὴν εἶχον τροφὴν, [εἶχον σπάνιν τροφῆς. (Κασσ.)] — 12. Περὶ τὴν καθεστηκυῖαν ὥραν] περὶ τὴν ἐνεστῶσαν. (λ. Ἀνγ.) — 15. Βραχυτάτην] ἐν ὀλίγαις ἡμέραις. (λ. Ἀνγ.)

Καί τι καὶ Cl. (ex quo Gottl. typothetae male *καί τε καὶ* afferunt, quam scripturam Bekk. peius etiam Cass. tribuit,) It. Vat. H. (cuius loco Bekkeri typothetae Cass. nominant,) Haack. Bekk. Goell., quae scriptura iam Wassio placebat. Cf. not. ad I, 107. et script. discr. ad IV, 121. Nec aliter Aug. (ex quo rursus vitiose *καί τε καί* citatur), nisi quod alterum *καί*, quod vulgo om., punctis notatum rec. man. Pro *καί τι* cod. Bas. Ar. *καίτοι*.

Αὐτοὺς ὁ στρατός. Gr. *ὁ στρατὸς αὐτούς*.

2. *Τοῦ χωρίου* om. F. C., et vulgo uncis inclusa legebantur, quos sustulit Haack.

Τὸν ἐς. D. I. *καὶ ἐς*.

Cap. VI. *Πρό*. Vulgo *πρῶτ*, sed *τ* Bekk. in minn. exempll. subscripsit. (Goell. *πρώι*. Buttm. ad Plat. Crit. init. veram scripturam putat *πρώ*.) Pro *πρὼ ἐξβαλ.* Pal. *προεξβαλ.* „*Πρωΐ — πολλοῖς*. Thom. Mag." WASS.

Ἐσπάνιζον. Mosqu. *ἐσπανίζοντο*.

Χειμών τε. E. *χειμὼν δέ*.

Παρά. Schol. (excepto Aug.) et inde marg. Steph. *περί*.

2. *Αὐτούς*. Pal. *αὐτοῖς*.

Digitized by Google

(3. Ἠϊόνα, Μενδαίων ἀποικίαν, Σιμωνίδης Ἀθηναῖος αἱρεῖ μὲν, ἐκκρούεται δὲ πάλιν.)

ζ'. Κατὰ δὲ τὸν αὐτὸν χρόνον Σιμωνίδης Ἀθηναίων στρατηγὸς Ἠϊόνα τὴν ἐπὶ Θρᾴκης, Μενδαίων ἀποικίαν, πολεμίαν δὲ οὖσαν, ξυλλέξας Ἀθηναίους τε ὀλίγους ἐκ τῶν φρουρίων, καὶ τῶν ἐκείνῃ ξυμμάχων πλῆθος, προδιδομένην κατέλαβε· καὶ παραχρῆμα ἐπιβοηθησάντων Χαλκιδέων καὶ Βοττιαίων, ἐξεκρούσθη τε, καὶ ἀπέβαλε πολλοὺς τῶν στρατιωτῶν.

(4. Λακεδαιμόνιοι Πύλῳ προςβαλόντες ἀποκρούονται, καὶ οἱ ἐς Σφακτηρίαν διαβάντες αὐτῶν ἀπολαμβάνονται. η' — ιδ'. Πρῶτον μὲν οὖν παρασκευάζονται ὡς Πύλῳ προςβαλοῦντες κατά τε γῆν καὶ κατὰ θάλασσαν, καὶ ὁπλίτας διαβιβάζουσιν ἐς τὴν Σφακτηρίαν.)

η'. Ἀναχωρησάντων δὲ τῶν ἐκ τῆς Ἀττικῆς Πελοποννησίων, οἱ Σπαρτιᾶται αὐτοὶ μὲν καὶ οἱ ἐγγύτατα

ζ'. 4. Καὶ τῶν ἐκείνῃ ξυμμάχων πλῆθος] καὶ πολλοὺς τῶν ἐκεῖ ξυμμάχων.

Cap. VII. Ἀθηναίων. E. ὁ Ἀθην.

Ἠϊόνα. Aug. It. Bekk. Ἠιόνα sine punctis diaereseos, quod nobis quoque placere iam I, 98. diximus. Et apud Harpocrat. in Ἠϊὼν, πόλις Θρᾴκης, Μενδαίων ἀποικία, ὡς Θουκυδίδης, literarum ordo ῑ furtivum esse docet. Accedit, quod Gass. F. C. G. Ἠόνα exarant. Obstat tamen Eustath. ad Hom. Il. p. 179. Rom. ὅτι δὲ Ἠιὼν δισυλλάβως καὶ τόπος ἐστὶ Στρυμόνος καὶ Ἠϊὼν τρισυλλάβως πόλις ἐν Χεῤῥονήσῳ παρὰ Θουκυδίδῃ καὶ ἄλλη πρὸς τῇ Πιερίᾳ.

Τὴν ἐπί. Aug. (cuius loco Bekkeri typothetae F. memorant,) Vat. τῆς ἐπί. In m. omisso ἐπί legitur τῆς Θρᾴκ., sed in marg. γρ. τὴν ἐπί.

Μενδαίων. E. Μεδαίων μέν. Μέν non opus esse docebunt adnot. ad I, 12.

Ἀποικίαν om. It.

Προδιδομένην κατέλαβε. Reg. κατέλ. προδιδ. (Proprie G. κατέλ. πλῆθος προδιδ., sed α' s. πλῆθ. et β' s. κατέλ.)

Χαλκιδέων. Reg. (G.) D. I. E. Χαλκιδαίων, I. tamen ῑ s. αι al. man.

Βοττιαίων. G. perperam Βοτιαίων.

Cap. VIII. Τῶν ἐκ. Τῶν om. D. I. At vid. I. 1. p. 176.

Σπαρτιᾶται. Ante Haack. Σπαρτιάται. Vid. de Art. crit. p. 148. sq.

Οἱ ἐγγύτατα. E. om. οἱ et habet ἐγγυτα cum ες s. υ et οι s. α. D. οἱ ἐγγύτατοι.

Digitized by Google

τῶν περιοίκων εὐθὺς ἐβοήθουν ἐπὶ τὴν Πύλον· τῶν δὲ ἄλλων Λακεδαιμονίων βραδυτέρα ἠγίγνετο ἡ ἔφοδος, ἅρτι ἀφιγμένων ἀφ' ἑτέρας στρατείας. 2. περιήγγελλον δὲ καὶ κατὰ τὴν Πελοπόννησον βοηθεῖν ὅτι τάχιστα ἐπὶ Πύλον, καὶ ἐπὶ τὰς ἐν τῇ Κερκύρᾳ ναῦς σφῶν τὰς ἐξήκοντα ἔπεμψαν, αἳ ὑπερενεχθεῖσαι τὸν Λευκαδίων ἰσθμὸν, καὶ λαθοῦσαι τὰς ἐν Ζακύνθῳ Ἀττικὰς ναῦς, ἀφικνοῦνται ἐπὶ Πύλον· παρῆν δὲ ἤδη καὶ ὁ πεζὸς στρατός. 3. Δημοσθένης δὲ, προσπλεόντων ἔτι τῶν Πελοποννησίων, ὑπεκπέμπει φθάσας δύο ναῦς ἀγγεῖλαι Εὐρυμέδοντι καὶ τοῖς ἐν ταῖς νυσὶν ἐν Ζακύνθῳ Ἀθηναίοις παρεῖναι, ὡς τοῦ χωρίου κινδυνεύοντος. 4. καὶ αἱ μὲν νῆες κατὰ τάχος ἔπλεον κατὰ τὰ ἔπεσταλμένα ὑπὸ Δημοσθένους· οἱ δὲ Λακεδαιμόνιοι παρεσκεύαζοντο ὡς τῷ τειχίσματι προσβαλοῦντες κατά τε γῆν καὶ κατὰ θάλασσαν, ἐλπίζοντες ῥᾳδίως αἱρήσειν οἰκοδόμημα διὰ ταχέων εἰργασμένον, καὶ ἀνδρώπων ὀλίγων ἐνόντων. 5. προσδεχόμενοι δὲ καὶ τὴν ἀπὸ τῆς Ζακύνθου τῶν Ἀττικῶν νεῶν βοήθειαν, ἐν νῷ

ἰδ. κεφ. β'.

ἰδ. κεφ. ε' καὶ ιγ'.

ἡ. 1. *Τῶν περιοίκων*] αὐτῶν τῶν περὶ τὴν πόλιν οἰκούντων. — 12. *Τοῦ χωρίου*] τῆς Πύλου. (λ. Ἀν.) — *Καὶ αἱ μὲν νῆες*] αἱ δύο. (λ. Ἀν.)

Περιοίκων. C. *παροίκων*. At vid. Duk. ad VIII, 22.

Λακεδαιμονίων. D. I. *Πελοποννησίων*, quod librarii *Σπαρτιάτας* et *Λακεδαιμονίους* nescierunt quomodo discernerent.

Ἡ ἔφοδος. Artic. om. ed. Bas.

Στρατείας. Libri mss. omnes et editi ante Haack. *στρατιᾶς*. „*Στρατείας* cum Kem. Porto rescripsi. Saepissime haec vocabula inter sè permutantur. Cf. I, 10. 14." HAACK. Secuti sunt recentt.

2. *Περιήγγελλον*. D. E. *περιῆγγελον*, de quo aoristo disputavimus ad Xen. Anab. III, 4, 14.

Δὲ καὶ. *Καὶ* ex Cass. Aug. Cl. Vat. H. D. I. E. Mosqu. primus inseruit Haack. Mox post *Πύλον* comma pro puncto primus collocavit Bekk.

Ἐν τῇ. *Τῇ* om. I. Ar. Chr.

Τὸν Λευκαδίων. Pal. *τῶν Λευκαδ.*, sed rec. man. correct. *τόν*.

4. *Ἔπλεον*. Cl. *ἐπέπλεον*. Vulgatam tuetur Thom. Mag. in *ἐπετειλάμην*, qui habet verba *κατὰ — Δημοσθ.*

Κατά τε γῆν. *Τέ* om. Mosqu.

Καὶ κατά. *Κατά* om. Gr.

Ταχέων. H. *ταγχέων*.

Ἀνδρώπων ὀλίγων. E. *ὀλίγ. ἀνθρ.*

5. *Προσδεχόμενοι δέ*. *Δέ* in marg. al. man. I.

Καὶ τὴν. *Καὶ* (non, ut Bekk. scribis, *τὴν*) om. E.

Τῆς Ζακύνθου. *Τῆς* om. It. Vat. H. Bekk. Goell. Cf. quae de

Digitized by Google

εἶχον, ἦν ἄρα μὴ πρότερον ἕλωσι, καὶ τοὺς ἔκπλους τοῦ λιμένος ἐμφράξαι, ὅπως μὴ ᾖ τοῖς Ἀθηναίοις ἐφορμίσασθαι ἐς αὐτόν. 6. ἡ γὰρ νῆσος ἡ Σφακτηρία καλουμένη τόν τε λιμένα, παρατείνουσα καὶ ἐγγὺς ἐπικειμένη, ἔχυρὸν ποιεῖ, καὶ τοὺς ἔκπλους στενοὺς, τῇ μὲν δυοῖν 242. νεοῖν διάπλουν, κατὰ τὸ τείχισμα τῶν Ἀθηναίων καὶ τὴν Πύλον, τῇ δὲ, πρὸς τὴν ἄλλην ἤπειρον, ὀκτὼ ἢ ἐννέα· ὑλώδης τε καὶ ἀτριβὴς πᾶσα ὑπ' ἐρημίας ἦν, καὶ μέγεθος περὶ πεντεκαίδεκα σταδίους μάλιστα. 7. τοὺς μὲν οὖν ἔκπλους ταῖς ναυσὶν ἀντιπρώροις βύζην κλήσειν

2. Ὅπως μὴ ᾖ] ὅπως μὴ δυνατὸν γένηται. (λ. Ἀβγ.) — 3. Ἡ γὰρ νῆσος ἡ Σφακτηρία — —] πρὸ τοῦ λιμένος τῆς Πύλου πρόκειται νῆσος Σφακτηρία ἐγγὺς, καὶ διὰ τοῦτο αὐτὴν ἐπικειμένην λέγει. δύο δὲ διὰ τὴν νῆσον γίνεται στόρατα νοῦ λιμένος, ἃ διέκπλους ὠνόμασεν. ὧν στομάτων τὸ μὲν ἐγγὺς αὐτῆς τῆς Πύλου στενόν ἐστιν, ὥστε μόλις δύο τριήρεις ἅμα εἰσπλεῖν, τὸ δ' ἕτερον πλατύτερον, ὥστε ὀκτὼ δύνασθαι τριήρεις ἅμα διαπλεῖν. — 4. Καὶ ἐγγὺς ἐπικειμένη] τῆς Πύλου παρακειμένη. — 10. Βύζην] ἀθρόως· οἷον βύσαντες ταῖς ναυσὶ τὸν ἔκπλουν. ** ἔστι ῥῆμα βύω τὸ ἀσφαλίζω καὶ βύω τὸ φράττω. (Βασ.) — ** Κλήσειν]

Κλῆθρον, κατεκλήθησαν Ἀττικῷ τρόπῳ.
Τζέτζου φρονῶν πᾶς τοῖς λόγοις πεπεισμένος

his libris disputavimus II. 1. p. 89. sqq. Caeterum I. Ζαγκύθου.

Ἔκπλους. Vind. εὔπλους, idemque infra εὔπλους et εὔπλου.

Ἐφορμίσασθαι. C. ἐφορμήσασθαι.

6. Παρατείνουσα. „Comma, quod post παρατ. erat, migrare iussi post λιμένα, ut illud participium, quod cum accus. hoc sensu coniungi nequit, absolute accipiatur intellecto ἑαυτήν." HAACK.

Ἔκπλους. Scholiastam διέκπλους scriptum iuvenisse suspicere.

Δυοῖν Cass. Aug. Cl. F. Pal. It. Vat. G. Gr. E. Vind. Mosqu. Haack. Bekk. Goell. Vulgo δυεῖν. Vid. I. 1. p. 223. sqq.

Νεοῖν. E. m. Ar. Chr. νεῶν, in E. et m. tamen οιν s. ων. Pluralem quanquam ex istis libris nemo arripiet, Buttmannus tamen Gr. max. I. p. 282. in talibus non debebat prorsus damnare. Vid. adnot.

Καὶ τήν. Gr. κατὰ τήν.

7. Ἀντιπρώροις Cass. Aug. H. D. I. Mosqu. Ar. Chr. Dan. et a correct. m. Quod etiam Arriani imitatione munitum et iam Duk. probatum receperunt Haack. Bekk. Goell. Cf. Vall. In Pal. ἀντιπρώρεις. (?) It. Vat. ἀντίπρωροι. Vulgo ἀντιπρώρους. Vid. adnot.

Βύζην om. It. Vat. In I. scribitur βύζειν, et marg. al. man. βύσειν. D. βύσδειν, et marg. al. man. βύσειν καί. Dan. σβύζην. Vind. σβύζειν. Vulgatam satis tuentur Arrian. et lexicogrr. Vid. adnot.

Κλήσειν. Pal. κλήσειν. It. Vat. συγκλήσειν. F. Reg. (G.) cod. Bas.

Digitized by Google

ἔμελλον· τὴν δὲ νῆσον ταύτην φοβούμενοι, μὴ ἐξ αὐτῆς τὸν πόλεμον σφίσι ποιῶνται, ὁπλίτας διεβίβασαν ἐς αὐτήν, καὶ παρὰ τὴν ἤπειρον ἄλλους ἔταξαν· 8. οὕτω γὰρ τοῖς Ἀθηναίοις τήν τε νῆσον πολεμίαν ἔσεσθαι, τήν τε ἤπειρον, ἀπόβασιν οὐκ ἔχουσαν· τὰ γὰρ αὐτῆς τῆς Πύλου ἔξω τοῦ ἕρκους πρὸς τὸ πέλαγος ἀλίμενα ὄντα, οὐχ ἕξειν ὅθεν ὁρμώμενοι ὠφελήσουσι τοὺς αὐτῶν· σφεῖς δὲ ἄνευ τε ναυμαχίας καὶ κινδύνου ἐκπολιορκήσειν τὸ χωρίον κατὰ τὸ εἰκός, σίτου τε οὐκ ἐνόντος, καὶ δι' ὀλί-

Δίφθογγον οὐ γράψειας, ἀλλ' ἦτα μόνον.
Τοὺς βουβάλους δ' ἔασον δυσμαθεστάτους
Ἁπανταχοῦ δίφθογγα ταυταῖ γράφειν,
Οἳ τὸ σκότος φῶς, ὡς τὸ φῶς φασὶ σκότος,
Κίρκης τραφέντες χοιρεῶσι τῆς νέας. (*Παλ.*)

1. ** *Μὴ ἐξ αὐτῆς*] ὁρμώμενοι οἱ *Ἀθηναῖοι.* (*Λύγ.*) — 6. *Ἀπόβασιν οὐκ ἔχουσαν*] λείπει, οὔτε εἰς *τὴν νῆσον* οὔτε εἰς *τὴν ἤπειρον.* — *Τὰ γὰρ αὐτῆς τῆς Πύλου* —] *τὰ γὰρ αὐτῆς τῆς Πύλου ἔξω, τὰ ἀλίμενα, τουτέστι, τὰ ἔξω τοῦ εἱρκτοῦ, οὐ παρέξειν προσόρμισιν τοῖς Ἀθηναίοις.* — 9. ** *Καὶ δι' ὀλίγης* —] *οὐκ*

I. E. Vind. et int. vers. Gr. *κλεῖσειν.* At vid. I. 1. p. 212. sq.

Διεβίβασαν. D. I. *διεβίβασεν.* Mosqu. *διεβίβαζον.*

Ἐς Cass. Aug. Pal. H. F. C. Reg. (G.) B. D. I. E. Mosqu. Ar. Chr. Dan. Haack. Goell. Vulgo (et Bekk.) male *εἰς.* Cf. I. 1. p. 212.

Παρά Cass. Aug. Cl. Pal. It. F. C. Reg. (G.) cod. Bas. Gr. Mosqu. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo male *περί,* quod in Reg. rec. man. super *παρά* scripserat.

Ἤπειρον. Dan. pergit *ἀπόβασιν οὐκ ἔχουσαν* (§. 8.) omissis intermediis.

8. *Γάρ.* D. *καί.*

Νῆσον πολεμίαν. Gr. *νῆσον ταύτην φοβούμενοι πολεμίαν.* „Ex interprete quodam." WASS. „Etiam suspicari quis possit a scriba esse, eumque, quum hic posuisset *νῆσον,* deinde oculos coniecisse in eandem vocem, quae est in tertio ante hunc versu, et quum coepisset scribere quae ibi leguntur *ταύτην φοβούμενοι,* mox animadverso errore ea non voluisse delere." DUK.

Τὰ γάρ. Vat. *καὶ γάρ.*

Τοῦ ἕρκλου. Τοῦ s. v. al. man. E.

Οὐχ ἕξειν. Pal. It. Vat. H. Ald. Flor. Bas. *οὐκ ἐξῆν.* De structura adi not.

Τοὺς αὐτῶν. Pro *τούς* D. *τάς,* E. *ταῖς,* m. *τῆς. Αὐτῶν* Cass. Aug. Pal. Reg. Gr. m. Ald. Flor. Bas. et haud dubie plures pro vulg. *αὐτῶν.* Cf. Farr. discr. script.

Σφεῖς. D. I. *σφᾶς,* quod commendant loci VI, 49. VII, 21. de quibus in Ephemm. Hall. a. 1826. p. 523. sq. disputantes comparavimus Buttm. Gr. med. §. 129. adnot. 1—3.

Ἄνευ τε. D. *ἄνευ τῆς.*

Κατὰ τὰ εἰκός. Ar. Chr. Dan. *ὡς τὸ εἰκός,* quod *ὡς εἰκός* dixisset Thuc.

Ἐνόντος, καί. Καί om. Dan.

Digitized by Google

γης παρασκευῆς κατειλημμένου. 9. ὡς δ' ἐδόκει αὐτοῖς ταῦτα, καὶ διεβίβαζον ἐς τὴν νῆσον τοὺς ὁπλίτας, ἀποπληρώσαντες ἀπὸ πάντων τῶν λόχων. καὶ διέβησαν μὲν καὶ ἄλλοι πρότερον κατὰ διαδοχήν· οἱ δὲ τελευταῖοι καὶ ἐγκαταληφθέντες ἔλαβον καὶ τετρακόσιοι ἦσαν, καὶ Εἵλωτες οἱ περὶ αὐτούς· ἦρχε δὲ αὐτῶν Ἐπιτάδας ὁ Μολόβρου.

(*Δημοσθένης ὁ ἐν Πύλῳ στρατηγὸς ἀντιπαρασκευάζεται.*)

θ'. Δημοσθένης δὲ, ὁρῶν τοὺς Λακεδαιμονίους μέλλοντας προσβάλλειν ναυσί τε ἅμα καὶ πεζῷ, παρεσκευάζετο καὶ αὐτὸς, καὶ τὰς τριήρεις, αἵπερ ἦσαν αὐτῷ ἀπὸ

ἐκ παρασκευῆς τῆς Πύλου καταληφθείσης ὑπὸ τῶν Ἀθηναίων . . . ἔχειν ἐν τῷ τείχει τὰ πρὸς πολιορκίαν ἐπιτήδεια. ἔνιοι δὲ μετὰ ὀλίγης παρασκευῆς. (*Ἀγγ.*) — 2. *Καὶ διεβίβαζον*] περιττὸς ὁ καί. (*λ. Κασσ.*) — 3. *Λόχων*] λόχοι Λακεδαιμονίων πέντε, αἰδοῦλιος, σίνης, σαρίσας, πλόας, μεσοάτης.

θ'. 9. *Προσβάλλειν*] τῇ Πύλῳ δηλονότι. (*λ. Ἀγγ.*) — *Ναυσί τε ἅμα καὶ πεζῷ*] ἦγουν ἀπό τε τῆς νήσου καὶ ἀπὸ τῆς ξηρᾶς. (*λ. Ἀγγ.*) — *Παρεσκευάζετο*] πολεμικῶς ἡτοιμάζετο. (*λ. Ἀγγ.*) — 10. *Αἵπερ ἦσαν αὐτῷ — —*] ἃς εἶχε λοιπὰς, ἀνασπάσας ὑπὸ τὸ τείχισμα προσεστάυρωσε, τουτέστι ναυλήσας ὀρθὰς πρὸ τοῦ τείχους προσέφραξεν. ἔνιοι δὲ, ὅτι ξύλοις ὀρθοῖς προσωχύρωσεν αὐτάς.

Κατειλημμένου. Frustra coniicitur *κατειλημμένον.* Vid. I. 1. p. 121. et not.

9. *Ὡς δ'.* Mosqu. *ὥς τ'.*

Πάντων. D. I. *στάντων*, sed in D. *στ* eras. et *π* s. *στ* al. man. atque etiam I. in marg. al. man. *πάντων.* Mox comma post *λόχων* in punctum primus mutavit Haack.

Μὲν καί. Καί om. Dan.

Ἐγκαταληφθέντες. Cass. Aug. Pal. Quod in Obss. critt. a nobis hac ratione commendatum, quod relicti in insula per aliquod tempus etiam alii sunt, sed capti ii soli, qui postremi transierunt, receperunt Haack. et Bekk. spreta vulg. *ἐγκαταλειφθέντες.* „Praefert Krüg. ad Dion. p. 296. alterum per *η*, quia c. 38. dicantur quadringenti viginti universi traiecti esse, eorum autem vivi capti esse trecenti nonaginta duo. Hos igitur dicit *ἐγκαταληφθῆναι*, illos *ἐγκαταλειφθῆναι.* Et vulgatam ait expressam esse a Valla. Quasi quorum corporibus potitus sis, etiamsi mortui sint, eos te cepisse dicere non possis. Thucydidem puto *καί* omissurum fuisse, si scripsisset *ἐγκαταλειφθ.*" GOELL. m. *ἐγκαταλη*, cetera glires corroserunt.

Δέ plene Cass. Aug. Pal. H. F. C. Reg. (G.) Gr. B. E. Ar. Chr. Ald. Flor. Bas. et ex corr. m. Vulgo (Haack. Bekk. Goell.) *δ'*. Cf. Farr. discr. script.

Μολόβρου. Cass. Aug. It. Vat. Ar. Chr. Dan. *Μολοβροῦ.* Nostrum ad proprium ab appellativo discernendum paulo aptius videtur.

Digitized by Google

τῶν καταλειφθεισῶν, ἀναβάς ὑπὸ τὸ τεῖχισμα, προσεσταύρωσε, καὶ τοὺς ναύτας ἐξ αὐτῶν ὡπλισεν ἀσπίσι τε φαύλαις καὶ οἰσυΐναις ταῖς πολλαῖς· οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρήμῳ πορίσασθαι, ἀλλὰ καὶ ταῦτα ἐκ λῃστρικῆς Μεσσηνίων τριακοντόρου καὶ κέλητος ἔλαβον, οἳ ἔτυχον παραγενόμενοι· ὁπλῖταί τε τῶν Μεσσηνίων τούτων ὡς τεσσαράκοντα ἐγένοντο, οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων. 2. τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων καὶ ὡπλισμένων ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε, προεικὼν ἀμύνασθαι τὸν πεζὸν, 10

5 243.

1. *Ἀναβάς*] ἀπὸ τῶν ἀγκυρῶν δηλονότι. (λ. Ἀὐγ.) — *Προσεσταύρωσεν*] ὀρθὰς ἔστησεν. (λ. Κασσ. Ἀὐγ.) — 3. *Φαύλαις*] [ταῖς τυχούσαις (λ. Κασσ. Ἀὐγ.)] ταῖς ἐπιτυχούσαις καὶ εὐτελέσιν. — *Οὐ γὰρ ἦν ὅπλα*] οὐ γὰρ δυνατὸν ἦν ὅπλα, καὶ τὰ ἑξῆς. (λ. Κασσ. Ἀὐγ.) — 4. *Ἐκ λῃστρικῆς* —] ἁλούσης τριακοντόρου λῃστρικῆς καὶ κέλητος ὑπὸ Ἀθηναίων, τὰ ὅπλα τῶν λῃστῶν ἔλαβον οἱ παρόντες τῷ Δημοσθένει Μεσσήνιοι. [ἔστιν οὖν ὑπερβατόν· ἦγουν ἐκ λῃστρικῆς τριακοντόρου καὶ κέλητος ἔλαβον οἳ ἔτυχον παραγενόμενοι τῶν Μεσσηνίων. (λ. Κασσ.)] ἔστι δὲ τριακόντορος μὲν ἡ ὑπὸ τριάκοντα ἐρεσσομένη, κέλης δὲ ἔστι μικρὸν καὶ στενὸν πλοῖον. — 10. *Ἀμύνασθαι τὸν πεζὸν, ἢν προσβάλῃ*] ἦγουν ἀποδιώκειν τὸν ἀπὸ τῆς ξηρᾶς στρατὸν, ἢν προσβάλῃ τῷ τείχει. (λ. Ἀὐγ.)

Cap. IX. *Καταλειφθεισῶν.* Pal. It. H. male *καταληφθ.*

Ἀναβάς. „Distinctionem non post *ἀναβ.*, sed post *τείχ.* ponendam puto cum Valla.“ DUK. Paruit Haack.

Οἰσυΐναις. „Locum citat Poll. X, 176. Vid. et Suid. in *οἰσυΐναις.*“ WASS. „*Γέρρα οἰσύϊνα* Lucian. Dial. mort. p. 293. [XIV.] Adi Lips. III. de Milit. Rom. 2. et Cerd. ad Virg. VII. Aeneid. 632. Suidas omisso *αὐτῶν* habet *ἐξώπλισε.*“ DUK. G. *οἰσυινες*, al. man. *αις s. ες.*

Ταῖς πολλαῖς. E. *τοὺς πολλούς.* Mox punctum post *πορίσ.* in comma primus mutavit Haack.

Ἀλλὰ καὶ. Καὶ om. E.

Λῃστρικῆς. Ar. Dan. *λῃστρικῶν.* „Noster fere semper alias *λῃστικῆς.*“ WASS. „Vid. ad I, 4. et 13.“ DUK.

Τριακοντόρου. E. Vind. m. *τριακοντούρου*, in postremo tamen ō supra scr.

Κέλητος. Mosqu. *κέλλητος.*

Μεσσηνίων. Ar. Chr. *Μεσηνίων*, „ut et supra.“ HUDS. item Gr. Cf. ad c. 1.

Ὡς τεσσαράκοντα. *Ὡς* om. cod. Bas.

2. *Καὶ ὡπλισμένων.* Cod. Bas. Gr. *καὶ τῶν ὡπλ.* At vid. I. 1. p. 196.

Μάλιστα καί. Posterius om. D.

Ἐχυρά. Reg. (G.) *ὀχυρά.* Cf. not. ad I, 35.

Ἀμύνασθαι. D. *ἀμύνεσθαι.* Mosqu. *ἀμήνασθαι.*

Digitized by Google

ἦν προσβάλλῃ· αὐτὸς δὲ ἀπολεξόμενος ἐκ πάντων ἑξήκοντα ὁπλίτας καὶ τοξότας ὀλίγους, ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν θάλασσαν, ᾗ μάλιστα ἐκείνους προσεδέχετο πειράσειν ἀποβαίνειν, ἐς χωρία μὲν χαλεπὰ καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα· σφίσι δὲ τοῦ τείχους ταύτῃ ἀσθενεστάτου ὄντος, ἐπισπάσασθαι αὐτοὺς ἡγεῖτο προθυμήσεσθαι· 3. οὔτε γὰρ αὐτοὶ ἐλπίζοντές ποτε ναυσὶ κρατηθήσεσθαι, οὐκ ἰσχυρὸν ἐτείχιζον, ἐκείνους τε, βιαζομένους τὴν ἀπόβασιν, ἀλώσιμον τὸ χωρίον γίγνεσθαι. 4. κατὰ τοῦτο οὖν πρὸς αὐτὴν τὴν θάλασσαν χωρήσας

1. *Αὐτὸς δὲ ἀπολεξόμενος ἐκ πάντων*] † *ἀποκόψας* † *ἐκ τῶν προσόντων τῷ τείχει.* — 4. ** *Χαλεπά*] *δυσβατά.* (*Κασσ.*) — 5. *Τοῦ τείχους ταύτῃ* —] *τὴν κατὰ τοῦτο τὸ μέρος ἀσθένειαν τοῦ τείχους ἀφορμὴν παρέξειν τοῖς Λακεδαιμονίοις, ὥστε ἐπ' αὐτὸ ὁρμῆσαι. περιττὸν δὲ τὸ προθυμήσεσθαι· ἤρκει γὰρ τὸ ἐπισπάσασθαι. ἔνιοι δὲ, ἐφελκύσεσθαι αὐτοὺς ἡγεῖτο εἰς προθυμίαν ἐκεῖνο τὸ μέρος.* — 7. *Αὐτοί*] *οἱ περὶ τὸν Δημοσθένην.* (*λ. Αὐγ.*) — *Ἐλπίζοντές ποτε ναυσὶ κρατήσεσθαι* — —] *οἱ Ἀθηναῖοι οὐκ ἰσχυρῶς τὸ πρὸς θάλασσαν ἐνείχισαν τῆς Πύλου οὐχ ἡγούμενοι ἐντεῦθεν ἐκπεσεῖσθαι τοὺς ἐναντίους, ἅτε δὴ θαλαττοκρατούντων Ἀθηναίων.* — 8. *Βιαζομένους*] *βιαίως ποιοῦσιν.* (*λ. Αὐγ.*) — 9. *Ἀλώσιμον τὸ χωρίον γίγνεσθαι*] *ἑλπὶς ἦν δηλονότι.* (*λ. Αὐγ.*) — 10. *Χωρίσας*] *τοὺς ὁπλίτας δηλονότι.* (*λ. Αὐγ.*)

Προσβάλλῃ Cass. Aug. Vat. H. Mosqu. Bekk. Goell. Vulgo (et Haack.) *προσβάλῃ.*

Ἀπολεξάμενος. Vind. *ἀποδεξάμενος.*

Ἀποβαίνειν. „Punctum post *ἀποβαίνειν* mutavi in comma, ut iam suaserat Kistem. Pendent enim [proxima] a verbo *ἐχώρει.*" HAACK. Imo ad *ᾗ ἀποβαίνειν* pertinent, unde Bekk. vel virgulam omisit. Mox D. *χαλαιπά*, sed *ε s. αι* ead. man.

Τετραμμένα. Pal. *τετραμένα.* Post hoc vocab. autem ob mutatam structuram colon pro virgula posuimus.

Ἐπισπάσασθαι. D. *ἐπισπᾶσθαι.* Reiskius *ἐπιαπέσθαι* coniiciebat. Cf. adnot.

Προθυμήσεσθαι. Cod. Bas. *προθυμήσασθαι.* Schol. Aug. *προθυμηθήσεσθαι.*

3. *Κρατηθήσεσθαι* Cass., Aug. Pal. It. Vat. Reg. (in G. quidem *κρατήσεσθαι*, sed *θη* ead. man. supersor.) Bekk. Goell. In E., ut vulgo (et Haack.), *κρατήσεσθαι*, sed *θη* al. man. supersor. Nostrum facile quidem cum Haack. ab interpretibus profectum iudices (cf. I. 1. p. 192.), sed quum syllaba *θη* in libris negligentius scriptis facillime excidere potuerit, a melioribus non recedendum duximus.

4. *Τὴν θάλασσαν. Τήν* om. Chr.

Χωρήσας Cass. (in quo supra rec. man. *χωρίσας*,) Aug. Cl. It. Vat. H. I. E. Mosqu. m. (in quo

Digitized by Google

τῶν καταλειφθεισῶν, ἀναβάσας ὑπὸ τὸ τείχισμα, προσεσταύρωσε, καὶ τοὺς ναύτας ἐξ αὐτῶν ὡπλισεν ἀσπίσι τε φαύλαις καὶ οἰσυΐναις ταῖς πολλαῖς· οὐ γὰρ ἦν ὅπλα ἐν χωρίῳ ἐρήμῳ πορίσασθαι, ἀλλὰ καὶ ταῦτα ἐκ λῃστρικῆς Μεσσηνίων τριακοντόρου καὶ κέλητος ἔλαβον, οἳ ἔτυχον παραγενόμενοι· ὁπλῖταί τε τῶν Μεσσηνίων τούτων ὡς τεσσαράκοντα ἐγένοντο, οἷς ἐχρῆτο μετὰ τῶν ἄλλων. 2. τοὺς μὲν οὖν πολλοὺς τῶν τε ἀόπλων καὶ ὡπλισμένων ἐπὶ τὰ τετειχισμένα μάλιστα καὶ ἐχυρὰ τοῦ χωρίου πρὸς τὴν ἤπειρον ἔταξε, προειπὼν ἀμύνασθαι τὸν πεζὸν, 10

243.

1. Ἀναβάσας] ἀπὸ τῶν ἀγκυρῶν δηλονότι. (λ. Ἀνγ.) — Προσεσταύρωσεν] ὀρθὰς ἔστησεν. (λ. Κασσ. Ἀνγ.) — 3. Φαύλαις] [ταῖς τυχούσαις (λ. Κασσ. Ἀνγ.)] ταῖς ἐπιτυχούσαις καὶ εὐτελέσιν. — Οὐ γὰρ ἦν ὅπλα] οὐ γὰρ δυνατὸν ἦν ὅπλα, καὶ τὰ ἑξῆς. (λ. Κασσ. Ἀνγ.) — 4. Ἐκ λῃστρικῆς —] ἁλούσης τριακοντόρου λῃστρικῆς καὶ κέλητος ὑπὸ Ἀθηναίων, τὰ ὅπλα τῶν λῃστῶν ἔλαβον οἱ παρόντες τῷ Δημοσθένει Μεσσήνιοι. [ἔστιν οὖν ὑπερβατόν· ἦγον ἐκ λῃστρικῆς τριακοντόρου καὶ κέλητος ἔλαβον οἳ ἔτυχον παραγενόμενοι τῶν Μεσσηνίων. (λ. Κασσ.)] ἔστι δὲ τριακόντορος μὲν ἡ ὑπὸ τριάκοντα ἐρεσσομένη, κέλης δὲ ἔστι μικρὸν καὶ στενὸν πλοῖον. — 10. Ἀμύνασθαι τὸν πεζὸν, ἢν προσβάλῃ] ἦγον ἀποδιώκειν τὸν ἀπὸ τῆς ξηρᾶς στρατὸν, ἢν προσβάλῃ τῷ τείχει. (λ. Ἀνγ.)

Cap. IX. *Καταλειφθεισῶν.* Pal. It. H. male *καταληφθ.*

Ἀνασπάσας. „Distinctionem non post *ἀνασπ.*, sed post *τείχ.* ponendam puto cum Valla.“ DUK. Paruit Haack.

Οἰσυΐναις. „Locum citat Poll. X, 176. Vid. et Suid. in *οἰσυΐναις.*“ WASS. „*Γέφυρα οἰσυΐνα* Lucian. Dial. mort. p. 293. [XIV.] Adi Lips. III. de Milit. Rom. 2. et Cerd. ad Virg. VII. Aeneid. 632. Suidas omisso *αὐτῶν* habet *ἐξώπλισε.*“ DUK. G. *οἰσυινες*, al. man. *αις s. ες.*

Ταῖς πολλαῖς. E. *τοὺς πολλούς.* Mox punctum post *πορίσ.* in comma primus mutavit Haack.

Ἀλλὰ καί. Καί om. E.

Λῃστρικῆς. Ar. Dan. *λῃστρικῶν.* „Noster fere semper alias *λῃστικῆς.*“ WASS. „Vid. ad I, 4. et 13.“ DUK.

Τριακοντόρου. E. Vind. m. *τριαποντούρου*, in postremo tamen ō supra scr.

Κέλητος. Mosqu. *κέλλητος.*

Μεσσηνίων. Ar. Chr. *Μεσηνίων*, „ut et supra.“ HUDS. item Gr. Cf. ad c. 1.

Ὡς τεσσαράκοντα. *Ὡς* om. cod. Bas.

2. *Καὶ ὡπλισμένων.* Cod. Bas. Gr. *καὶ τῶν ὡπλ.* At vid. I. 1. p. 196.

Μάλιστα καί. Posterius om. D.

Ἐχυρά. Reg. (G.) *ὀχυρά.* Cf. not. ad I, 35.

Ἀμύνασθαι. D. *ἀμύνεσθαι.* Mosqu. *ἀμήνασθαι.*

Digitized by Google

ἦν προσβάλλῃ· αὐτὸς δὲ ἀπολεξάμενος ἐκ πάντων ἑξήκοντα ὁπλίτας καὶ τοξότας ὀλίγους, ἐχώρει ἔξω τοῦ τείχους ἐπὶ τὴν θάλασσαν, ᾗ μάλιστα ἐκείνους προσεδέχετο πειράσειν ἀποβαίνειν, ἐς χωρία μὲν χαλεπὰ καὶ πετρώδη πρὸς τὸ πέλαγος τετραμμένα· σφίσι δὲ τοῦ τείχους ταύτῃ ἀσθενεστάτου ὄντος, ἐπισπάσασθαι αὐτοὺς ἠγεῖτο προθυμήσεσθαι· 3. οὔτε γὰρ αὐτοὶ ἐλπίζοντές ποτε ναυσὶ κρατηθήσεσθαι, οὐκ ἰσχυρὸν ἐτείχιζον, ἐκείνους τε, βιαζομένους τὴν ἀπόβασιν, ἀλώσιμον τὸ χωρίον γίγνεσθαι. 4. κατὰ τοῦτο οὖν πρὸς αὐτὴν τὴν θάλασσαν χωρήσας

1. *Αὐτὸς δὲ ἀπολεξάμενος ἐκ πάντων*] † ἀποκόψας † ἐκ τῶν προσόντων τῷ τείχει. — 4. ** *Χαλεπά*] δυσβατά. (*Καισ.*) — 5. *Τοῦ τείχους ταύτῃ* —] τὴν κατὰ τοῦτο τὸ μέρος ἀσθένειαν τοῦ τείχους ἁφορμὴν παρέξειν τοῖς Λακεδαιμονίοις, ὥστε ἐπ' αὐτὸ ὁρμῆσαι. περιττὸν δὲ τὸ προθυμήσεσθαι· ἥκιστα γὰρ τὸ ἐπισπάσασθαι. ἴσως δὲ, ἐφελκύσεσθαι αὐτοὺς ἠγεῖτο εἰς προθυμίαν ἐκεῖνο τὸ μέρος. — 7. *Αὐτοί*] οἱ περὶ τὸν Δημοσθένην. (λ. *Αὐγ.*) — *Ἐλπίζοντές ποτε ναυσὶ κρατήσεσθαι* — —] οἱ Ἀθηναῖοι οὐκ ἰσχυρῶς τὸ πρὸς θάλασσαν ἐνείχισαν τῆς Πύλου οὐχ ἡγούμενοι ἐντεῦθεν ἐπιθήσεσθαι τοὺς ἐναντίους, ἅτε δὴ θαλαττοκρατούντων Ἀθηναίων. — 8. *Βιαζομένους*] βιαίως ποιοῦσιν. (λ. *Αὐγ.*) — 9. *Ἀλώσιμον τὸ χωρίον γίγνεσθαι*] ἑλπὶς ἦν δηλονότι. (λ. *Αὐγ.*) — 10. *Χωρίσας*] τοὺς ἑπλίτας δηλονότι. (λ. *Αὐγ.*)

Προσβάλλῃ Cass. Aug. Vat. H. Mosqu. Bekk. Goell. Vulgo (et Haack.) *προσβάλῃ*.

Ἀπολεξάμενος. Vind. *ἀπαδεξάμενος*.

Ἀποβαίνειν. „Punctum post *ἀποβαίνειν* mutavi in comma, ut iam suaserat Kistem. Pendent enim [proxima] a verbo *ἐχώρει*." HAACK. Imo ad *ᾗ ἀποβαίνειν* pertinent, unde Bekk. vel virgulam omisit. Mox D. *χαλαπά*, sed *ε s. αι* ead. man.

Τετραμμένα. Pal. *τετραμένα*. Post hoc vocab. autem ob mutatam structuram colon pro virgula posuimus.

Ἐπισπάσασθαι. D. *ἐπισπᾶσθαι*. Reiskius *ἐπισπᾶσθαι* coniiciebat. Cf. adnot.

Προθυμήσεσθαι. Cod. Bas. *προθυμήσασθαι*. Schol. Aug. *προθυμηθήσεσθαι*.

8. *Κρατηθήσεσθαι* Cass. Aug. Pal. It. Vat. Reg. (in G. quidem *κρατήσεσθαι*, sed *θη* ead. man. supersor.) Bekk. Goell. In E., ut vulgo (et Haack.), *κρατήσεσθαι*, sed *θη* al. man. superscr. Nostrum facile quidem cum Haack, ab interpretibus profectum iudicoes (cf. I. 1. p. 192.), sed quum syllaba *θη* in libris negligentius scriptis facillime excidere potuerit, a melioribus non recedendum duximus.

4. *Τὴν θάλασσαν*. *Τὴν* om. Chr.

Χωρήσας Cass. (in quo supra rec. man. *χωρίσας*,) Aug. Cl. It. Vat. H. I. E. Mosqu. m. (in quo

Digitized by Google

ἔταξε τοὺς ὁπλίτας, ὡς εἶρξον, ἢν δύνηται· καὶ παρεκελεύσατο τοιάδε.

(*Δημοσθένης τοῖς στρατιώταις παρακελεύεται.*)

ι'. „Ἄνδρες οἱ ξυναράμενοι τοῦδε τοῦ κινδύνου, μηδεὶς ὑμῶν ἐν τῇ τοιᾷδε ἀνάγκῃ ξυνετὸς βουλέσθω δοκεῖν εἶναι, ἐκλογιζόμενος ἅπαν τὸ περιεστὼς ἡμᾶς δεινὸν, μᾶλλον δὲ ἀπερισκέπτως εὔελπις ὁμόσε χωρῆσαι τοῖς ἐναντίοις, καὶ ἐκ τούτων ἂν περιγενόμενος. ὅσα γὰρ ἐς ἀνάγ-

ι'. 3. Ἄνδρες οἱ ξυναράμενοι] δημηγορία Δημοσθένους. τὸ προοίμιον ἐκ προσοχῆς. εἴρηται δὲ τῷ δυνατῷ μόνῳ. — Οἱ ξυναράμενοι] οἱ συνεφαψάμενοι. (λ. Αὐγ.) — Τοῦδε τοῦ κινδύνου] ἀντὶ τοῦ τόνδε τὸν κίνδυνον· ἡ δὲ διάνοια ἀντὶ τοῦ, μηδεὶς ἐν τοσούτῳ κινδύνῳ γενόμενος ὀξεῖ τε καὶ ἀναγκαίῳ, συνετὸς βουλέσθω δοκεῖν εἶναι, καὶ ἐξαριθμείτω τὰ περιεστηκότα δεινά, ἀλλὰ τοῖς ἐναντίοις θαρσαλέως ἀντιτατέσθω, καταφρονήσας τοῦ περιεστηκότος κινδύνου· μᾶλλον γὰρ ὁ τοιοῦτος κρατήσει τῶν πολεμίων. — 4. Ἐν τῇ τοιᾷδε ἀνάγκῃ] ἐν τῇ παρεστώσῃ. (λ. Αὐγ.) — 7. Ὅσα γὰρ ἐς ἀνάγκην ἀφῖκται] τοῦτο ἐξηγητικόν ἐστι τοῦ προτέρου· οἱ γὰρ ἀναγκαίως περιεστῶτες κίνδυνοι οὐ διαλογισμοῦ χρῄζουσιν ἀκριβοῦς, ἀλλὰ τοῦ διακινδυνεύειν ἀόκνως καὶ ἀμελετήτως· τὸ δὲ ἥκιστα οὐκ ἐπὶ τοῦ ἧττον, ἀλλ' ἐπὶ τοῦ οὐδ' ὅλως κεῖται. — Ἐς

pariter ī supra scr.) Vall. Haack. Bekk. Goell. Vulgo χωρίσας, quod qui interpretantur *secernens a ceteris*, non reputant et nimis nude positum fore, et ob alia argumenta ab Haack. exposita minus aptum esse.

Εἶρξον. Pal. Bekk. εἴργων. Cf. de Art. crit. p. 152.

Δύνηται. D. δύνωνται, cum η s. ω al. man.

Cap. X. *Ἄνδρες — κινδύνου* laudantur Bekk. Anecdd. I. p. 173. ubi *συναρ*. Imitatur Procop. Goth. p. 241. et 256. „Enallagen casus hic statuit Schol. [at vid. I. 1. p. 122.], ellipsin τοῦ μέρος Steph. Animadvv. ad Script. de Dial. p. 45." DUK. Cf. V, 28. et recordare structuram verbi *συλλαμβάνειν*. Accusativo scriptor usus est II, 71.

Τῇ τοιᾷδε. *Τῇ* om. C. At vid. adnot. ad II, 41. et Ind.

Βουλέσθω. Vind. *βουλευέσθω*.

Ἅπαν τό. Dan. *ἅπαντα*.

Περιεστώς. Pal. Gr. Bekk. Goell. *περιεστηώς*, ut nonnulli libri III, 9. ubi vid.

Μᾶλλον δέ. Vulgo (Bekk. Goell.) *μᾶλλον ἤ*, sed *ἤ* om. Cass. (in quo corr. adscr.) Aug. Cl. It. Vat. Gr. E., quos quum sequi haud liceat, atque vulg. et omni auctoritate careat, et *μᾶλλον* a *ξυνετός* nimis divellat, ex F. G. (in quo tamen *ἤ* s. v. adnot.) Reg. (G.) Mosqu. Ar. Chr. Dan. Schol. Haack. *δέ* recepimus.

Χωρῆσαι. Cl. F. H. C. I. m. Ar. Chr. Dan. marg. Steph. male *χωρήσας*. Mox *ὡς καὶ* scriptum vellis.

Περιγενόμενος. m. *περιγιγνόμενος*.

Ὅσα — προσδεῖται. „Stob. p. 360." WASS.

Ἐς ἀνάγκην. D. m. Ar. *ἐν ἀν.*

Digitized by Google

κην ἀφῖκται, ὥσπερ τάδε, λογισμὸν ἥκιστα ἐνδεχόμενα, κινδύνου τοῦ ταχίστου προσδεῖται. 2. ἐγὼ δὲ καὶ τὰ πλείω ὁρῶ πρὸς ἡμῶν ὄντα, ἢν ἐθέλωμέν τε μεῖναι, καὶ μὴ, τῷ πλήθει αὐτῶν καταπλαγέντες, τὰ ὑπάρχοντα ἡμῖν κρείσσω καταπροδοῦναι. 3. τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον ἡμέτερον νομίζω, ([ὃ] μενόντων ἡμῶν ξύμμαχον † γίγνεται, ὑποχωρήσασι † δὲ, καίπερ χαλεπὸν ὂν,

ἀνάγκην ἀφῖκται] *ἦγουν ἀναγκαῖά εἰσι καὶ βίαια.* (λ. *Ἀήγ.*) — 1. *Τάδε*] *τὰ περιεστῶτα.* (λ. *Ἀήγ.*) — *Ἐνδεχόμενα*] *τὸ ἐνδέχεται ἐνταῦθα ἀντὶ τοῦ ἁπλῶς δέχεται.* (*Βας.*) — 2. ** *Ἐγὼ δὲ καί* —] *σημείωσαι τὸ δυνατόν.* (*Ἀήγ.*) — 3. *Πρὸς ἡμῶν ὄντα*] *ἡμῖν σύμμαχα καὶ ὠφέλιμα ὄντα.* — 4. *Αὐτῶν*] *τῶν ἐναντίων δηλονότι.* (λ. *Ἀήγ.*) — *Τὰ ὑπάρχοντα ἡμῖν κρ.*] *τὰ παρόντα ἡμῖν πλεονεκτήματα.* — 6. *Ἡμέτερον*] *εἰς ἡμετέραν βοήθειαν.* — 7. *Ὑποχωρήσασι δὲ* —], *ὑποχωρησάντων δὲ, καίπερ δυσέμβατον ὄν, εὐπείθητον γενήσεται τοῖς Λακεδαιμονίοις.* — *Χαλεπὸν*] *εἰς ἐπίβασιν δηλονότι.* (λ. *Ἀήγ.*)

Nostrum habet Stob. estque in m. supra scr.

Ἀφῖκται. Pal. *ἀφίκται.* D. *ἀφιῆται*, κ s. η̄ al. man.

Τάδε. Gr. *τοιάδε.* Stob. *τόδε.*

Λογισμόν. Stob. edd. olim *λογισμῶν*, sed Gaisfordii libri *λογισμόν.* Schol. Aristid. p. 187. *Θουκυδίδης λέγει ὅτε* (l. *ὅτι*) *αἱ ἀνάγκαι λογισμοῦ ἐλαχίστου δέονται.*

Ἐνδεχόμενα. Stob. cod. A. *ἐκδεχόμενα.* Pro *ταχίστου* eiusdem ed. Trincav. *αἰσχίστου.*

2. *Καὶ τὰ πλείω.* *Καί* omi Mosqu.

Ἡμῶν. Gr. pessime *ἡμᾶς.*

Ἐθέλωμεν. D. E. Vind. *θέλωμεν.* At vid. I. 1. p. 211. Mosqu. *ἐθέλομεν.*

Καὶ μὴ — καταπλαγέντες Dion. Hal. p. 800.

Ἡμῖν. G. *ἡμῶν*, ῑ s. ῶ al. man.

3. *Τοῦ τε γὰρ — ἴσται.* „Dion. Hal. II. p. 135. [801.]“ WASS.

Ὃ om. Cass. (in quo man. rec. adscr.) Aug. Cl. Pal. It. Vat. H. C. (qui s. v. al. man. habet,) Reg. (G.) Gr. B. D. I. E. Ar. Chr. Dan. Bar. Ald. Flor. Bas., utque nos in Obss. critt. p. 24. suaseramus, delevit Haack. Varia tentarunt Censor libri nostri in Ephemm. Ienn. a. 1816. mens. Ian. no. 12. et Reisig. Coniectt. in Aristoph. I. p. 310. Vulgatam agnoscit Dion. Hal. et defendit Krüg. l. l. p. 233. Vid. not. Verba *ὃ μενόντων — ἴσῳ ἤδη* iam olim punctis post *κωλύοντος* et *βιάζηται* in minores distinctiones mutatis in parenthesim redigi iussimus, ut *τοῦ τε γὰρ χωρίου τὸ δυσέμβατον — τό τε πλῆθος* sibi respondeant. Obsecutus est Haack., non obsecuti sunt Bekk. et Goell. Sed etsi *τε γάρ* pro solo *γάρ* a Thuc. ob ea, quae Schaef. ad Dion. p. 409. disputavit, dictum putes, qua de re in adnot. ad IV, 52. disseruimus, hic, ubi *τὰ ὑπάρχοντα κρείσσω* plurali numero praecessarunt, plura commoda sequuntur necesse est.

Μενόντων. Dion. Hal. *μενόντων μέν*, quod temere probat Kistem.

Γίγνεται. Gr. D. *γίγνεσθαι*, ille cum τ s. ᾱ. Infinitivum si abiecto ὅ et parenthesis priore signo

εὔπορον ἔσται, μηδενὸς κωλύοντος· καὶ τὸν πολέμιον 244.
δεινότερον ἕξομεν, μὴ * ῥᾳδίως * αὐτῷ πάλιν οὔσης τῆς
ἀναχωρήσεως, ἣν καὶ ὑφ' ἡμῶν βιάζηται· ἐπὶ γὰρ ταῖς
ναυσὶ ῥᾷστοί εἰσιν ἀμύνεσθαι, ἀποβάντες δὲ, ἐν τῷ ἴσῳ
ἤδη·) 4. τό τε πλῆθος αὐτῶν οὐκ ἄγαν δεῖ φοβεῖσθαι· 5
κατ' ὀλίγον γὰρ μαχεῖται, καίπερ πολὺ ὄν, ἀπορίᾳ τῆς
προσορμίσεως· καὶ οὐκ ἐν γῇ στρατός ἐστιν ἐκ τοῦ
ὁμοίου μείζων, ἀλλ' ἀπὸ νεῶν, αἷς πολλὰ τὰ καίρια δεῖ

1. *Εὔπορον*] εὐεπίβατον. (λ. *Ανγ.*) — *Καὶ τὸν πολέμιον δεινότερον ἕξομεν*] ἡ διάνοια τοιαύτη· οἱ πολέμιοι, φησὶν, ὑποχωρησάντων ἡμῶν, ἀποβάντες τῶν νεῶν, καὶ ἐπελθόντες τῷ τείχει, χαλεπώτεροι ἡμῖν ἔσονται. εἰδότες γὰρ ὅτι, ἂν μὴ κρατήσωσιν, οὐ ῥᾳδίως ἀποχωρῆσαι δυνήσονται ὀπίσω διὰ τὴν χαλεπότητα τοῦ χωρίου, μετὰ ἀπονοίας ἡμῖν μαχοῦνται, ἢ ἀπολέσθαι ζητοῦντες ἢ κρατῆσαι τοῦ χωρίου. ῥᾷστον γὰρ, φησὶν, ἐστὶν ἔτι αὐτοὺς ὄντας ἐπὶ τῶν νεῶν ἀμύνασθαι. — 4. *Ἀποβάντες δὲ* —] ἐκβάντες δὲ, φησὶ, τῶν νεῶν ἴσοι γίνονται ἡμῖν, κατασκευάζει δὲ διὰ τούτου, ὅτι οὐδ' ὅλως δεῖ αὐτοῖς συγχωρῆσαι κατελθεῖν εἰς τὴν γῆν. — *Ἐν ᾧ ἴσῳ ἤδη τότε*] ἀπὸ κοινοῦ, ἡμῖν ἔσονται ἴσοι εἰς τὸν πόλεμον, διὰ τὸ ἀπορεῖν ποῦ χρὴ προσορμισθῆναι μετὰ ἀσφαλείας, διὰ τὸ δυσέμβατον. — 5. ** *Φοβεῖσθαι*] λείπει ἡμᾶς. (*Ανγ.*) — 7. *Καὶ οὐκ ἐν γῇ στρατός ἐστιν* —] καὶ μείζων μέν ἐστιν ὁ στρατὸς αὐτῶν, ἀλλ' οὐκ ἀπὸ γῆς ὁρμώμενος οὐδὲ ἐν γῇ παρατεταγμένος, ἔπειτα πλεονεκτοῦσι Λακεδαιμόνιοι, ἀλλ' ἐν θαλάσσῃ, ὅπου πολλὰ γίγνεται ἀπροσδόκητα καὶ ἀπὸ τοῦ κλυδωνίου καὶ ἀπὸ τῶν ἀνέμων καὶ ἐξ ἄλλων πολλῶν. — 8. *Αἷς πολλὰ τὰ καίρια*] αἷς τισι [*navi*] πολλῶν χρεία τῶν ἐπιτηδείων, οἷον εἰπεῖν, ἀνέμου καὶ χωρίων εὐλαβουμένων καὶ εἰρεσίας εὐκαίρου, ἵνα δυνηθῶσιν ἀντιταχθῆναι τοῖς ἐν γῇ. (λ. *Κασσ.*) — *Δεῖ*] τὸ δεῖ ἀντὶ τοῦ εἴωθεν. (λ. *Κασσ.*)

non ante *μενόντων*, sed post *γίγν.* posito vellis probare, criticae leges repugnant, et aliae oriuntur difficultates. Ita tamen Valla videtur legisse. Cf. adnot. Etiam in proximo *ὑποχωρήσασι* vetustum vitium residere credas. Vid. ibid.

Ἔσται. Cl. in marg. *ἔστι*. Vulgatam tuetur Dion. Hal.

Καὶ τὸν πολέμιον — ἀναχωρήσεως, „Dion. Hal. p. 134. [798.]" WASS.

Ῥᾳδίως Cass. (in quo postea *ῥᾳδίας* factum,) Aug. (ubi *ᾱ* supra scr. man. ant.) Cl. (qui *ῥᾳδίας* in marg. habet,) Vat. H. Gr. B. Ald. Flor. Bas. Steph. 1. Goell. Vid. I. 1. p. 169. et de Latinis 374. Vulgo (Haack. Bekk.) *ῥᾳδίας*.

Αὐτῷ πάλιν. Vat. Mosqu. *πάλιν αὐτῷ*. In D. *αὐτῷ* de. Ex I. et *αὐτῷ πάλιν* affert et *αὐτῷ* ibi deesse tradit Gail.

Ἀμύνεσθαι. Schol. *ἀμύνασθαι*, sed in Aug. *ᾱ* super *ᾰ* scr.

Ἤδη. Post hoc vocab. ante Gottl. nulla omnino erat distinctio, quam addunt Cass. Reg. Chr. Punctum posuerunt Gottl. Bekk. Goell. Pro proximo *τό τε* ante Gottl. *τότε*.

4. *Προσορμίσεως*. D. I. Mosqu. *προσορμήσεως*. Proxime colon

Digitized by Google

ἐν τῇ θαλάσσῃ ξυμβῆναι. 5. ὥστε τὰς τούτων ἀπορίας ἀντιπάλους ἡγοῦμαι τῷ ἡμετέρῳ πλήθει· καὶ ἆρα ἀξιῶ ὑμᾶς, Ἀθηναίους ὄντας, καὶ ἐπισταμένους ἐμπειρίᾳ τὴν ναυτικὴν ἐπ' ἄλλους ἀπόβασιν, ὅτι, εἴ τις ὑπομένοι, καὶ μὴ φόβῳ ῥοθίου καὶ νεῶν δεινότητος ταχείας ὑποχωροίη, οὐκ ἂν ποτε βιάζοιτο, καὶ αὐτοὺς νῦν μεῖναί τε, καὶ ἀμυνομένους παρ' αὐτὴν τὴν ῥαχίαν, σώζειν ἡμᾶς τε αὐτοὺς καὶ τὸ χωρίον."

(Οἱ Λακεδαιμόνιοι ἔκ τε γῆς καὶ ἐκ θαλάσσης προσβάλλουσι. Βραχίδας τοὺς ἄλλους ἐκπέρχει.)

ια. Τοσαῦτα τοῦ Δημοσθένους παρακελευσαμένου,

1. Ὥστε τὰς τούτων ἀπορίας — —] ὡς ἂν εἴ ἔλεγεν, ἐπειδὴ πλείονες ἡμῶν εἰσιν, ἡμεῖς δὲ ἐλάχιστοι, ὥςπερ ἐξισοῦ τὸ πλῆθος πρὸς τὸ ἡμέτερον τὸ πολὺ τῆς ἀπορίας, ἣν ἔχουσι. — 2. Τῷ ἡμετέρῳ πλήθει] ἔξεστι λέγειν τὸ πλῆθος καὶ ἐπὶ ὀλίγων, Ὅμηρος· Πλήθει τε σφετέρῳ, καὶ ὑπερδέα δῆμον ἔχοντας. — 3. Ἀθηναίους ὄντας] ὥςπερ διὰ τῆς προσηγορίας ἐνέφηνεν αὐτῶν τὸ ἀξίωμα τῆς κατὰ θάλασσαν ἐπιστήμης. — 4. Ἐπ' ἄλλους ἀπόβασιν —] τὴν ἀπόβασιν τὴν κατ' ἄλλων εἰδότας, ὅτι, ἐάν τις καρτερήσας προσδέχηται [θαῤῥῶν], καὶ μὴ φύγῃ καταπλαγεὶς τῷ φόβῳ τοῦ ῥοθίου καὶ τῷ φόβῳ τῆς δεινότητος τοῦ κατάπλου, πάντα κατορθοῖ. ῥόθιον δέ ἐστιν ὁ ἦχος τῆς εἰρεσίας. — ** Ὅτι, εἴ τις ὑπομένοι — —] διὰ μέσου· οὐ γάρ, φησὶ, διάξονται· ἐπίστασθε γάρ, ἔμπειροι ὄντες τῆς ναυτικῆς ἀποβάσεως, ὅτι, εἴ τις ὑπομένοι ἐν θαλάσσῃ καὶ μὴ ὑποχωροίη ἐν γῇ μὴ † προβῆναι αὐ... αἱμενος †, σὺν ἂν ποτε βιάζοιτο. (Παλ.) — 7. Τὴν ῥαχίαν] ἅτι ῥαχία ἐστὶ πετρώδης τόπος, περὶ ὃν περιῤῥήγνυται ἡ θάλασσα, καὶ ὁ κλύδων καὶ ἡ τῆς θαλάσσης ὁρμή· ὅθεν καὶ τὸ ὀστῶδες τὸ γάτιον ῥάχις καλεῖται, ὡς ἀπὸ τῆς ῥαχίας τῆς πέτρας.

pro puncto posuimus, quam secunda nunc afferatur causa, ob quam multitudo hostium non timenda sit.

5. *Πλήθει.* Huc respiciunt Suid. et Phav. Vid. adnot.

Ὑμᾶς. Gr. ἡμᾶς.

Ἆμα ἀξιῶ ὑμᾶς. H. ἀξιῶ ἆρα ὑμᾶς.

Ὑπομένοι. E. ὑπομένει. Verba ὅτι — βιάζοιτο ante Bekk. uncis includebantur.

Ῥοθίου. Huc respiciunt Harpocrat. Dio Cass. aliique. Vid. not.

Νεῶν δεινότητος. F. δεινότητος νεῶν. At vid. adnot. E. τῶν νεῶν δεινότ.

Ὑποχωροίη. E. ὑποχωροῖτο, ῆ s. το al. man.

Νῦν om. cod. Bas.

Ῥαχίαν. Huc respicere Phot. Lex. et Plutarch. de Glor. Athen. p. 618. videbimus in adnot.

Σώζειν. Pal. σῴζειν. Cf. de Art. crit. p. 150. Ar. Chr. Dan. καὶ σώζειν.

Digitized by Google

οἱ Ἀθηναῖοι ἐθάρσησάν τε μᾶλλον, καὶ ἐκπαταβάντες ἐτάξαντο παρ' αὐτὴν τὴν θάλασσαν. 2. οἱ δὲ Λακεδαιμόνιοι, ἅραντες, τῷ τε κατὰ γῆν στρατῷ προσέβαλλον τῷ τειχίσματι, καὶ ταῖς ναυσὶν ἅμα, οὔσαις τεσσαράκοντα καὶ τριςί· ναύαρχος δὲ αὐτῶν ἐπέπλει Θρασυμηλίδας ὁ Κρατησικλέους, Σπαρτιάτης. προσέβαλλε δὲ ὑπερ ὁ Δημοσθένης προσεδέχετο. 3. καὶ οἱ μὲν Ἀθηναῖοι ἀμφοτέρωθεν, ἔκ τε γῆς καὶ ἐκ θαλάσσης, ἠμύνοντο. οἱ δὲ, κατ' ὀλίγας ναῦς διελόμενοι, διότι οὐκ ἦν πλείοσι 245.
προσχεῖν, καὶ ἀναπαύοντες ἐν τῷ μέρει, τοὺς ἐπίπλους ἐποιοῦντο, προθυμία τε πάσῃ χρώμενοι καὶ παρακελευσμῷ, εἴ πως ὠσάμενοι ἕλοιεν τὸ τείχισμα. 4. πάντων δὲ φανερώτατος Βρασίδας ἐγένετο. τριηραρχῶν γὰρ, καὶ

cf. 2. *Ἐτάξαντο*] *ἀντὶ τοῦ παρετάξαντο, ἢ ἐτάχθησαν, καὶ ηὐτρεπίσθησαν.* — 4. *Ταῖς φανείν*] *οὐ* [*λέγει*] *ταῖς τῶν πολεμίων, ἀλλὰ ταῖς ἑαυτῶν.* — 6. *Ἥπερ ὁ Δημοσθένης προσεδέχετο*] *κατὰ τὸ μέρος τὸ νεῖον ἐπὶ τὸ πετρῶδες, ὅπου καὶ προσεδόκα ὁ Δημοσθένης.* — 9. *Διότι οὐκ ἦν πλείοσι προσχεῖν*] *ἐπειδὴ οὐ δυνατὸν ἦν πλείοσι προσορμίσασθαι, διὰ τὸ πετρῶδες, διὰ τοῦτο ὀλίγαις ὥρμησαν ναυσὶ καὶ κατὰ διαδοχὴν, ἢ τὰς ναῦς ἀναπαύοντες ἢ αὐτοὶ ἀναπαυόμενοι.* — 11. *Παρακελευσμῷ*] *παρακινήσει.* (*λ. Ἀύγ.*) — 12. *Ὠσάμενοι*] *τοὺς ἐναντίους δηλονότι.* (*λ. Ἀύγ.*) — *Πάντων δὲ φανερώτατος* —] *σπουδαιότατος καὶ ἐπιδήλως ὑπὲρ πάντας ὁ Βρα-*

Cap. XI. *Ἐθάρσησαν.* H. *ἐθάρρησαν.* At vid. I. 1. p. 209.

Παρ' αὐτήν. Pal. Vat. *παρ' ἑαυτήν.* H. *παρὰ ἑαυτήν.* I. om. *αὐτήν*, servato, ut videtur, *παρ'*. „Thom. Mag. in *παρά* e memoria vel vitio scribarum *ἐτάξαντο παρὰ τὴν θάλ.*" DUK.

2. *Ἅραντες* om. D.

Προσέβαλλον. C. Reg. Gr. B. D. E. Mosqu. m. Ar. Chr. Dan. *προσέβαλον.* Mox de numero navium dubitari potest. Vid. not.

Θρασυμηλίδας. Ed. Bas. (sed non cod. Bas.) *Θαρσυμηλ.*

Προσέβαλλε. C. (in quo alterum λ s. v.) Gr. D. E. m. Ar. Chr. *προσέβαλε.*

3. *Ἀμφοτέρωθεν* om. F.

Ἔκ τε. Gr. *ἔκ τε τῆς.* „Recte." WASS. At vid. not. Mosqu. *ἐκ τῆς.*

Καὶ ἐκ. *Ἐκ* om. Mosqu., qui statim *ἠμήνοντο* scribit.

Προσχεῖν. Bekk. *προσχεῖν.* Vid. adnot. ad I, 15. Mox comma, quod vulgo ante *ἐν* collocatur, post *μέρει* transposuimus. (Bekk. om.)

Προθυμία — παρακελευσμῷ. „Thom. Mag. in *παρακέλευσις.*" DUK. Gr. *προθυμίᾳ δέ*, E. Dan. *παρασκευασμῷ* pro *παρακελ.*

Ὠσάμενοι. Ar. Chr. Dan. *καφσάμ.*

4. *Βρασίδας.* Vulgo *ὁ Βρασ.*, sed *ὁ* om. Cass. Aug. Cl. Pal. It. Vat. Gr. D. E. m. Ar. Chr. Bekk. Goell., uncis inclusit Haack.

Γὰρ om. D. Vall.: „*inter quos*

Digitized by Google

ἄρδην, τοῦ χωρίου χαλεποῦ ὄντος, τοὺς τριηράρχους καὶ κυβερνήτας, εἴ πη καὶ δύποιη δυνατὸν εἶναι σχεῖν, ἀποκνοῦντας, καὶ φυλασσομένους τῶν νεῶν, μὴ ξυντρίψωσιν, ἐβόα, λέγων ὡς οὐκ εἰκὸς εἴη, ξύλων φειδομένους, τοὺς πολεμίους ἐν τῇ χώρᾳ περιϊδεῖν τεῖχος ποιημένους· ἀλλὰ τάς τε ἀφανέρας ναῦς, βιαζομένους τὴν ἀπόβασιν, καταγνύναι ἐκέλευε, καὶ τοὺς ξυμμάχους μὴ ἀποκνῆσαι ἀντὶ μεγάλων εὐεργεσιῶν τὰς ναῦς τοῖς Λακεδαιμονίοις ἐν τῷ παρόντι ἐπιδοῦναι, ὀκείλαντας δὲ, καὶ παντὶ τρόπῳ ἀποβάντας, τῶν τε ἀνδρῶν καὶ τοῦ χωρίου κρατῆσαι.

σίδας ἐγένετο ἐν ἐκείνῳ τῷ ἔργῳ εἰς προθυμίαν· καὶ ὁρῶν τοὺς τριηράρχους ὀκνοῦντας διὰ τὸ χαλεπὸν τοῦ χωρίου, περὶ τῶν νεῶν φυλασσομένους, ὅπως μὴ ξυντρίψωσιν αὐτάς. — 2. Σχεῖν] προσχεῖν. (λ. Αὐγ.) — 3. Τῶν νεῶν] ἦγουν τινὰς τῶν νεῶν. (λ. Αὐγ.) — 6. Βιαζομένους] σὺν βίᾳ ποιοῦντας. (λ. Αὐγ.) — 8. Ἀντὶ μεγάλων εὐεργεσιῶν] ἐντεῦθεν τιμῶν λέγει, ὧν μέλλουσιν ὕστερον εὐεργετηθῆναι αὐτοὶ οἱ σύμμαχοι καὶ τιμηθῆναι. §. Ἢ εὐεργεσιῶν, ὧν αὐτοὺς εὐεργέτησαν ἤδη οἱ Λακεδαιμόνιοι. — 9. Ὀκείλαντας] προσπελάσαντας καὶ προσεγγίσαντας [καὶ προστρίψαντας. (Αὐγ.)]

maxime exstabat Brasidas, unus e trierarchis, qui quum cerneret etc." Quem apparet puncto post ἐγέν. sublato καὶ ὁρῶν cum φανερώτατος ἐγένετο iunxisse. Aliquantum suspectum γάρ etiam eo fit, quod Reg. (G.) δέ pro eo habet, cui illud rec. man. superscr. Nec Schol. particulae valde favet. Sed Vallam si sequare, quum durior nexus efficiatur, et ὁρῶν γάρ potius quam καὶ ὁρῶν exspectari vere scribat Goell., a plerorumque librorum scriptura non est recedendum.

Εἴ πη Cass. Cl. Pal. It. Vat. H. Bekk. Goell., nisi quod Cass. Pal. Bekk. et fortasse It. Vat. πῃ (cf. de Art. crit. p. 149.) exarant. Vulgo (et Haack.) εἴ που.

Δυναιόν. F. C. Reg. (G.) χαλαπόν, quod pervertit sententiam.

Ἀποκνοῦντας. Pal. ἀπωκν.

Εἰκὸς εἴη. Gr. εἴη εἰκός.

Τεῖχος. H. τό om. dicitur, quod tamen nullus liber habet.

Πεποιημένους. Chr. ποιουμένους.

Ἀπόβασιν. E. ἐπίβασιν.

Καταγνύναι. Pal. καταγνῦναι, Reg. (?) Gr. Vind. Dan. καταγηναι.

Ἐκέλευε. Mosqu. ἐκέλευεν.

Ἐπιδοῦναι. E. Dan. ἀπυδοῦναι, sed nostrum proprium verbum est de rebus, quae sponte civitati dantur.

Digitized by Google

(*Τοῦ αὐτοῦ Βρασίδου μεγίστη ἀνδρεία. Λακεδαιμόνιοι ἄπρακτοι γίγνονται.*)

ιβ'. Καὶ ὁ μὲν τούς τε ἄλλους τοιαῦτα ἐπέσπερχε, καὶ τὸν ἑαυτοῦ κυβερνήτην ἀναγκάσας ὀκεῖλαι τὴν ναῦν, ἐχώρει ἐπὶ τὴν ἀποβάθραν. καὶ πειρώμενος ἀποβαίνειν, ἀνεκόπη ὑπὸ τῶν Ἀθηναίων· καὶ τραυματισθεὶς πολλαῖς, ἐλειποψύχησέ τε, καὶ πεσόντος αὐτοῦ ἐς τὴν παρεξειρεσίαν, ἡ ἀσπὶς περιερρύη ἐς τὴν θάλασσαν, καὶ ἐξενεχθείσης αὐτῆς ἐς τὴν γῆν, οἱ Ἀθηναῖοι ἀνελόμενοι, ὕστερον πρὸς τὸ τροπαῖον ἐχρήσαντο ὃ ἔστησαν τῆς προσβολῆς ταύτης. 2. οἱ δ' ἄλλοι προὐθυμοῦντο μὲν, ἀδύνατοι δ' ἦσαν ἀποβῆναι, τῶν τε χωρίων χαλεπότητι,

ιβ'. 1. Ἐπέσπερχεν] ἐπεσπούδαζεν. — 2. Ὀκεῖλαι τὴν ναῦν] προσοκεῖλαι, ἐλλιμενίσαι. — 3. Ἐπὶ τὴν ἀποβάθραν] ἡ ἀπὸ τῆς νεὼς ἐπὶ τὴν γῆν ἔξοδος ἀποβάθρα καλεῖται. — 5. Ἐς τὴν παρεξειρεσίαν] παρεξειρεσία ἐστὶν ὁ ἔξω τῆς εἰρεσίας τῆς νεὼς τόπος, καθ' ὃ μέρος οὐκέτι κώπαις κέχρηνται. ἔστι δὲ τοῦτο τὸ ἀκρότατον τῆς πρύμνης καὶ τῆς πρῴρας. §. ** Παρεξειρεσίαν λέγει τὸ ἄκρον τῆς νηὸς τὸ ἔξωθεν τῶν ἐδωλίων καὶ τῶν καθεδρῶν, ἐφ' αἷς καθέζονται οἱ ἐρέσσοντες. (Βασ.) — 8. Πρὸς τὸ τροπαῖον ἐχρήσαντο] ἀντὶ τοῦ τροπαίου ἐχρήσαντο αὐτῇ, ἢ πρὸς τῷ τροπαίῳ· καὶ αὐτὴν ἔστησαν πλείονος ἕνεκα κόσμου καὶ δόξης. — Τῆς προσβολῆς] ἀντὶ τοῦ τῆς μάχης. — 9. Οἱ δ' ἄλλοι] Λακεδαιμόνιοι δηλονότι. (λ. Ἀνγ.)

CAP. XII. Ἐχώρει — παρεξειρεσίαν. „Vid. Demetr. Phaler. περὶ Ἑρμην. p. 47. ed. Oxon.“ HUDS. [„p. 32. Schneid.“ GOELL.]

Τραυματισθείς. Suid. τραυματισθῆναι ἀντὶ τοῦ τρωθῆναι· Θουκύδ. α'. ubi scribe δ'. nec minus apud Phot. et in Bekk. Anecdd. p. 114.

Ἐλειποψύχησε. Pal. Gr. (non Mosqu., ut Bekk. vult,) ἐλιποψύχησε. D. E. Vind. Ar. Dan, ἐλειποθύμησε. Chr. ἐλυποθύμησε. m. ἐλειποθυμ., cetera a gliribus corrosa, sed supra scr. γρ., quod fortasse indicabat scripturam ἐλειποψύχησε, quam solam veram esse docebit adnot.

Καὶ πεσόντος αὐτοῦ etc. Dion. p. 795. Πεσόντος δ' αὐτοῦ, φησὶν· Εἰς τὴν παρεξειρεσίαν ἡ ἀσπὶς περιερρύη εἰς θάλατταν, ubi corrige interpunctionem (φησὶν, εἰς).

Περιερρύη, Ar. περιερρύει. Chr. ἀπερρύη.

Ἐς τὴν. Ἐς pro vulg. εἰς Cass. Aug. F. H. Reg. (G.) Haack. et recentt. Cf. Farr. discr. script. Mosqu. ἐπί. Mox post θάλασσαν virgulam puncto substituit Bekk.

Οἱ Ἀθηναῖοι ἀνελόμενοι. E. ἀνελόμ. οἱ Ἀθην. In H. Ἀθηναῖοι (non οἱ) s. v., sed ead. man.

Ἐχρήσαντο ὃ de. Mosqu., sed spatio relicto et positis tribus notis ˘˘˘. Antea Pal. τρόπαιον. Cf. I. 1. p. 214.

2. Προὐθυμοῦντο. C. προθυμοῦντο.

Digitized by Google

καὶ τῶν Ἀθηναίων μενόντων, καὶ οὐδὲν ὑποχωρούντων. 8. ἐς τοῦτό τε περιέστη ἡ τύχη, ὥστε Ἀθηναίους μὲν ἐκ
246. γῆς τε, καὶ ταύτης Λακωνικῆς, ἀμύνεσθαι ἐκείνους ἐπιπλέοντας, Λακεδαιμονίους δὲ ἐκ νεῶν τε καὶ ἐς τὴν ἑαυ-
5 τῶν, πολεμίαν οὖσαν, ἐπ' Ἀθηναίους ἀποβαίνειν· ἐπὶ πολὺ γὰρ ἐποίει τῆς δόξης ἐν τῷ τότε τοῖς μὲν, ἠπειρώταις μάλιστα εἶναι, καὶ τὰ πεζὰ κρατίστοις, τοῖς δὲ, θαλασσίοις τε, καὶ ταῖς ναυσὶ πλεῖστον προέχειν.

(Ἐν ᾧ οἱ Λακεδαιμόνιοι μηχανὰς μέλλουσι πορίζεσθαι, αἱ ἐκ Ζακύνθου Ἀθηναίων νῆες παραγίγνονται, καὶ παρασκευάζονται ὡς ἐμβαλοῦντες τῷ τῶν Λακεδαιμονίων ναυτικῷ.)

ιγ'. Ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ τῆς ὑστεραίας
10 μέρος τι προσβολὰς ποιησάμενοι, ἐπέπαυντο. καὶ τῇ τριτῃ ἐπὶ ξύλα ἐς μηχανὰς παρέπεμψάν τῶν νεῶν τινὰς ἐς Ἀσί-

1. Καὶ τῶν Ἀθηναίων μενόντων] ὡς ἂν εἰ ἔλεγεν, ἀμυνομένων πρὸ τοῦ φρουρίου, ὃ ἐποίησαν, καὶ μὴ ἐόντων μηδένα τῶν Λακεδαιμονίων ἀποβῆναι ἀπὸ τῶν νεῶν ἐς τὴν γῆν· τὸ δὲ, καὶ οὐδὲν ὑποχωρούντων, ἀντὶ τοῦ κατ' οὐδὲν ὑποχωρούντων. — 2. Ἐς τοῦτό τε περιέστη ἡ τύχη — —] ὡς ἂν εἰ ἔλεγεν, ἐς τοῦτο περιεστράφη ἡ τύχη Ἀθηναίοις καὶ Λακεδαιμονίοις, ὥστε Ἀθηναίους μὲν ἐκ τῆς Λακωνικῆς ἀντιτάττεσθαι Λακεδαιμονίοις, Λακεδαιμονίους δὲ ἐπὶ τὴν γῆν τὴν ἑαυτῶν ζητεῖν ἐκ νεῶν ἀποβαίνειν, καὶ τοῦτο καλύεσθαι. κατὰ πολὺ γὰρ ἐν τοῖς χρόνοις ἐκείνοις ἔῤῥεπε τὰ τῆς δόξης, τοῖς μὲν Λακεδαιμονίοις, εἰς τὰ πεζὰ μεγίστοις οὖσιν ἀεί, νῦν δοκεῖν ἐν τῇ ναυμαχίᾳ κρατίστοις εἶναι, τοῖς δὲ Ἀθηναίοις, εἰς τὰ ναυτικὰ τεχνίταις οὖσιν ἀεί, νῦν δοκεῖν ἀρίστοις εἶναι τὰ πεζά.

ιγ'. 11. Ἐπὶ ξύλα εἰς μηχ.] ἀντὶ τοῦ ἐπὶ ξύλα ἐπιτήδεια πρὸς μηχανὰς, ποιηθησομένας πρὸς καθαίρεσιν τειχῶν. ἡ δὲ Ἀσίνη πόλις ἐστὶ Λακωνική.

8. Τοῦτό τε. F. C. Reg. (G.) τοῦτο τότε. D. τοῦτο δέ.

Ἀθηναίους μέν. Μέν om. Gr. Mox καὶ ταύτης bis habet G.

Ἐκ νεῶν. C. ἐκ τῶν ν.

Ἐς τήν F. H. Bekk. Goell. Vulgo (et Haack.) εἰς τήν. Vid. ad §. 1.

Ἐποίει. „Ἐπῆει opinor scribendum, ut alias.“ WASS. Ita Ar. et marg. Steph., sed quanquam haec verba saepe confundi in adnot. ad II, 8. videbimus, nihil opus est mutatione. Cf. Schoemanni Observv. in Thucyd. locos quosdam p. 21.

Τῆς δόξης. Ex Schol. τὰ τῆς δόξης legendum esse male nonnulli coniecerunt. Vid. not.

Cap. XIII. Ἐπέπαυντο. Tempus plusquamperf. non valde placet. Vid. tamen ad V, 1. (διελ.)

Τρίτῃ marg. ab al. man. I.

Digitized by Google

νην, ἐλπίζοντες τὸ κατὰ τὸν λιμένα τεῖχος ὕψος μὲν ἔχειν, ἀποβάσεως δὲ μάλιστα οὔσης ἐλεῖν μηχαναῖς. 2. ἐν τούτῳ δὲ αἱ ἐκ τῆς Ζακύνθου νῆες τῶν Ἀθηναίων παραγίγνονται * πεντήκοντα *· προσεβοήθησαν γὰρ τῶν τε φρουρίδων τινὲς αὐτοῖς τῶν ἐκ Ναυπάκτου καὶ Χῖαι τέσσαρες. 3. ὡς δὲ εἶδον τήν τε ἤπειρον ὁπλιτῶν περίπλεων τήν τε νῆσον, ἔν τε τῷ λιμένι οὔσας τὰς ναῦς, καὶ οὐκ ἐκπλεούσας, ἀπορήσαντες ὅπη καθορμίσωνται, τότε μὲν ἐς Πρωτὴν τὴν νῆσον, ἣ οὐ πολὺ ἀπέχει, ἔρημος οὖσα, ἔπλευσαν, καὶ ηὐλίσαντο· τῇ δ' ὑστεραίᾳ παρασκευασάμενοι ὡς ἐπὶ ναυμαχίαν, ἀνήγοντο, ἢν μὲν ἀντεκπλεῖν ἐθέλωσι σφίσιν ἐς τὴν εὐρυχωρίαν, — εἰ δὲ μή, ὡς αὐτοὶ ἐπεξπλευσούμενοι. 4. καὶ οἱ μὲν οὔτε ἀντανήγοντο, οὔτε ἃ διενοήθησαν, φράξαι τοὺς ἔκπλους, ἔτυχον ποιήσαν-

7. *Τήν τε νῆσον*] τὴν Σφακτηρίαν. (λ. *Ἀὐγ.*) — *Τὰς ναῦς*] τῶν Λακεδαιμονίων δηλονότι. (λ. *Ἀὐγ.*) — 11. *Ἦν μὲν ἀντεκπλεῖν ἐθέλωσι σφίσι*] τὸ σχῆμα ἀνανταπόδοτον. καὶ *Ὅμηρος· Ἀλλ' εἰ μὲν δώσουσι γέρας* [*μεγάθυμοι Ἀχαιοί, Ἄρσαντες κατὰ θυμὸν, ὅπως ἀντάξιον ἔσται*· (λ. *Κασσ.*)] *Εἰ δέ κε μὴ δώσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι.* — 13. *Οἱ μέν*] οἱ Λακεδαιμόνιοι. (λ. *Ἀὐγ.*)

Ἔχειν. Vallam ἔχον legisse ex eius interpretatione *sperantes se murum, qui portum spectabat, altum quidem, sed egressioni praecipue opportunum, machinis expugnaturos* non recte colligit Steph.

2. *Πεντήκοντα.* Ita Cl., ut Ae. Portus scribendum coniecerat. Probat hanc scripturam Bredow. Vulgatam *τεσσαράκοντα* ab omnibus editoribus servatam defendere studet Haack., qui nobis non persuadet. Vid. not. *Sexaginta* naves nominat Valla.

Τέσσαρες. E. *τεσσαρ να*, quae Gallius *τέσσαρες νᾶες* significare vult.

3. *Τῷ λιμένι. Τῷ* om. Ar. Chr. Dan.

Ἐκπλεούσας. B. *πλεούσας.*

Ὅπῃ. Cass. Aug. Pal. et fortasse alii cum Bekk. *ὅπῃ.* Cf. de Art. crit. p. 149. Mosqu. *ὅποι*, idemque antea *ἀποῤῥ.*

Καθορμίσωνται. Vind. Mosqu. *καθορμίσονται*, quod quum *καθορμιοῦνται* scribendum esset, non debebamus bonum dicere I. 1. p. 137.

Πρωτὴν Aug. Steph. Byz. Cf. I. 2. p. 191. Vulgo (Haack. Bekk. Goell.) *Πρώτην.*

Ἦν μέν. Gr. *εἰ μέν.*

Ἀντεκπλεῖν. C. *ἀντιπλεῖν.* Post *εὐρυχωρίαν* autem lineolam, quae *ἀνανταπόδοτον* indicet, pro colo vel virgula posuimus. Cf. not.

Ἐπεξπλευσούμενοι. Cod. Bas. *ἐκπλευσ.*

4. *Ποιήσαντες.* H. *ποιήσαντος.* Antea et cap. 15. init. Vind. rursus *σύπλους* et *σύπλουν* pro *ἔμπλ.*

Digitized by Google

τες· ἡσυχάζοντες δ' ἐν τῇ γῇ, τάς τε ναῦς ἐπλήρουν, καὶ παρεσκευάζοντο, ἤν ἐκπλέῃ τις, ὡς ἐν τῷ λιμένι, ὄντι οὐ † σμικρῷ †, ναυμαχήσοντες.

(Ἀθηναῖοι, ἐς τὸν λιμένα ἐκπλεύσαντες, νικῶσι Πελοποννησίους, καίπερ μεγίστην προθυμίαν δεικνύντας, καὶ τοὺς ἐν Σφακτηρίᾳ ἄνδρας ἀπολαμβάνουσιν.)

ιδ'. Οἱ δ' Ἀθηναῖοι, γνόντες, καθ' ἑκάτερον τὸν ἔκπλουν ὥρμησαν ἐπ' αὐτούς· καὶ τὰς μὲν πλείους καὶ μείους ἤδη τῶν νεῶν καὶ ἀντιπρώρους, προσπεσόντες, ἐς φυγὴν κατέστησαν, καὶ ἐπιδιώκοντες ὡς διὰ βραχέος, ἔτρωσαν μὲν πολλὰς, πέντε δὲ ἔλαβον, καὶ μίαν τούτων αὐτοῖς ἀνδράσι, ταῖς δὲ λοιπαῖς ἐν τῇ γῇ κατα-
247. πεφευγυίαις ἐνέβαλλον· αἱ δὲ καὶ, πληρούμεναι ἔτι, πρὶν ἀνάγεσθαι, ἐκόπτοντο· καὶ τινας καὶ ἀναδούμενοι, κενὰς εἶλκον, τῶν ἀνδρῶν ἐς φυγὴν ὡρμημένων. 2. ἃ ὁρῶντες οἱ Λακεδαιμόνιοι, καὶ περιαλγοῦντες τῷ πάθει, ὅτι περ αὐτῶν οἱ ἄνδρες ἀπελαμβάνοντο ἐν τῇ νήσῳ, παρεβοήθουν· καὶ ἐπεσβαίνοντες ἐς τὴν θάλασσαν ξὺν τοῖς ὅπλοις, ἀνθεῖλκον, ἐπιλαμβανόμενοι τῶν νεῶν.

ιδ'. 4. Γνόντες] τὴν βουλὴν ἐκείνων δηλονότι. (λ. Ἀνγ.) — Καθ' ἑκάτερον τὸν ἔκπλουν] ἤγουν τόν τε στενὸν καὶ τὸν πλατύν. (λ. Ἀνγ.)

Τάς τε. Τέ om. Cl.

Σμικρῷ. Cl. Gr. *μικρῷ*, quod damnat Wassii adnotatio; nobis tamen *σμικρῷ* nimio Atticistarum studio elegantiae bis in Thucydidem irrepsisse videbatur I. 1. p. 210. *Μικρῷ* igitur recepit Goell.

Ναυμαχήσοντες. C. I. *ναυμαχήσαντες*.

Cap. XIV. *Ἀντιπρώρους*. Pal. *ἀντιπρῴρους*, cui Hermannus ad Soph. Philoct. v. 480. patrocinatur, sed non alibi ita Thucydidis libri. Antea post *αὐτούς* pro vulg. puncto comma posuit Bekk.

Διὰ βραχέος. Aug. Pal. *διαβραχέως*. At vid. I. 1. p. 221. et Lob. ad Phryn. p. 247.

Πέντε δέ. *Δέ* plene pro vulg. (Haack. Bekk. Goell.) *δ'* Cass. Pal. H. C. Reg. (G.) Gr. D. I. E. Ar. Chr. et haud dubie plures.

Ἐνέβαλλον. Pal. E. Mosqu. *ἐνέβαλον*. Posterior insuper antea *ἀνδρᾶσι*.

Δὲ καί. *Καί* om. F. C. Reg. (G.) Comma, quod vulgo ante *καί* legitur, aliique omittunt, nos post hanc partic. collocavimus.

Καί τινας — εἶλκον Thom. Mag. p. 50. Cf. quae in discr. script. II, 90. adnotavimus.

Ὡρμημένων. E. *ὡρμωμένων*.

2. *Πέρ*. Mosqu. Dan. *παρ'*.

Ἐπιλαμβανόμενοι Cass. (in quo man. rec. *ἀντι* superscr.) Aug. Cl. It. Vat. H. F. C. Reg. (G.)

Digitized by Google

καὶ ἐν τούτῳ κεκωλῦσθαι ἐδόκει ἕκαστος, ᾧ μή † τινι † καὶ αὐτὸς ἔργῳ παρῆν. 3. ἐγένετό τε ὁ θόρυβος μέγας, καὶ ἀντηλλαγμένος τοῦ ἑκατέρων τρόπου περὶ τὰς ναῦς· οἵ τε γὰρ Λακεδαιμόνιοι ὑπὸ προθυμίας καὶ ἐκπλήξεως, ὡς εἰπεῖν, ἄλλο οὐδὲν ἢ ἐκ γῆς ἐναυμάχουν, οἵ τε Ἀθηναῖοι, κρατοῦντες, καὶ βουλόμενοι τῇ παρούσῃ τύχῃ ὡς ἐπὶ πλεῖστον ἐπεξελθεῖν, ἀπὸ νεῶν ἐπεξομάχουν. 4. πολύν τε πόνον παρασχόντες ἀλλήλοις, καὶ τραυματίσαντες, διεκρίθησαν· καὶ οἱ Λακεδαιμόνιοι τὰς κενὰς ναῦς [illegible]λην τῶν τὸ πρῶτον ληφθεισῶν, διέσωσαν. 5. κατ[illegible]ντες δὲ ἑκάτεροι ἐς τὸ στρατόπεδον, οἱ μὲν τροπαῖόν τε ἔστησαν, καὶ νεκροὺς ἀπέδοσαν, καὶ ναυαγίων ἐκράτησαν, καὶ τὴν νῆσον εὐθὺς περιέπλεον, καὶ ἐν φυλακῇ εἶχον, ὡς τῶν ἀνδρῶν ἀπειλημμένων· οἱ δ' ἐν τῇ ἠπείρῳ Πε-

1. *Καὶ ἐν τούτῳ κεκωλῦσθαι* —] *ἐν τούτῳ ἐδόκει κεκωλῦσθαι ἕκαστος τὰ πράγματα, ἐν ᾧ ἕκαστοι μὴ εὑρέθησαν.* — 3. ** *Ἀντηλλαγμένος*] *μετηλλαγμένος.* (*Αὐγ.*) — 7. *Ἐπεξελθεῖν*] *πλέον ἐργάσασθαι.* (*λ. Αὐγ.*) — 13. *Ἐν φυλακῇ εἶχον*] *τὴν νῆσον δηλονότι.* (*λ. Αὐγ.*) — 14. *Οἱ δ' ἐν τῇ ἠπείρῳ Πελοποννήσιοι* —] *οἵ τε ἐκ τῆς Πελοποννήσου, καὶ οἱ ἀπὸ τῶν ἄλλων ξυμμάχων αὐτοῖς προσελθόντες νῆες.*

Cam. Gr. D. I. E. Vind. m. Ar. Chr. Dan. Flor. Haack. Bekk. Goell. Vulgo *ἀντιλαμβ.*

Κεκωλῦσθαι Bekk. Goell. Vulgo (et Haack.) *κεκωλύσθαι* hic et II, 8.

Μή τινι. Malim *μή τις.* Ita II, 8. *ἐν τούτῳ τε κεκωλῦσθαι ἐδόκει ἑκάστῳ τὰ πράγματα, ᾧ μή τις αὐτὸς παρέσται*, ob quae verba *ἑκάστῳ* hic quoque scribendum esse male coniicit Haack. Vid. ibi not. Sed *ᾧ μή τινι* pro *ᾧτινι μή* nec per se placet, nec *ὅστις* praecedente *αὐτὸς* a Thucydide videtur usurpari potuisse.

3. *Ἑκατέρων.* Reg. Gr. *ἑκατέρου.*

Ἐκ γῆς. I. E. *ἐκ τῆς γῆς.* Cf. adnot. ad c. 11.

Ἐναυμάχουν. Proxima ad *πολύν* om. E., sed in marg. al. man. suppl. Post *ἐναυμ.* ante Haack. punctum erat.

Ὡς ἐπὶ πλεῖστον. Quum ad vulg. *ὡς ἐπιπλεῖστον* ex Chr. *ἐπὶ πλ.* adnotetur, in eo *ὡς* deesse fortasse non recte coniicit Bekk.

4. *Λακεδαιμόνιοι.* Syllabae *δαιμονιοι* et proximae *τὰς κε* in G. s. v.

Κενάς. Vat. H. *καινάς*, qui error notus ex III, 30.

Τὸ πρῶτον. Ar. Chr. *πρώτων.*

Διέσωσαν. Pal. *διέσφσαν.* Cf. de Art. crit. p. 150.

5. *Τροπαῖον.* Pal. rursus *τρόπαιον.* Cf. I. 1. p. 214. Proximum *τέ* om. Ar. Chr.

Ναυαγίων. F. *ναυγίων.*

Οἱ δ'. Mosqu. *οὐδ'.*

Digitized by Google

λοποννήσιοι καὶ ἀπὸ πάντων ἤδη βεβοηθηκότες ἔμενον κατὰ χώραν ἐπὶ τῇ Πύλῳ.

(5. Ἐκεχειρία γίγνεται περὶ Πύλον καὶ λόγοι ἄπρακτοι περὶ εἰρήνης. ιε' — κβ'. Λακεδαιμονίοις δοκεῖ περί τε Πύλον ἐκεχειρίαν ποιήσασθαι, καὶ ἐς Ἀθήνας πρεσβεύσασθαι περὶ εἰρήνης.)

ιε'. Ἐς δὲ τὴν Σπάρτην ὡς ἠγγέλθη τὰ γεγενημένα περὶ Πύλον, ἔδοξεν αὐτοῖς, ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ, τὰ τέλη καταβάντας ἐς τὸ στρατόπεδον βουλεύειν παραχρῆμα ὁρῶντας ὅ τι ἂν δοκῇ. 2. καὶ ὡς εἶδον ἀδύνατον ὂν τιμωρεῖν τοῖς ἀνδράσι, καὶ κινδυνεύειν οὐκ ἐβούλοντο ἢ ὑπὸ λιμοῦ τι παθεῖν αὐτοὺς ἢ ὑπὸ πλήθους βιασθέντας [, ἢ] κρατηθῆναι, ἔδοξεν αὐτοῖς πρὸς τοὺς στρατη-

ιε'. 4. Τὰ τέλη] τοὺς ἄρχοντας τῶν Σπαρτιατῶν. — 5. Πρὸς τὸ χρῆμα] πρὸς τὸ χρήσιμον καὶ τὸ κατεπεῖγον. δύο γάρ εἰσι λέξεις, τὸ † παρά † καὶ τὸ χρῆμα. ἔστι δὲ καὶ ἑτέρα γραφὴ δίχα τοῦ ρ̄, πρόσχημα, ἵνα νοήσωμεν ὅ τι ἂν αὐτοῖς αρμόττον φαίνηται. (Αὐγ.) — 8. ** Ὑπὸ πλήθους] τῶν Ἀθηναίων δηλονότι. (Αὐγ.)

Βεβοηθηκότες. B. βεβοηκότ. Verba καὶ — βεβοηθ. quoniam virgulis vulgo includuntur, Reisk. καί impugnavit. Sed vid. Schol. Mox D. ἔμηνον, sed al. man. ε̄ s. η̄ eras.

Cap. XV. Σπάρτην om. Pal.

Πύλον. D. m. Ar. Chr. Dan. (sed minime, ut Bekk. vult, etiam C. E. F. G. H, I.) τὴν Π.

Ἐς τό. D. I. E. m. Ar. Chr. Dan. ἐπὶ τό.

Παραχρῆμα. Cass. (in cuius marg. rec. man. γρ. πρὸς τὸ χρ.) Aug. Cl. F. It. Vat. H. C. (in cuius marg. pariter πρὸς τὸ adnotat.) Reg. (G.) cod. Bas. Gr. D. I. E. Vind. Mosqu. m. Ar. Chr. Dan. marg. Steph. Bekk. Vulgo πρὸς τὸ χρῆμα, quod quia exquisitius sit, servant Haack. Dind. (quem vide) Goell. Utrumque interpretatur Valla. Cf. adnot. et Schol.

2. Ἢ ὑπὸ λιμοῦ. Ἤ, quod vulgo de., ex Cass. Aug. It. H. F. C. Reg. (G.) Gr. D. I. E. m. Ar. Chr. Dan. (qui λοιμοῦ habet,) Vall. inseruerunt Haack. Bekk. Goell.

Βιασθέντας. C. βιασθέντες.

Ἢ κρατηθῆναι Cass. (in cuius marg. γρ. κρατηθέντας,) Aug. Cl. It. Vat., quae scriptura non displicebat Hermanno. Interpretare *ut aut fame aut a multitudine superati morerentur* (παθεῖν τι) *caperenturve*. Κρατηθῆναι sine ἤ et sine virgula praecedenti F. C. Reg. (G., in quo tamen prima verbi κρατ. litera fuerat ἤ, quod in κ correct.) Cam. Gr. D. I. E. Vind. Mosqu. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. At vid. not. Valla interpretatur: *ut illi vel fame aliquid paterentur, vel a multitudine opprimerentur caperenturve*, quasi βιασθῆναι ἢ κρατηθῆναι legisset. Vulgo inepte ἢ κρατηθέντας, in quibus si libri conspirarent, interpretamentum cum Reisk. deprehenderemus.

Αὐτοῖς. F. C. Reg. (G.) αὐτούς.

γους τῶν Ἀθηναίων, ἢν ἐθέλωσι, σπονδὰς ποιησαμένους τὰ περὶ Πύλον, ἀποστεῖλαι ἐς τὰς Ἀθήνας πρέσβεις περὶ ξυμβάσεως, καὶ τοὺς ἄνδρας ὡς τάχιστα πειρᾶσθαι κομίσασθαι.

(Αἱ περὶ Πύλον σπονδαί. οἱ πρέσβεις ἀποστέλλονται ἐς Ἀθήνας.)

ις'. Δεξαμένων δὲ τῶν στρατηγῶν τὸν λόγον, ἐγί- 5
γνοντο σπονδαὶ τοιαίδε, Λακεδαιμονίους μὲν τὰς ναῦς, 248.
ἐν αἷς ἐναυμάχησαν, καὶ τὰς ἐν τῇ Λακωνικῇ πάσας, ὅσαι ἦσαν μακραὶ, παραδοῦναι κομίσαντας ἐς Πύλον Ἀθηναίοις, καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ τειχίσματι μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν· Ἀθηναίους δὲ τοῖς ἐν 10
τῇ νήσῳ ἀνδράσι σῖτον ἑᾶν τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους ἐκπέμπειν τακτὸν καὶ μεμαγμένον, δύο χοίνικας ἑκάστῳ Ἀττικὰς ἀλφίτων, καὶ δύο κοτύλας οἴνου, καὶ κρέας, θεράποντι δὲ τούτων ἡμίσεα· ταῦτα δὲ ὁρῶντων τῶν Ἀθηναίων ἐκπέμπειν, καὶ πλοῖον μηδὲν ἐκπλεῖν λάθρα· φυλάσσειν δὲ καὶ τὴν νῆσον Ἀθηναίους μηδὲν ἧσ- 15

2. *Τὰ περὶ Πύλον*] καλῶς ἡ προσθήκη· ἵνα νοήσωμεν, εἰς τὰ κατὰ *Πύλον* μόνα.

ις'. 6. *Σπονδαί*] σημείωσαι ἐνταῦθα αἱ σπονδαί. (*Ἀγ.*) — 9. *Ἐπιφέρειν*] ἀντὶ τοῦ προσφέρειν καὶ ἄγειν. (*λ. Ἀγ.*) — *Μήτε κατὰ γῆν* —] *μήτε τοῖς ἐν τῇ Πύλῳ μήτε τοῖς ἐν τῇ Σφακτηρίᾳ.*

Ἐθέλωσι. D. E. m. Ar. Chr. Dan. *Θέλωσι.* At vid. I. 1. p. 211.

Cap. XVI. *Στρατηγῶν.* F. C. Reg. (G.) cod. Bas. Gr. Ar. Chr. Dan. *στρατιωτῶν*, sed in C. marg. recte *στρατηγῶν*, quae nomina etiam a Xenoph. librariis saepe confunduntur.

Τῇ Λακωνικῇ. Τῇ om. Cl.

Ὅσαι. Marg. Steph. *ὁπόσαι.*

Ὅπλα. Mosqu. *τὰ ὅπλα.*

Τοῖς ἐν. D. I. *τοὺς ἐν*, hic in marg. al. man. *τοῖς ἐν.*

Τῇ νήσῳ. Τῇ om. Mosqu.

Ἀνδράσι σῖτον. Pal. *ἀνδρασῖτον*, sed *σι* in marg. adscr.

Ἑᾶν τούς. Mosqu. in marg. *αὐτοῖς.* Pal. pro *ἑᾶν* exarat *ἐάτ*, D. I. om. *τούς.*

Ἐκπέμπειν. Hinc ad *δύο χοίν.* in E. lacuna in marg. al. man. suppleta, sed negligenter; nam ex seqq. illata sunt verba *καὶ πλεῖον μηδὲν ἐκπλεῖν λάθρα.*

Μεμαγμένον. „Descripsit hunc locum Thom. Mag. in *μάττω.*“ DUK.

Ἀλφίτων. D. *ἀλφίτου.*

Κοτύλας. Reg. (G.) *κοτίλας.*

Ἐκπέμπειν. Mosqu. *πέμπειν.*

Πλοῖον. Gr. E. Vind. *πλεῖον.* (non, ut Bekk. scribit, *πλεῖν.*) Mosqu. *πλοῖον μήν*, nescio utrum omisso an servato proximo *μηδέν.*

Digitized by Google

σον, ὅσα μὴ ἀποβαίνοντας· καὶ ὅπλα μὴ ἐπιφέρειν τῷ * Πελοποννησίων * στρατῷ μήτε κατὰ γῆν μήτε κατὰ θάλασσαν. 2. ὅ τι δ' ἂν τούτων παραβαίνωσιν ἑκάτεροι καὶ ὁτιοῦν, τότε λελύσθαι τὰς σπονδάς. ἐσπεῖσθαι δὲ αὐτὰς μέχρι οὗ ἐπανέλθωσιν οἱ ἐκ τῶν Ἀθηνῶν Λακεδαιμονίων πρέσβεις. ἀποστεῖλαι δὲ αὐτοὺς τριήρει Ἀθηναίους, καὶ πάλιν κομίσαι· ἐλθόντων δὲ, τάς τε σπονδὰς λελύσθαι ταύτας, καὶ τὰς ναῦς ἀποδοῦναι Ἀθηναίους ὁμοίας οἵαςπερ ἂν παραλάβωσιν. 3. Αἱ μὲν σπονδαὶ ἐπὶ τούτοις ἐγένοντο, καὶ αἱ νῆες παρεδόθησαν, οὖσαι περὶ ἑξήκοντα, καὶ οἱ πρέσβεις ἀπεστάλησαν· ἀφικόμενοι δὲ ἐς τὰς Ἀθήνας, ἔλεξαν τοιάδε.

6. *Αὐτούς*] ἦγουν τοὺς πρέσβεις τῶν Λακεδαιμονίων (λ. Ἀὐγ.) — 8. *Ἀποδοῦναι Ἀθηναίους ὁμοίας* —] ἦγουν ἀκαταλύτους ἀποδοῦναι τοῖς Λακεδαιμονίοις. (λ. Κασσ. Ἀὐγ.)

Ὅσα μή. Μή om. Mosqu.

Πελοποννησίων. Cass. Aug. It. Vat. *Πελοποννησίῳ* (nisi quod Cass. Aug. unum *ν* om.), qua de re ad VIII, 23. disputabitur.

2. *Ὅ τι*. Ald. Flor. Bas. *ὅτι*, quo probato Krüger. ad Dion. p. 274. deinde scribi vult *δ', ἐάν*, particulam *ὅτι* ad infinit. referens, cui structurae hic non locum esse reliquae apud Thucyd. foederum formulae abunde docent. D. I. Ar. Chr. Dan. *ὅτε*, quod apodosi accommodatius videatur; quocirca placuit Abreschio et Benedicto; sed ita non *ὅτε δ' ἄν*, verum *ὅτ' ἂν δέ* diceretur. Vulgata quam maxime sana, quam Stephanus correcta Vallae interpretatione *quicquid autem horum vel quantumlibet* transfert *quicquid autem horum vel tantillum*. Non multo aliter V, 18. *εἴ δέ τι ἀμυνομονοῦσιν ὁποτεροιοῦν καὶ ὅτου πέρι*. Jam in apodosi quidem proprie scribendum erat *τοῦτο λύειν τὰς σπονδάς*, sed haec levis sententiae immutatio neminem paulo doctiorem offendet.

Μέχρι. Cass. Aug. H. C. Gr. Mosqu. Haack. et recentt. pro *μέχρις*. Cf. I. 1. p. 215.

Οἱ ἐκ. Οἱ om. F. C. Reg. (G.) At vid. I. 1. p. 176.

Ἀθηνῶν. Pal. B. *Ἀθηναίων*.

Λακεδαιμονίων. Cod. Bas. *Λακεδαιμόνιοι*.

Τάς τε. Τέ om. Vat.

Ταύτας s. v. G.

Οἵαςπερ ἄν. Ἄν om. C.

3. *Οἱ πρέσβεις*. Mosqu. *οἱ μὲν πρ.*

Digitized by Google

(*Λόγος Λακεδαιμονίων περὶ εἰρήνης.* ιζ — κ'.)

(*Προοίμιον.*)

ιζ'. „Ἔπεμψαν ἡμᾶς Λακεδαιμόνιοι, ὦ Ἀθηναῖοι, περὶ τῶν ἐν τῇ νήσῳ ἀνδρῶν πράξοντας ὅ τι ἂν ὑμῖν τε ὠφέλιμον ὂν τὸ αὐτὸ πείθωμεν, καὶ ἡμῖν ἐς τὴν ξυμφορὰν, ὡς ἐκ τῶν παρόντων, κόσμον μάλιστα μέλλῃ οἴσειν. 2. τοὺς δὲ λόγους μακροτέρους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν, ἀλλ' ἐπιχώριον ὂν ἡμῖν, οὗ μὲν βραχεῖς ἀρκῶσι, μὴ πολλοῖς χρῆσθαι, πλείοσι δὲ, ἐν ᾧ ἂν καιρὸς ᾖ διδάσκοντάς τι τῶν προὔργου λόγοις τὸ δέον πράσσειν. 3. λάβετε δὲ αὐτοὺς μὴ πολεμίως, μηδ' ὡς ἀξύνετοι διδασκόμενοι, ὑπόμνησιν δὲ τοῦ καλῶς βουλεύσασθαι πρὸς εἰδότας ἡγησάμενοι. 249.

ιζ'. 1. *Ἔπεμψαν ἡμᾶς Λακεδαιμόνιοι*] ἡ δημηγορία αὕτη γενικῶς τῷ συμφέροντι κεφαλαίῳ τέμνεται. (*Ἀνγ.*) ἔστι δ' ὅτε ἔχει καὶ τὸ δυνατὸν παραμιγνύμενον. §. *τὸ προοίμιον ἐκ προσοχῆς καὶ ἐξ αὐτοῦ τοῦ πράγματος.* — 2. *Ὅ τι ἂν ὑμῖν τε ὠφέλιμον* — —] *καὶ ὃ ἂν ὑμῖν ὠφέλιμον ἐσόμενον ἐπιδείξωμεν καὶ ὁμοῦ ἡμῖν εὐπρεπὲς ἐν τῇ παρούσῃ συμφορᾷ.* — 5. ** *Οἴσειν*] *συμπέρασμα.* (*Ἀνγ.*) — *Τοὺς δὲ λόγους μακροτέρους*] *περιττὸν τὸ μακροτέρους· ἦρκει γὰρ εἰπεῖν, τοὺς δὲ λόγους οὐ παρὰ τὸ εἰωθὸς μηκυνοῦμεν.* (*λ. Ἀνγ.*) — 8. *Διδάσκοντάς τι* — —] *ὑπερβατόν· διδάσκοντας λόγοις τὸ δέον, τῶν προὔργου τι πράσσειν. ἵνα ᾖ τοιοῦτον, πείθοντας λόγῳ δεόντως διαπράττεσθαι τὰ προσήκοντα. παραίτησιν δὲ ἡ λέξις πέριεχει τῆς ἐσομένης μακρολογίας, οὐκ ὄντος Λακωνικοῦ τοῦ μακρολογεῖν.* — *Τῶν προὔργου*] *τῶν σπουδαίων.* (*λ. Ἀνγ.*) — 9. *Λάβετε δὲ αὐτοὺς* — —] *ἀκούσατε δὲ τῶν λόγων μήτε δυσμενῶς, ὡς πολεμίων ἀκούοντες, μήτε ἀσυνέτως· ἀλλ' οἷα δὴ συνετοὶ, ὑπομνήσεως μόνης ἕνεκεν αὐτοὺς νομίσατε λέγεσθαι πρὸς εἰδότας ὑμᾶς, ἕκαστα.* — *Μὴ πολεμίως*] *ἤγουν μὴ διαθέσει πολεμικῇ.* (*λ. Ἀνγ.*)

Cap. XVII. *Λακεδαιμόνιοι.* Cl. *οἱ Λακεδαίμ.*

Πράξοντας. It. Vat. G. Mosqu. *πράξαντας*, sed G. cum ō s. ā.

Τμῖν τε. E. *ἡμῖν τε.* In I. *τέ* s. v. ead. man.

Παρόντων. Vind. *παραδόντων.*

Κόσμον om. cod. Bas.

2. *Λόγους* ab al. man. H.

Ὃν om. Ar. Chr. Dan., quos male sequitur Kistem. Cf. Matth. Gr. §. 564.

Μέν. „Dissen. p. 19. *μὲν ἄν.*“ BEKK. Vid. tamen I. 1. p. 141.

Ἀρκῶσι. Mosqu. *ἀρκοῦσι.*

Ἂν καιρός. m. *καιρὸς ἄν.*

3. *Πολεμίως.* C. *πολεμίους*, al. man. *ω̄* s. *ōῡ.*

Βουλεύσασθαι. H. *βουλεύεσθαι.*

Digitized by Google

(Ὅτι τοὺς ἐμπείρους τῶν πραγμάτων ἀπιστοτάτους ταῖς εὐπραγίαις εἶναι δεῖ.)

4. „Ἡμῖν γὰρ εὐτυχίαν τὴν παροῦσαν ἔξεστι καλῶς θέσθαι, ἔχουσι μὲν ὧν κρατεῖτε, προσλαβοῦσι δὲ τιμὴν καὶ δόξαν, καὶ μὴ παθεῖν ὅπερ οἱ ἀήθως τι ἀγαθὸν λαμβάνοντες τῶν ἀνθρώπων· ἀεὶ γὰρ τοῦ πλέονος ἐλπίδι ὀρέγονται, διὰ τὸ καὶ τὰ παρόντα ἀδοκήτως εὐτυχῆσαι. 5. οἷς δὲ πλεῖσται μεταβολαὶ ἐπ' ἀμφότερα ξυμβεβήκασι, δικαιοί εἰσι καὶ ἀπιστότατοι εἶναι ταῖς εὐπραγίαις. ὃ τῇ τε ὑμετέρᾳ πόλει δι' ἐμπειρίαν καὶ ἡμῖν μάλιστ' ἂν ἐκ τοῦ εἰκότος προσείη."

ιη'. „Γνῶτε δὲ καὶ ἐς τὰς ἡμετέρας νῦν ξυμφορὰς ἀπιδόντες, οἵτινες ἀξίωμα μέγιστον τῶν Ἑλλήνων ἔχον-

1. *Καλῶς θέσθαι*] ἐκαινετῶς διοικῆσαι. — 3. *Καὶ μὴ παθεῖν*] ἀπὸ κοινοῦ τὸ ἔξεστι. τὸ δὲ ἀγαθόν τι λαμβάνοντες ἐπὶ τοῦ εὐπραγοῦντες κεῖται. — 4. *Ἀεὶ γὰρ τοῦ πλέονος ἐλπίδι ὀρέγονται*] ἀεὶ γὰρ ὀρέγονται τοῦ πλείονος, ἐλπίζοντες αὐτοῦ τεύξεσθαι. προσυπακοῦσαι δὲ δεῖ ἔξωθεν τὸ, καὶ διὰ τοῦτο ἐκπίπτουσι τῆς εὐτυχίας. — 5. *Τὰ παρόντα — εὐτυχῆσαι*] ἦγουν μετὰ εὐτυχίας λαβεῖν τὰ παρόντα. (λ. *Αὐγ.*) — 6. *Οἷς δὲ πλεῖσται μεταβολαί* —] οἱστισι δὲ ἐπ' ἀμφότερα, ἐπί τε [δηλονότι] τὰ ἀγαθὰ καὶ τὰ κακά. — 7. *Δίκαιοί εἰσι* —] τούτους, φησὶ, μὴ πιστεύειν ταῖς εὐπραγίαις προσήκει. — *Καὶ ἀπιστότατοι*] περιττῶς ὁ καί. — *Ὃ*] τὸ μὴ πιστεύειν [δηλονότι] ταῖς εὐπραγίαις. — 8. *Δι' ἐμπειρίαν*] τούτου τοῦ πράγματος. (λ. *Αὐγ.*)

ιη. 10. ** *Γνῶτε δέ*] κατανοήσατε δέ. (*Αὐγ.*)

4. *Ἔξεστι — θέσθαι.* „Usus est Thom. Mag. p. 165." GOELL.

Οἱ ἀήθως. *Οἱ* om. E. Pro *ἀήθως* Vat. H. *ἄηθές.*

Ἀεί. Pal., ut solet, *αἰεί.* Cf. I. 1. p. 211.

Τοῦ πλέονος. Vat. H. C. Reg. Ar. Chr. Schol. *τοῦ πλείονος*, non deterius. Vid. I. 1. p. 223. D. *τοὺς πλέονας.*

Εὐτυχῆσαι. It. *εὐτυχεῖσθαι.*

5. *Εἶναι* om. It.

Ἡμετέρᾳ. G. *ἡμετ.*, sed al. man. s. v. *ῦ.*

Ἡμῖν. E. *ὑμῖν.*

Ἐκ τοῦ om. E., sed relicto vacuo spatio.

Εἰκότος. Vind. Ar. Chr. Bas. Ald. Flor. Bas. *εἰκότως.*

Προσείη. Gr. a correct. (nam fuerat *προσείη*) et Mosqu. *προσήκει.*

CAP. XVIII. *Γνῶτε — ἀπιδόντες* om. Vat. H. Pro *γνῶτε* Vind. habet *γνῶναι.*

Ἡμετέρας om. Ar. Chr. Dan. In Mosqu. correct. ex *ἡμέρας*, a man. 1.

Νῦν om. Cass. Aug. Cl. Pal. It., est tamen aptissimum. Ante *ἡμετέρας* collocat Mosqu.

Ἀπιδόντες. D. *ἀποδιδόντες*, sed *οδ* linea signatum.

Digitized by Google

τες ἤκομεν παρ' ὑμᾶς, πρότερον αὐτοὶ κυριώτεροι νομίζοντες εἶναι δοῦναι ἐφ' ἃ νῦν ἀφιγμένοι ὑμᾶς αἰτούμεθα. 2. καίτοι οὔτε δυνάμεως ἐνδείᾳ ἐπάθομεν αὐτό, οὔτε μείζονος προσγενομένης ὑβρίσαντες, ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων γνώμῃ σφαλέντες, ἐν ᾧ πᾶσι τὸ αὐτὸ ὁμοίως ὑπάρχει. 3. ὥστε οὐκ εἰκὸς ὑμᾶς διὰ τὴν παροῦσαν νῦν ῥώμην πόλεώς τε καὶ τῶν προσγεγενημένων καὶ τὸ τῆς τύχης οἴεσθαι ἀεὶ μεθ' ὑμῶν ἕξεσθαι. 4. σωφρόνων δὲ ἀνδρῶν οἵτινες τἀγαθὰ ἐς ἀμφίβολον ἔθεντο,

1. *Κυριώτεροι*] δικαιότεροι. (λ. *Αὐγ.*) — 2. *Ἐφ' ἃ νῦν*] τὰς σπονδὰς λέγει. — 3. *Οὔτε δυνάμεως ἐνδ.*] ἤγουν ὡς ἀδύνατοι ὄντες. (λ. *Αὐγ.*) — *Αὐτό*] τὰς νῦν δηλονότι συμφοράς. — 4. *Προσγενομένης*] ἀπὸ κοινοῦ τὸ δυνάμεως. — *Ἀπὸ δὲ τῶν ἀεὶ ὑπαρχόντων*] τῆς συνήθους δυνάμεως, [*τῶν ὄντων ἀεὶ τοῖς ἀνθρώποις.* (λ. *Αὐγ.*)] — 5. *Ἐν ᾧ*] ἐν τῷ δύνασθαι γνώμῃ σφαλῆναι. — 8. ** *Τὸ τῆς τύχης* —] *Ὅμηρος· ἔννὸς Ἐνυάλιος.* (*Αὐγ.*) — *Σωφρόνων δὲ ἀνδρῶν* — —]. *σώφρονές εἰσιν οἵτινες, ἀδήλου ὄντος τοῦ ἀποβησομένου, ἐκ τῆς παρούσης εὐπραγίας ἐπὶ ἀσφαλέστερον ῥέπουσι, καὶ οὐκ ἐξυβρίζουσιν, ὡς παραμενούσης αὐτοῖς ἀεὶ τῆς εὐπραγίας, ἀλλὰ συμβαίνουσι τοῖς ἐναντίοις.*

Πρότερον. C. *πρότεροι.*

Αὐτοὶ — δοῦναι. „Thom. Mag. in *βούλομαι.*" WASS.

Κυριώτεροι. Reg. (G., ex quo *κυριώτεροι* Gailii operae dederunt,) *κυριώτερον.*

Δοῦναι om cod. Bas. Gr.

2. *Προσγενομένης.* Mosqu. *προσγεγενημένης.* (In Ar. *προσγεγενημένης*, quod mox ex eo adnotabimus, hic exstare falso tradit Bekk.)

Ἀεί. Pal. rursus *αἰεί*, ut modo cap. 17. et denue §. 3.

Γνώμῃ. Vind. *γνώμης*, quae sane vulgaris structura est, ut alibi *δόξης*, *ἐλπίδος σφάλλεσθαι* (*ψεύδεσθαι*), sed etiam dativus cum levi sententiae immutatione verbo recte adiungitur, Vid. Ind. Ila *ψευσθῆναι γνώμῃ* Herodot. VII, 9. (Noli tamen comparare *ψευσθεῖσα δώροις* Soph. Ai. v. 176. ubi vid. Int.)

3. *Ὥστε.* Vat. *αὖτε.*

Ὑμᾶς om. F. C. Reg. (G.)

Προσγεγενημένων. Vind. Chis. *προγεγενημένων.* Ar. *προσγεγενημένης.*

Ἀεί om. F. C., s. v. al. man. habet G.

4. *Σωφρόνων — προσφέροιντο* „Stob. p. 74." WASS. *Δέ* post σωφρ. in Gr. supra scr.

Οἵτινες om. I.

Ἐς ἀμφίβολον. Gr. *ἐπ' ἀμφίβ.*

Ἔθεντο. Post hoc verb. apud Bekk. et Goell. pessime colon collocatur. Proxima *καὶ τοῖς — προσφέροιντο* in parenthesin redegimus. Vid. de omni structura I. 1. p 271. (cf. p. 141.) et p. 148. Ut tamen ex duabus rationibus ibi indicatis nunc praeferamus priorem eamque simpliciorem, maxime persuasit Schoemann Observv. p. 16., a quo Goell. non dissentit. Cf. Xen. Anab. II, 5, 21. Haackius fallitur. Vid. adnot.

Digitized by Google

καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ εὐξυνετώτερον ἂν προσφέροιντο,) τόν τε πόλεμον νομίσωσι μὴ, καθ' ὅσον ἄν τις αὐτοῦ μέρος βούληται μεταχειρίζειν, τούτῳ ξυνεῖναι, ἀλλ' ὡς ἂν αἱ τύχαι † αὐτῶν † ἡγήσωνται· καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοντες, διὰ τὸ μὴ τῷ ὀρθουμένῳ αὐτοῦ πιστεύοντες ἐπαίρεσθαι, ἐν τῷ εὐτυχεῖν ἂν μάλιστα καταλύοιντο. 5. ὃ νῦν ὑμῖν, ὦ Ἀθηναῖοι,

1. *Καὶ ταῖς ξυμφοραῖς οἱ αὐτοὶ — —*] καὶ γὰρ τὰς συμφορὰς οὗτοι δεξιώτερον ἂν καὶ ὡς συνετοὶ προσδέχοιντό τε καὶ φέροιεν. — 2. *Τόν τε πόλεμον νομίσωσιν*] ἀπὸ κοινοῦ τὸ, σωφρόνων δὲ ἀνδρῶν οἵτινες ἂν, μετὰ τῶν ἄλλων· [καὶ τὰ ἑξῆς.] ἡ δὲ διάνοια, σώφρονές εἰσιν οἵτινες οἴονται τὰ ἐκ τῶν πολέμων μὴ κατὰ προαίρεσιν ἡμετέραν ἀποβαίνειν, ἀλλὰ κατὰ τύχην. ἔνιοι δὲ τόνδε τὸν τρόπον ἐξηγήσαντο· σώφρονές εἰσιν οἱ νομίζοντες τὸν πόλεμον, τουτέστι τὴν ἐκ τοῦ πολέμου νίκην, μὴ καθ' ὃ μέρος ἄν τις αὐτοῦ μεταχειρίζηται, οἷον ναυμαχῶν ἢ πεζομαχῶν, κατὰ τοῦτο συντυγχάνειν, ἀλλ' ὡς ἂν ἡ τύχη ἡγῆται τοῦ πολεμίου. — 4. *Καὶ ἐλάχιστ' ἂν οἱ τοιοῦτοι πταίοντες — —*] οἱ μὴ πιστεύοντες ταῖς κατὰ πόλεμον εὐπραγίαις. τὸ γὰρ ὀρθούμενον τὴν εὐπραγίαν λέγει. οὗτοι, φησὶν, ἐλάχιστα πταίοιεν ἂν οἱ τὸν πόλεμον ἐν τῷ εὐπραγεῖν αὐτοὶ κατατιθέμενοι. ἐξηγητικὸν δέ ἐστι τοῦτο τοῦ, σωφρόνων δὲ ἀνδρῶν οἵτινες τὰ ἀγαθὰ ἐς ἀμφίβολον ἀσφαλῶς ἔθεντο. — 6. *Ἐν τῷ εὐτυχεῖν*] ἀντὶ τοῦ εἰ εὐτυχοῖεν. (λ. *Αὐγ.*) — 7. *Καταλύοιντο*] ἀναπαύοιντο. (λ. *Αὐγ.*) — *Ὃ*] ἐν εὐπραγίᾳ καταλύσασθαι καὶ ἀποθέσθαι τὸν πόλεμον.

Εὐξυνετώτερον. I. *εὐξυνετώτεροι.* Statim pro *ἄν* cod. Bas. *αὖ.*

Βούληται. Cass. Aug. It. Mosqu. male *βούλεται.*

Τούτῳ ξυνεῖναι om. It. Pro *ξυνεῖναι* D. habet *ἐξεῖναι.*

Ὡς ἄν. Ald. Flor. Bas. *ὡσάν.*

Αὐτῶν. Bredovius *αὐτῷ* (*τῷ πολέμῳ*) coniicit. Pluralis quidem aut ad *ἄνδρας*, qui subiectum orationis sunt, aut ad partes belli, quae insunt in collectivo *ὅσον ἂν μέρος*, referri potest. Firmamentum tamen aliquod Bredovii coniecturae inde oritur, quod mox *αὐτοῦ* rursus ad bellum spectat. Caeterum Scholiastam *αὐτῷ* vel *αὐτοῦ* legisse ex verbis eius certo colligere non ausim. Neque Valla *sed quatenus fortuita sua ducant* interpretatus aliter legisse videtur.

Διὰ — πιστεύσθαι om. Cass. Aug., supplent tamen in marg.

Τῷ ὀρθουμένῳ. Τῷ om. cod. Bas. D. I. „*Ὀρθουμένου* alii libri. vid. Bauer. [Edit. Orat.] p. 138.“ GOTTL. Quinam sunt hi alii libri? nos non novimus ullum.

Αὐτοῦ. Pal. It. Vat. et in illo marginis supplemento Cass. Aug. *αὐτούς.*

Ἂν μάλιστα. F. C. Reg. (G.) *μάλιστα ἄν.*

Καταλύοιντο. Cod. Bas. ex emend. *διαλύοιντο.*

5. *Τμῖν.* Dan. *ἡμῖν.*

Ὦ de. Aug. (in quo superscr. man. 2.) C. Reg. (G.) Mox Pal. *πράξαι.*

Digitized by Google

καλῶς ἔχει πρὸς ἡμᾶς πρᾶξαι, καὶ μήποτε ὕστερον, ἢν ἄρα μὴ πειθόμενοι σφαλῆτε, ἃ πολλὰ ἐνδέχεται, νομισθῆναι τύχῃ καὶ τὰ νῦν προχωρήσαντα κρατῆσαι, ἐξὸν ἀκινδυνον δόκησιν ἰσχύος καὶ ξυνέσεως ἐς τὸ ἔπειτα καταλιπεῖν." 5

(Ὅτι ἀσφαλέστατόν ἐστι μετρίως ξυναλλαγῆναι.)

ιθ'. „Λακεδαιμόνιοι δὲ ὑμᾶς προκαλοῦνται ἐς σπον- 250.
δὰς καὶ διάλυσιν πολέμου, διδόντες μὲν εἰρήνην καὶ ξυμμαχίαν, καὶ ἄλλην φιλίαν πολλὴν καὶ οἰκειότητα ἐς ἀλλήλους ὑπάρχειν, ἀνταιτοῦντες δὲ τοὺς ἐκ τῆς νήσου ἄνδρας, καὶ ἄμεινον ἡγούμενοι ἀμφοτέροις μὴ διακιν- 10
δυνεύεσθαι, εἴτε βίᾳ διαφύγοιεν, παρατυχούσης τινὸς

1. Καὶ μήποτε ὕστερον — —] ἵνα μή, ἐάν ποτε σφαλῆτε ὕστερον, ἀπιθήσαντες ἡμῖν, (ἐνδέχεται δὲ,) νομισθῆτε καὶ τὰ νῦν ἄλλως τυχηρηκέναι καὶ χωρὶς συνέσεως, ἐξουσίας ὑμῖν οὔσης, εἰρήνης γενομένης, ἄνευ κινδύνων εὐβουλίας τε καὶ ἀνδρίας δόξαν τοῖς μετὰ ταῦτα ἀνθρώποις καταλιπεῖν, ἰσχύος μὲν, διὰ τὸ μεῖναι ὑμῖν τὴν εὐτυχίαν καὶ μὴ μεταβληθῆναι, εὐβουλίας δὲ, ὅτι ἐσπείσασθε ἐν τῷ εὐτυχεῖν, εἰδότες τὸ τῆς τύχης ἄστατον.

ιθ'. 6. Λακεδαιμόνιοι δὲ — —] κατὰ τὸ φρόνημα τῶν Λακεδαιμονίων τά τε ἄλλα καὶ μάλιστα τοῦτο εἴρηται· οὐ γὰρ κολακεύουσι τοὺς Ἀθηναίους, καίτοι γε πταίσαντες, ἀλλὰ μένουσιν ἐπὶ τοῦ φρονήματος· καὶ λέγουσιν ὅτι Λακεδαιμόνιοι ὑμῖν εἰρήνην δίδόασιν, ὡς ὄντες τούτου κύριοι, ἀνταιτοῦντες δὲ τοὺς ἐν τῇ νήσῳ ἄνδρας δηλονότι· καὶ ἐντεῦθεν κύριοι νομίζουσιν εἶναι τοῦ παιῆσασθαι τὴν εἰρήνην οἱ Λακεδαιμόνιοι, εἴ γε, ὡς αὐτοὶ διδόντες αὐτὴν, ἀνὰ αὐτῆς αἰτοῦσι τοὺς ἄνδρας. — 10. Ἄμεινον ἡγούμενοι ἀμφοτέροις] ἡμῖν καὶ ὑμῖν, ὡς Ἀντυλλός φησιν, ἵνα δοκῶσι Λακεδαιμόνιοι καὶ τοῦ τῶν Ἀθηναίων προνοεῖσθαι ἀμφέροντος. §. Ἢ * ἀμφοτέροις * λέγει ἐν ἀμφοτέροις, ἢ διαφυγεῖν τοὺς ἄνδρας ἢ ἐκπολιορκηθῆναι. ὃ καὶ μᾶλλον εἰκός ἐστιν. — *.* Διακινδυνεύεσθαι] πολεμεῖν. (Αὐγ.) — 11. Εἴτε βίᾳ διαφύγοιεν —] τὸ διακινδυνεύεσθαι ἐξηγεῖται, πῶς μέλλει διακινδυνεύεσθαι αὐτοῖς ἡ δόξα. εἴτε, φησὶ, βίᾳ διαφύγοιεν οἱ ἄνδρες, παραπεσούσης τινὸς διὰ τῆς τύχης σωτηρίας, καὶ γεννησόμεθα πάλιν ἴσοι ὑμῖν, εἴτε καὶ ἐκπολιορκηθέντες παρ' ὑμῶν, τουτέστιν ἀπολόμενοι διὰ τῆς πολιορκίας, παρασκευάσουσιν ἡμᾶς καὶ ἐφελκύσονται πρὸς τῇ κοινῇ ἔχθρᾳ καὶ ἑτέραν ἔχειν ἰδίαν Λακεδαιμονίους πρὸς Ἀθηναίους. — Παρα-

Σφαλῆτε. Vind. σφαλῆται.
Προχωρήσαντα. F. προχωρῆσ.
Cap. XIX. Προκαλοῦνται. D. I. προκαλοῦντες, alterum tamen al. man. adnotatum. G. προσκαλοῦνται.
Πολλὴν om. Ar. Chr. Dan.
Ἀνταιτοῦντες δέ. Δέ om. I.
Ἀμφοτέροις. Pal. H. ἀμφότεροι.
Διακινδυνεύεσθαι. Gr. κινδυν.
Παρατυχούσης. m. παρασχούσης, sed nostrum supra scr.

Digitized by Google

σωτηρίας, εἴτε καὶ, ἐκπολιορκηθέντες, μᾶλλον ἂν χειρωθεῖεν. 2. νομίζομέν τε τὰς μεγάλας ἔχθρας μάλιστ' ἂν διαλύεσθαι βεβαίως, οὐκ ἦν ἀνταμυνόμενός τις, καὶ ἐπικρατήσας τὰ πλέω τοῦ πολέμου, κατ' ἀνάγκην ὅρκοις
5 ἐγκαταλαμβάνων, μὴ ἀπὸ τοῦ ἴσου ξυμβῇ, ἀλλ' ἦν, παρὸν τὸ αὐτὸ δρᾶσαι, πρὸς τὸ ἐπιεικὲς καὶ ἀρετῇ αὐτὸ νικήσας, παρὰ ἃ προσεδέχετο, μετρίως ξυναλλαγῇ. 3. ὀφείλων γὰρ ἤδη ὁ ἐναντίος μὴ ἀνταμύνεσθαι ὡς βια-

τυχούσης] παραπεσούσης. (λ. Αὐγ.) — 2. *Νομίζομέν τε — —*] νομίζομέν τε τὰς μεγάλας ἔχθρας παύεσθαι βεβαίως, οὐκ ἐπειδὰν κατὰ πόλεμόν τις πλεονεκτήσας τῶν ἐναντίων ἀναγκάσῃ δι' ὅρκων αὐτοὺς ἑκόντας συμβῆναι, καὶ μὴ δικαίως, (τοντέστι συνθήκας ποιῆσαι πλεονεκτικὰς καὶ ἀδίκους καὶ ἀνίσους, καὶ ὡς ἂν συμφέρῃ τῷ νενικηκότι,) ἀλλ' ἐὰν δυνάμενος αὐτὰ [ταῦτα πεῖσαι τὸν ἡττηθέντα, τὰ ἄδικα καὶ πλεονεκτικὰ, συγθέσθαι, μηδὲν τούτων ἀπαιτήσῃ αὐτὸν, ἀλλ' ἐκ τοῦ ἴσου διαλλαγῇ, καὶ τῇ φιλανθρωπίᾳ αὐτὸ τὸ πλεονεκτικὸν κατακρατήσῃ παρὰ τὴν ἐλπίδα τοῦ κεκρατημένου. δῆλον γὰρ ὅτι ὁ κεκρατημένος ἐλπίζει παρὰ τρῦ κρατήσαντος ἀδικεῖσθαι καὶ πλεονεκτεῖσθαι· οὐδεὶς γὰρ νικήσας ἀνέχεται ὁμοίως καὶ ἐν ἴσῃ τάξει σπένδεσθαι τῷ νενικημένῳ, ἀλλ' ἀεὶ τὸ πλέον ἐθέλει ἔχειν, (λ. Κασσ.)] — 6. *Τὸ αὐτό*] ἤγουν τὸ νικῆσαι. (λ. Αὐγ.) — 7. *Μετρίως*] μετὰ ταπεινοφροσύνης. (λ. Κασσ. Αὐγ.) — *Ὀφείλων γὰρ ἤδη ὁ ἐναντίος —*] ὁ γὰρ δι' ἐναντίας, ὡς ἂν μὴ βιασθείς, ἀλλ' ἐπιεικείᾳ πειθθείς, εἰδὼς ὅτι οὐκ ἀμύνεσθαι δίκαιον, ἀλλ' ἀμείβεσθαι τὴν ἀρετὴν, ἕτοιμός ἐστιν ἐμμένειν ταῖς συνθήκαις, αἰσχυνόμενός τι παραβῆναι. τῷ δὲ ἑτοιμότερος προσυπακουσέον τὸ ἐκείνου, ἤγουν τοῦ μὴ πειαθέντος, ἀλλὰ βιασθέντος σπείσασθαι.

2. *Νομίξομεν.* E. *νομίξοντες.* *Διαλύεσθαι.* D. I. *διαλύσασθαι.* Mox Pal. *ἦν.*

Παρόν. Gr. *παρά.* Pro *ἀλλ' ἦν* Pal. *ἄλλην.*

Τὸ αὐτό. Exspectaveris *τοῦτο* vel ob Schol. *αὐτὸ τοῦτο*, Statim Pal. Mosqu. *δρᾶσαι.* Virgula autem post *δρᾶσαι* ante Haack. male aberat. Contra Bekk. comma post *ἐπιεικές* delevit, ut *πρὸς τὸ ἐπ.* proxime ad *νικ.*, non ad *ξυναλλ.* referantur.

Αὐτό Cass. (in quo *ϖ* rec. man. adscript.) Aug. Cl. F. Pal. It. Vat. Reg. (G.) E. Vind. Mosqu. m. Dan. Haack. Bekk. Goell. Vulgo *αὐτός.* H. Gr. D. I. *αὐτόν.* *Αὐτό* refer ad *τὸ παρεῖναι τοῦτο δρᾶσαι*, i. e. *τὸ δύνασθαι μὴ ἀπὸ τοῦ ἴσου ξυμβῆναι.* Valla: *victrix* (praecedit *pars altera*) *occasionis.* Fallitur Goeller. Cf. not.

Παρά. B. C. Bar. *περί.* Ante hoc vocabulum autem cum recentt. editt. comma posuimus, quum *παρὰ — προσεδέχ.* ad *μετρ. ξυνα.*, non ad *νικ.* pertinere videantur. Cf. not.

3. *Ὀφείλων — ἀρετήν.* „Thom. Mag. in *βούλομαι.*" WASS, Vind. *ὠφείλων.*

Ἤδη om. Mosqu.

Ἀνταμύνεσθαι. Vat. H. Thom. Mag. *ἀνταμύνασθαι.*

Digitized by Google

σθεὶς, ἀλλ' ἀνταποδοῦναι ἀρετὴν, ἑτοιμότερός ἐστιν αἰσχύνῃ ἐμμένειν οἷς ξυνέθετο. 4. καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο δρῶσιν οἱ ἄνθρωποι, ἢ πρὸς τοὺς τὰ μέτρια διενεχθέντας· πεφύκασί τε τοῖς μὲν ἑκουσίως ἐνδοῦσιν ἀνθησσᾶσθαι μεθ' ἡδονῆς, πρὸς δὲ τὰ ὑπεραυχοῦντα καὶ παρὰ γνώμην διακινδυνεύειν."

("Οτι νῦν καιρὸς ἄριστος τῆς εἰρήνης, ἧς τὴν χάριν οἱ Ἕλληνες τοῖς Ἀθηναίοις προσθήσουσιν.)

κ'. „Ἡμῖν δὲ καλῶς, εἴπερ ποτὲ, ἔχει ἀμφοτέροις ἡ ξυναλλαγὴ, πρίν τι ἀνήκεστον διὰ μέσου γενόμενον ἡμᾶς καταλαβεῖν, ἐν ᾧ ἀνάγκη ἀΐδιον ὑμῖν ἔχθραν πρὸς τῇ κοινῇ καὶ ἰδίαν ἔχειν, ὑμᾶς δὲ στερηθῆναι ὧν νῦν

2. Καὶ μᾶλλον — —] καὶ μᾶλλον πρὸς τοὺς μειζόνως ἐχθροὺς τοῦτο δρῶσι, τὸ εὐγνωμονῆσαι ἤτοι προθύμως ἐμμένειν τοῖς συνθήκαις· (ὡς γὰρ ἐκ μεγάλων ἐχθρῶν ἐκφυγόντες καὶ σωθέντες ἀσμένως φέρουσι τὸ ἡσυχάζειν, κέρδος νομίζοντες τὸ μὴ πάλιν κινδυνεύειν πρὸς μείζω μαχόμενοι·) ἢπερ πρὸς ἐκείνους τοὺς περὶ σὺτελῶν καὶ μετρίων αὐτοῖς διενεχθέντας. ἔστι δὲ ἀνείκτωσις· ἀντὶ γὰρ τοῦ περὶ μετρίων εἴρηκε τὰ μέτρια. — 4. Πεφύκασί τε — —] πεφύκασί τε οἱ ἄνθρωποι τοῖς μὲν εὐγνωμόνως συνθεμένοις μαλακώτεροι γίγνεσθαι πρὸς τὸ ἐκείνοις σπένδεσθαι, πρὸς δὲ τοὺς ἐναντιουμένους παρὰ προαίρεσιν διακινδυνεύειν.

κ'. 7. Ἡμῖν δὲ καλῶς, εἴπερ ποτὲ, ἔχει —] ἡμῖν δὲ καλῶς ἔχει, φησὶ, τὸ διαλλαγῆναι πρὸ τοῦ ἀνήκεστόν τι, παρ' ὑποτερωνοῦν γενόμενον, εἰς ἀνάγκην ἡμᾶς καταστῆσαι ἀΐδιον ἔχθρας. τὸ δὲ πρὸς τῇ κοινῇ καὶ ἰδίαν ἔχειν τοιοῦτον· νῦν μὲν κοινὴν ἔχομεν Πελοποννήσιοι πάντες πρὸς ὑμᾶς ἔχθραν· εἰ δὲ μὴ εἴξετε τοῖς λόγοις ἡμῶν, καὶ ἰδίᾳ Λακεδαιμόνιοι ἐχθροὶ ὑμῶν ἐσόμεθα. — 10. ** Ὧν]

Αἰσχύνῃ. D. I. τιῃ αἰσχ.

Οἷς I. (cui antea ἐμμένει affingere videntur Gailii typothetae,) in marg. ab al. man. habet.

4. *Μειζόνως.* „Ἀντὶ τοῦ μεῖζον· Θουκυδ. τετάρτῳ." Bekk. Anecdd. p. 107. Cf. not. et interea Elmsl. ad Eur. Heracl. 544. Mosqu. μειζώνως ὡς.

Τοὺς τὰ μέτρια. Τούς om. Dan., *τά* om. F. C. Reg. (G.) cod. Bas. Gr. D. E. m., ex quibus D. μετρίως habet, ex interpr. Nam ita τὰ μέτρια explicandum esse et falsa comminisci Scholiastam, satis apparet.

Πεφύκασι — ἡδονῆς Bekk. Anecdd. p. 126. ubi ἑκοῦσιν pro ἑκουσίως· sed hoc probum esse vocabulum, quanquam non soni causa illud reiiciendum sit, docet Lob. ad Phryn. p. 6.

Ἀνθησσᾶσθαι. Mosqu. ἀντίσασθαι.

Ὑπεραυχοῦντα. C. ὑπεραυχοῦντες, τα s. ες al. man.

Cap. XX. *Καταλαβεῖν.* Cl. in marg. καταλαμβάνειν.

Ὑμᾶς Cass. (in quo tamen recens corrector fecit ἡμ.) Aug. Cl. Pal. It. Vat. H. F. C. Reg. (G.) Gr. D. I. E. Ar. Ch. Bav.

Digitized by Google

προκαλούμεθα. 2. ἔτι δ' ὄντων ἀκρίτων, καὶ ὑμῖν μὲν δόξης καὶ ἡμετέρας φιλίας προςγιγνομένης, ἡμῖν δὲ πρὸ αἰσχροῦ τινὸς ξυμφορᾶς μετρίως κατατιθεμένης, διαλλαγῶμεν, καὶ αὐτοί τε ἀντὶ πολέμου εἰρήνην ἑλώμεθα, καὶ
5 τοῖς ἄλλοις Ἕλλησιν ἀνάπαυσιν κακῶν ποιήσωμεν, οἳ καὶ ἐν τούτῳ ὑμᾶς αἰτιωτέρους ἡγήσονται. πολεμοῦνται μὲν γὰρ ἀσαφῶς ὁποτέρων ἀρξάντων· καταλύσεως δὲ * γενομένης, * ἧς νῦν ὑμεῖς τὸ πλέον κύριοί ἐστε, τὴν
251. χάριν ὑμῖν προςθήσουσιν. 3. ἤν τε γνῶτε, Λακεδαιμο-

τουτέστιν εἰρήνης. (Αὐγ.) — 2. Ἔτι δ' ὄντων ἀκρίτων — —] ἔτι δὲ ὄντων ἀδιακρίτων καὶ ἀμφιβόλων τῶν πραγμάτων τῶν κατὰ τὴν Σφακτηρίαν, εἴτε ἁλίσκονται οἱ ἄνδρες εἴτε διαφευγουσι, καὶ ὑμῖν μὲν δόξης προςγινομένης καὶ φιλίας παρ' ἡμῶν, ἐὰν σπεισώμεθα ὥςπερ νῦν ἔχομεν, ἡμῖν δὲ τοῖς Λακεδαιμονίοις, πρὶν αἰσχρόν τινὸς πειραθῆναι, (ἀντὶ τοῦ πρὶν ἁλῶναι τοὺς ἄνδρας,) τῆς συμφορᾶς μετρίως κατατιθεμένης, διαλλαγῶμεν. — 5. Οἳ καὶ ἐν τούτῳ — —] ἐν * αὐτῷ τῷ * γενέσθαι δηλονότι τὴν εἰρήνην, ὑμᾶς νομιοῦσιν αἰτιωτέρους, ἀντὶ τοῦ, πλέον τῶν Λακεδαιμονίων ὑμῖν τὴν χάριν τῆς εἰρήνης ὁμολογήσουσιν. ὁ δὲ καί σύνδεσμος οὐ περιττῶς κεῖται, ἀλλ' ἀναγκαίως. λέγει γὰρ ὅτι † τοῦ τε νομίσαι † ὑμᾶς νενικηκέναι καὶ τὴν χάριν τῆς εἰρήνης εἰς ὑμᾶς μέλλουσιν ἀνενεγκεῖν. (λ. Αὐγ.) — 6. Πολεμοῦνται μὲν γὰρ ἀσαφῶς — —] πολεμοῦνται γὰρ ἀδήλου ὄντος τοῦ πράγματος, τίς ἐστιν ὁ προκαταρξάμενος τοῦ πολέμου, εἴτε ὁ Λακεδαιμόνιος, εἴτε ὁ Ἀθηναῖος· καὶ τὰ ἑξῆς. (λ. Κασσ. Αὐγ.) — 9. Ἤν τε γνῶτε, Λακεδαιμονίοις — —] ἄν τε πεισθῆτε, ἔξεστιν ὑμῖν Λακεδαιμονίοις φίλους γενέσθαι, χάριν δοῦσιν μᾶλλον, ἤπερ βιασθεῖσιν ὑπ' αὐτῶν. (λ. Αὐγ.)

Ald. Flor. Bas. Vall. Haack. Goell. Male vulgo ἡμ.

2. Προςγιγνομένης. I. προγιγν. Ar. προςγεγενημ.

Πρό. Vind. πρός.

Κατατιθεμένης. D. I. διατιθ. Antea Pal. ξυμφοράς.

Ἀνάπαυσιν. B. ἀναπασιν.

Κακῶν. I. E. καλῶν.

Ποιήσωμεν. Cass. Aug. Pal. ποιήσομεν, sed in Aug. ω̄ videtur erasum.

Ἡγήσονται. Vat. ἡγήσωνται.

Πολεμοῦνται. F. πολεμοῦντας. E. πολεμούντων.

Μὲν γάρ. Μέν ex Cass. Aug. It. Vat. F. C. Reg. (G.) D. E. m. Ar. Chr. Dan. marg. Steph. addiderunt Haack. Bekk. Goell.

Ἀσαφῶς. Dan. σαφῶς.

Γενομένης. Cass. Aug. H. γινομένης, unde Bekk. et Goell. γιγνομ. effecerunt, sive ita scriptum legitur in It. Vat., sive hi quoque γινομένης habent. Nos a vulg. recedere non magis ausi sumus quam Haack.

Ὑμεῖς Cass. Aug. Cl. Reg. Gr. et plerique alii libri. Ante Bauer. mendose ἡμεῖς. Ad ea, quae sequuntur, respicere Aristid. in adnot. videbimus.

Digitized by Google

γίοις ἔξεστιν ὑμῖν φίλους γενέσθαι βεβαίως, αὐτῶν τε προκαλεσαμένων, χαρισαμένοις τε μᾶλλον ἢ βιασαμένοις. 4. καὶ ἐν τούτῳ τὰ ἐνόντα ἀγαθὰ σκοπεῖτε ὅσα εἰκὸς εἶναι· ἡμῶν γὰρ καὶ ὑμῶν ταὐτὰ λεγόντων, τό γε ἄλλο Ἑλληνικὸν ἴστε ὅτι, ὑποδεέστερον ὄν, τὰ μέγιστα τιμήσει.“

(Ἀθηναῖοι, ἐπειδὴ εἰρήνην οὐκ ἀγαπῶντες, Κλέωνος ἐνάγοντος δεινὰ αἰτοῦσιν.)

κα'. Οἱ μὲν οὖν Λακεδαιμόνιοι τοσαῦτα εἶπον, νομίζοντες τοὺς Ἀθηναίους ἐν τῷ πρὶν χρόνῳ σπονδῶν μὲν ἐπιθυμεῖν, σφῶν δὲ ἐναντιουμένων κωλύεσθαι, διδομένης δὲ εἰρήνης * ἀσμένους δέξεσθαί * τε, καὶ τοὺς ἄνδρας ἀποδώσειν. 2. οἱ δὲ τὰς μὲν σπονδὰς, ἔχοντες

2. Προκαλεσαμένων] θελησάντων καὶ προτρεψάντων ὑμᾶς ἐπὶ ταῦτα. (λ. Ἀὐγ.) — 4. Εἶναι] ἀντὶ τοῦ συμβήσεσθαι. (λ. Ἀὐγ.) — Ἡμῶν γὰρ καὶ ὑμῶν ταὐτὰ λεγόντων —] ἡμῶν γὰρ καὶ ὑμῶν ταὐτὰ σπενδομένων καὶ ὁμογοούντων, τὸ ἄλλο Ἑλληνικὸν, ὑπήκοον ὄν, μεγάλως ἡμᾶς τιμήσει. (λ. Ἀὐγ.)

κα'. 11. Τὰς μὲν σπονδάς] τὸ ἐξῆς, τὰς σπονδὰς ποιεῖσθαι.

3. Βεβαίως. Gr. βεβαίους, cum emend. supersor. βεβαίως.

Προκαλεσαμένων. Cod. Bas. προσκαλ.

4. Ἐνόντα. E. μὲν ὄντα.

Σκοπεῖτε. Flor. marg. Steph. προσκοπεῖτε.

Ταὐτά. Aug. ταῦτα.

Τό γε. It. H. Reg. (G.) D. I. Ar. Chr. τό τε, Dan. τότε, in H. tamen γέ s. v.

Ὅτι om. E.

Cap. XXI. Οὖν de. Ar. Chr. Dan. et sane leviter suspectum est. Cf. script. discr. ad c. 88.

Ἐφ τῷ — σπονδῶν. Valla *foederum pristinorum* interpretatus Stephano τῶν ἐν — σπονδ. videtur legisse, sed potius nostra verba male intellexisse existimandus est.

Διδομένης δέ. Δέ om. D. I.

Ἀσμένους δέξεσθαί τε. Vulgo δέξεσθαί τε ἀσμένως, sed postremum vocab. ante δέξ. collocant Cass. Aug. Pal. It. Vat. H. F. C. Reg. (G.) cod. Bas. Gr. I. E. Vind. Mosqu. m. Ar. Chr. Dan. Ald. Flor. ed. Bas. Steph. 1. Haack. Bekk. Goell., praeterea in ἀσμένους mutari jubent Aug. Pal. F. C. (de quibus duobus fallitur, Bekk.) G. (si Gailio fides, nam de Reg. tacetur,) cod. Bas. Gr. I. Mosqu., quibus utpote exquisitiorem scripturam exhibentibus paruit Haack. Adverbium defendit Krüg. l. l. p. 88., et revocarunt Bekk. et Goell. Sed ἄσμενος, non ἀσμένως (quanquam hoc Xenophon utitur,) alibi ita usurpat Thucyd. Vid. Ind. Pro δέξεσθαι autem Cass. Aug. Pal. cod. Bas. E. Mosqu. δέξασθαι, It. Vat. H. δέχεσθαι, et δέξασθαι recepit Haack., quod non potest improbari. Vid. I. 1. p. 275. et infra 24, 4.

Digitized by Google

τοὺς ἄνδρας ἐν τῇ νήσῳ, ἤδη σφίσιν ἐνόμιζον ἑτοίμους εἶναι ὁπότ' ἂν βούλωνται ποιεῖσθαι πρὸς αὐτούς, τοῦ δὲ πλέονος ὠρέγοντο. 3. μάλιστα δὲ αὐτοὺς ἐνῆγε Κλέων ὁ Κλεαινέτου, ἀνὴρ δημαγωγὸς κατ' ἐκεῖνον τὸν χρόνον ὢν, καὶ τῷ πλήθει πιθανώτατος· καὶ ἔπεισεν ἀποκρίνασθαι ὡς χρὴ τὰ μὲν ὅπλα καὶ σφᾶς αὐτοὺς τοὺς ἐν τῇ νήσῳ παραδόντας πρῶτον, κομισθῆναι Ἀθήναζε, ἐλθόντων δὲ, ἀποδόντας Λακεδαιμονίους Νίσαιαν, καὶ Πηγὰς, καὶ Τροιζῆνα, καὶ Ἀχαΐαν, ἃ οὐ πολέμῳ ἔλαβον, ἀλλὰ ἀπὸ τῆς προτέρας ξυμβάσεως, Ἀθηναίων ξυγχωρησάντων κατὰ ξυμφοράς, καὶ ἐν τῷ τότε δεομένων τι μᾶλλον σπονδῶν, κομίσασθαι τοὺς ἄνδρας, καὶ σπονδὰς ποιήσασθαι, ὁπόσον ἂν δοκῇ χρόνον ἀμφοτέροις. *Id.* Βιβλ. ά. κεφ. ριέ.

3. Ἐνῆγε] κατέπειθεν. (λ. Ἀν.) — 10. Ἀθηναίων ξυγχωρησάντων —] Ἀθηναίων τὰ προειρημένα χωρία Λακεδαιμονίοις ξυγχωρησάντων ἐν ταῖς προτέραις σπονδαῖς, διὰ τὸ ἐν συμφοραῖς εἶναι. πᾶν γὰρ τὸ ἐπιταττόμενον ὑπὸ τῶν Λακεδαιμονίων συνεχώρουν. — 11. Δεομένων τι μᾶλλον] τῶν Λακεδαιμονίων. τὸ δὲ τι παρέλκει.

2. Ἑτοίμους nisi pro ἑτοίμας dictum putas, qua de re ad VIII, 26. disputabitur, aut in ἑτοίμας mutare vis, difficultas oritur ex πρὸς αὐτούς, quae ut verbis ὁπότ' ἂν βούλωνται virgulas addi vetant, ita, licet in duobus libris transposita nec a Valla *at illi, quia hos habebant, arbitrantes, quoties vellent, secum* (ὄφισι) *ad faciendum foedus paratos esse Lacedaemonios* (quod postremum nomen aliis literis scriptum) interpretato reddita sint, tamen sine magna levitate abiici nequeunt. Oratio igitur mente ita explenda erit: τὰς μὲν σπονδὰς (ποιεῖσθαι) — ἑτοίμους (αὐτοὺς, τοὺς Λακεδ.) εἶναι, ὁπότ' ἂν (σφεῖς, οἱ Ἀθην.) βούλ. Quod vide, ne locis I. 1. p. 284. positis non satis probetur.

Βούλωνται. Cass. Aug. C. pessime βούλονται.

Ποιεῖσθαι πρὸς αὐτούς. H. m. πρὸς αὐτ. ποιεισθ.

3. Μάλιστα. Gr. μᾶλλον. Mox ἐνῆγε om. cod. Bas.

Κλεαινέτου. Dan. Κλεαινέτα.

Δημαγωγός. B. δημαγωγος.

Καὶ ἔπεισεν. Καὶ om. Mosqu., pro ἔπεισεν D. habet εἶπεν.

Μέν de. Flor. Mox Pal. scribit σφάς.

Πρῶτον om. D. I.

Νίσαιαν. Dan. Νίκαιαν. At vid. I, 115.

Τροιζῆνα. Cass. Aug. Cl. Pal. Gr. Ald. Flor. Bas. Τροίζηνα. (De Parr. tacet Gail.) „Cum edd. Isocrates, Suidas, alii.“ WASS. Cf. script. discr. ad I, 115.

Ἀλλὰ ἀπό Cass. Aug. H. F. C. Reg. (G.) Gr. et haud dubie plures pro vulg. ἀλλ' ἀπό. Cf. I. 1. p. 217.

Ξυμφοράς. Ar. τὰς ξυμφ.

Καὶ σπονδάς. Καί in marg. al. man. I.

Ὁπόσον. Vind. ὁπόσων.

Digitized by Google

(Οἱ Λακεδαιμόνιοι, μάτην ξυνέδρους πεμψάντες ἐλέσθαι, ἄπρακτοι ἀναχωροῦσιν)

κβ'. Οἱ δὲ πρὸς μὲν τὴν ἀπόκρισιν οὐδὲν ἀντεῖπον, ξυνέδρους δὲ σφίσιν ἐκέλευον ἑλέσθαι, οἵτινες λέγοντες καὶ ἀκούοντες περὶ ἑκάστου, ξυμβήσονται κατὰ ἡσυχίαν, ὅ τι ἂν πείθωσιν ἀλλήλους. 2. Κλέων δὲ ἐνταῦθα δὴ πολὺς ἐνέκειτο, λέγων γιγνώσκειν μὲν καὶ πρότερον οὐδὲν ἐν ᾧ ἔχοντας δίκαιον αὐτούς, σαφὲς δ' εἶναι καὶ νῦν, οἵτινες τῷ μὲν πλήθει οὐδὲν ἐθέλουσιν εἰπεῖν, ὀλίγοις δὲ ἀνδράσι ξύνεδροι βούλονται γίγνεσθαι· ἀλλὰ εἴ τι ὑγιὲς διανοοῦνται, λέγειν ἐκέλευσεν ἅπασιν. 3. ὁρῶντες δὲ οἱ Λακεδαιμόνιοι οὔτε σφίσιν οἷόν τε ὂν ἐν πλήθει εἰπεῖν, εἴ τι καὶ ὑπὸ τῆς ξυμφορᾶς ἐδόκει αὐτοῖς ξυγχωρεῖν, μὴ ἐς τοὺς ξυμμάχους διαβληθῶσιν, εἰπόντες, καὶ οὐ τυχόντες, οὔτε τοὺς Ἀθη-

κβ'. 2. Ξυνέδρους δέ] τοὺς διαλεξομένους περὶ τούτων καὶ συνδοκιμάσοντας. — 3. Ξυμβήσονται] φιλιωθήσονται. (λ. Ἀϋγ.) — 4. ** Κλέων δέ —] πλαγία δημηγορία Κλέωνος. (Ἀϋγ.) — 12. Διαβληθῶσιν] ψεχθῶσι, μισηθῶσι. (λ. Ἀϋγ.)

Cap. XXII. Ἐκέλευον om. It.

Πείθωσιν. Cod. Bas. πείσθωσιν.

2. Ἐνταῦθα δή. Pal. ἐνταῦθα δεῖ. D. δή om.

Πολὺς ἐνέκειτο. Imitari Dionem Cass. vidimus I. 1. p. 867. (add. Wyttenb. ad Plut. Mor. I. p. 267. Wess. ad Diod. XVI, 85.)

Μὲν καί. Καί om. Dan.

Οὐδέν. D. οὐδέ.

Ἐν ᾧ om. E. In B. unum duntaxat ᾧ de. Statim D. E. ἔχοντας.

Σαφές. D. σαφεῖς.

Ἐθέλουσιν Gr. ex emend., fuerat in eo ἐθέλωσιν.

3. Ὁρῶντες δέ. Δέ om. B.

Οἷόν τε ὄν. Cod. Bas. οὐδέν.

Εἴ τι. In libris inepte εἴτε, quum οὔτε — οὔτε sibi respondeant. Nostram emendationem receperunt Haack. Bekk. Goell. Vallam, quanquam *quid* addidit, tamen εἴ τε legisse, docet reliqua eius interpretationis natura; scribit enim: *illi cernentes neque sibi fas esse ad populum loqui, et si quid calamitate adducti concedendum illis putarent, apud socios invidiosum fore re orata et non exorata, neque* —. Invenit igitur haud dubie εἴ τε καί τι, ut D., quocum aliquoties consentit, habet.

Τῆς ξυμφορᾶς. Dan. τὰς ξυμφορᾶς.

Διαβληθῶσιν post εἰπόντες collocant F. C., post τυχόντες Reg. (G., sed D., quem Bekk. addit, non item. Ex Reg. quidem Duk. εἰπόντας καὶ οὐ τυχόντας attulerat, sed falsum eum esse docet Gail.) Pro τυχόντες D. τιχ.

Τοὺς Ἀθηναίους. Cod. Bas. τοῖς Ἀθηναίοις.

Digitized by Google

ναιούς ἐπὶ μετρίοις ποιήσοντας ἃ προύκαλοῦντο, ἀνεχώρησαν ἐκ τῶν Ἀθηνῶν ἄπρακτοι.

(6. *Αἱ σπονδαὶ διαλύονται. ἀδικία Ἀθηναίων. περὶ Πύλον κατὰ κράτος πολεμεῖται.*)

κγ'. Ἀφικομένων δὲ αὐτῶν, διελύοντο εὐθὺς αἱ σπονδαὶ αἱ περὶ Πύλον· καὶ τὰς ναῦς οἱ Λακεδαιμόνιοι ἀπῄτουν, καθάπερ ξυνέκειτο. οἱ δ' Ἀθηναῖοι, ἐγκλήματα ἔχοντες ἐπιδρομήν τε τῷ τειχίσματι παράσπονδον καὶ ἄλλα οὐκ ἀξιόλογα δοκοῦντα εἶναι, οὐκ ἀπεδίδοσαν, ἰσχυριζόμενοι ὅτι δὴ εἴρητο, ἐὰν καὶ ὁτιοῦν παραβαθῇ, λελύσθαι τὰς σπονδάς. οἱ δὲ Λακεδαιμόνιοι ἀντέλεγόν τε, καὶ ἀδίκημα ἐπικαλέσαντες τὸ τῶν νεῶν, ἀπελθόντες,

κγ'. 5. *Καθάπερ ξυνέκειτο*] *ἀντὶ τοῦ ὥςπερ ἐν ταῖς συνθήκαις ἦν δεδογμένον.* — *Ἐγκλήματα ἔχοντες*] *ἀντὶ τοῦ ἐγκλήματα ἐπιφέροντες κατὰ Λακεδαιμονίων.* — 6. *Παράσπονδον*] *παρὰ τὰ ἐν ταῖς σπονδαῖς συγκείμενα.* — 7. *Οὐκ ἀξιόλογα*] *εὐτελῆ τινὰ καὶ ψυχρά.* — 8. *Ἰσχυριζόμενοι*] *ἐπερειδόμενοι καὶ ὡς ἰσχυρὸν πάνυ προτείνοντες οἱ Ἀθηναῖοι.* — 8. *Ἐὰν καὶ ὁτιοῦν παραβαθῇ*] *ἐὰν βραχὺ ἀθετηθῇ.* (*λ. Ἀγ.*) — 10. *Καὶ ἀδίκημα ἐπικαλέσαντες*] *καὶ ἐγκαλοῦντες ἠδικῆσθαι διὰ τὸ τὰς ναῦς μὴ ἀπειληφέναι.* — *Ἀπελθόντες ἐς πόλεμον καθίσταντο*] *μετὰ τὴν ἀπόκρισιν τὴν ἐλθοῦσαν ἀπὸ τῶν Ἀθηναίων, ἀναχωρήσαντες ἐπὶ τὴν Σπάρτην, παρεσκευάζοντο ἐπὶ τὸν πόλεμον.*

Ἐπὶ μετρίοις. D. I. *ἐπιμετρίως.* Quare Valla: *neque Athenienses moderate se gesturos.*

Ποιήσοντας. It. Vat. H. Dan. ed. Bas. (non cod. Bas.) *ποιήσαντας*, in H. tamen *ον s. αν.*

Προύκαλοῦντο. I. *προύκαλοῦντάι.* D. *προκαλοῦνται.*

Ἀθηνῶν. I. *Ἀθηναίων*, nostrum tamen in marg. ab al. man.

Cap. XXIII. *Διελύοντο.* E. *διεκελεύοντο.*

Εὐθύς. Gr. *εὐθέως*, quod Thucydidi multo minus usitatum Cf. script. discr. c. 44.

Πύλον. Cl. *τὴν Πύλον.* Gr. *τὸν Πύλον.* Posterius contra morem Thucydidis. Vid. I. 1. p. 103.

Οὐκ ἀξιόλογα. F. Reg. (G.) *οὐκ ὀλίγα.* Unde Valla: *non exigua*, quem Stephanus *ἀξιόλογα* sine negatione legisse suspicabatur. Nostram scripturam sinceram esse docet ratio, qua Athenienses perfidiam suam excusarunt.

Ἀπεδίδοσαν, C. G. *ἀπέδοσαν.* Sed imperfectum refer ad *ἀπῄτουν; quoties Lacedaemonii repetebant, toties Athenienses negabant.* Vind. *ἀπεδίδωσαν.*

Ἐὰν καί. Καί om. D. I.

Παραβαθῇ. D. *παραβασθῇ.*

Ἀπελθόντες. Mosqu. *ἐπελθόντες.*

Digitized by Google

ἐς πόλεμον καθίσταντο. 2. καὶ τὰ περὶ Πύλον ὑπ' ἀμφοτέρων κατὰ κράτος ἐπολεμεῖτο, Ἀθηναῖοι μὲν δυοῖν ἐναντίαιν ἀεὶ τὴν νῆσον περιπλέοντες τῆς ἡμέρας, (τῆς δὲ νυκτὸς καὶ ἅπασαι περιώρμουν, πλὴν τὰ πρὸς τὸ πέλαγος, ὁπότε ἄνεμος εἴη· καὶ ἐκ τῶν Ἀθηνῶν αὐτοῖς εἴκοσι νῆες ἀφίκοντο ἐς τὴν φυλακήν, ὥστε αἱ πᾶσαι ἑβδομήκοντα ἐγένοντο·) Πελοποννήσιοι δὲ ἔν τε τῇ ἠπείρῳ στρατοπεδευόμενοι, καὶ προσβολὰς ποιούμενοι τῷ τείχει, σκοποῦντες καιρὸν, εἴ τις παραπέσοι, ὥστε τοὺς ἄνδρας σῶσαι.

2. Ἀθηναῖοι μὲν δυοῖν — —] ἀντὶ τοῦ, Ἀθηναίων μὲν δύο πάνσιν ἐναντίαις περιπλεόντων τὴν νῆσον. τοῦτο δὲ, ἵνα μὴ ἐν τῷ μέσῳ διὰ τὸ ἁπανταχῦ [, μὴ] ἐάσωσι τοὺς ἐν τῇ Σφακτηρίᾳ ἐξελθεῖν. — 8. Καὶ προσβολὰς ποιούμενοι τῷ τείχει] ἀπὸ κοινοῦ τὸ εἰς πόλεμον καθίσταντο. (λ. Κασσ.)

2. Ὑπ' ἀμφ. Vind. ἀπ' ἀμφ.

Ἀμφοτέρων. F. C. Reg. (G.) ἀμφοτέροις.

Κατὰ κράτος om. F. Reg. (G.)

Ἀθηναῖοι μέν. G. Ἀθ. δέ, sed μέν s. δέ.

Δυοῖν. Chr. δυεῖν. At vid. 1. 1. p. 223. sq. Post δυοῖν autem cum Cass. Aug. (in quo in marg. a man. 2. exstat,) Pal. H. (qui s. v. ab al. man. habet,) It. Vat. Bekk. Goell. omisimus νεοῖν, quod ad ἐναντίαιν subaudiendum esse ex περιπλέοντες satis manifestum est. G. νεοῖς cum ν̄ s. ς̄ habet.

Ἐναντίαιν. Vat. ἐναντίαν. Statim Pal. rursus αἰεί, hic cum Ald. Flor. Bas. Vid. I. 1. p. 211.

Τῆς δέ. Quum περιώρμουν non ad Ἀθηναῖοι, sed ad ἅπασαι pertineat, parenthesis prius signum hic, non ante καὶ ἐκ posuimus. Cf. I. 1. p. 109. Secuti sunt Haack. et Bekk.

Πλὴν τά. I. πλὴν τάς.

Πρός. Ar. Chr. Dan. περὶ.

Ἀθηνῶν. D. Ἀθηναίων, sed αι cum signo dubitationis.

Ἔν τε. Τέ ex Cass. Aug. Cl. F. H. C. Reg. (G.) Gr. I. E. m. inseruimus cum Haack., quanquam non ad ἐν τῇ ἠπείρῳ pertinet, sed per hyperbaton ad στρατοπεδ. Cf. I. 1. p. 300. sq. Rursus expunxerunt Bekk. et Goell.

Στρατοπεδευόμενοι. F. στρατευόμενοι.

Digitized by Google

(7. Τὰ ἐν Σικελίᾳ πραχθέντα. κδ'. κε'. Συρακόσιοι καὶ οἱ ξύμμαχοι, ἐκ τῆς Μεσσήνης ὁρμώμενοι, ἐν τῷ πορθμῷ, ὃς διαγράφεται, ναυμαχίας ἀποπείραν ποιεῖσθαι διανοοῦνται)

κδ'. Ἐν τούτῳ δὲ οἱ ἐν τῇ Σικελίᾳ Συρακόσιοι καὶ οἱ ξύμμαχοι, πρὸς ταῖς ἐν Μεσσήνῃ φρουρούσαις ναυσὶ τὸ ἄλλο ναυτικὸν, ὃ παρεσκευάζοντο, προσκομίσαντες, τὸν πόλεμον ἐποιοῦντο ἐκ τῆς Μεσσήνης. 2. καὶ μάλιστα ἐνῆγον οἱ Λοκροὶ, τῶν Ῥηγίνων κατὰ ἔχθραν· καὶ αὐτοὶ δὲ ἐςεβεβλήκεσαν πανδημεὶ ἐς τὴν γῆν αὐτῶν. 3. καὶ ναυμαχίας ἀποπειρᾶσθαι ἐβούλοντο, ὁρῶντες τοῖς Ἀθηναίοις τὰς μὲν παρούσας ὀλίγας ναῦς, ταῖς δὲ πλείοσι καὶ μελλούσαις ἥξειν πυνθανόμενοι τὴν νῆσον πολιορκεῖσθαι. 4. εἰ γὰρ κρατήσειαν τῷ ναυτικῷ, τὸ Ῥήγιον ἤλπιζον, πεζῇ τε καὶ ναυσὶν ἐφορμοῦντες, ῥᾳδίως χειρώσασθαι, καὶ ἤδη σφῶν ἰσχυρὰ τὰ πράγματα γίγνεσθαι· ξύνεγγυς γὰρ κειμένου τοῦ τε Ῥηγίου ἀκρωτηρίου τῆς Ἰταλίας τῆς τε Μεσσήνης τῆς Σικελίας, τοῖς

Ὀλ. πή. ἔτ. γ'. πρὸ Χρ. υκέ.

κδ'. 6. Αὐτοί] οἱ Λοκροί. (λ. Αὐγ.) — 9. Τὴν νῆσον] τὴν Σφακτηρίαν. — 10. Εἰ γὰρ κρατήσειαν] οἱ Λοκροὶ δηλονότι.

Cap. XXIV. Ἐν τῇ. Τῇ de. It. B.

Συρακόσιοι m. („et sic in hoc libro constanter" GOELL.) et haud dubie plures cum Bekk. et Goell. Cf. script. discr. ad III, 86. Vulgo (et Haack.) Συρακούσιοι. Quod valet etiam ubique in proximo cap., ubi m. aliquoties Συῤῥακόσιοι, D. I. Συῤῥακούσιοι.

Καὶ οἱ. Οἱ om. E.

Μεσσήνῃ. Gr. Ar. Chr. Μεσήνῃ hic et infra ac Gr. plerisque locis. At vid. I. 2. p. 581. et Bekk. ad I, 101. Mox C. ἄλλον.

Ἐν om. It. Vat.

2. Ἐνῆγον. Ed. Bas. (non item cod. Bas.) ἀνῆγον.

Λοκροί. Pal., ut alibi, Λωκροί. Totam autem hanc sectionem non male in parenthesin redigas, quum §. 8. in ἐβούλοντο scriptor ad τοὺς Συρακοσ. καὶ ξυμμ. redeat.

Ἐςεβεβλήκεσαν Cass. Aug. Cl. Vat. H. Gr. m. Ar. Chr. Dan. Haack. In D. I. ἐςεβεβήκεσαν. Vulgo ἐςβεβλήκεσαν, quod Bekk. et Goell. servarunt, nec Haack. corruptum vocare debebat. Cf. I. 1. p. 228. Nostrum legimus c. 1. et III, 96. Statim Pal. πανδημεῖ.

4. Κρατήσειαν. D. κρατείσειαν.

Χειρώσασθαι Cass. Aug. F. It. Vat. H. (in quo ᾱ, pro quo ε̄ cogitandum, s. ᾱς scriptum esse dicitur,) D. I. E. Vind. Mosqu. Haack. Bekk. Goell. Cf. I. 1 p. 158. et infra c. 28 et 52. Vulgo χειρώσεσθαι. In C. litera ω̄ dubia.

Σφῶν. Reg. (G.) σφῶϊν. Antea C. ἴδη pro ἤδη.

Τοῦ τε. Τέ de. Ar.

Τῆς τε. Mosqu. καὶ τῆς. I. omnia ab τῆς — Σικελ. om., sed restit. in marg. al. man.

Ἀθηναίοις τε οὐκ ἂν εἶναι ἐφορμεῖν, καὶ τοῦ πορθμοῦ 253.
κρατεῖν. 5. ἔστι δὲ ὁ πορθμὸς ἡ μεταξὺ Ῥηγίου θάλασσα καὶ Μεσσήνης, ἥπερ βραχύτατον Σικελίᾳ τῆς ἠπείρου ἀπέχει· καὶ ἔστιν ἡ Χάρυβδις κληθεῖσα τοῦτο, ἣν Ὀδυσσεὺς λέγεται διαπλεῦσαι· διὰ στενότητα δὲ καὶ ἐκ μεγάλων πελαγῶν, τοῦ τε Τυρσηνικοῦ καὶ τοῦ Σικελικοῦ, ἐκπίπτουσα ἡ θάλασσα ἐς αὐτὸ, καὶ ῥοώδης οὖσα, εἰκότως χαλεπὴ ἐνομίσθη.

(*Τρεῖς ναυμαχίαι, ὧν ἐν τῇ δευτέρᾳ καὶ τρίτῃ οὐκ ἔλασσον ἔχουσιν οἱ Συρακόσιοι.*)

κέ. Ἐν τούτῳ οὖν τῷ μεταξὺ οἱ Συρακόσιοι καὶ οἱ ξύμμαχοι ναυσὶν ὀλίγῳ πλείοσιν ἢ τριάκοντα ἠναγκάσθησαν ὀψὲ τῆς ἡμέρας ναυμαχῆσαι περὶ πλοίου διαπλέοντος, ἀντεπαγόμενοι πρός τε Ἀθηναίων ναῦς ἑπτὰ δέκα καὶ Ῥηγίνας ὀκτώ. 2. καὶ νικηθέντες ὑπὸ τῶν Ἀθηναίων, διὰ τάχους ἀπέπλευσαν, ὡς ἕκαστοι ἔτυχον, ἐς τὰ οἰκεῖα στρατόπεδα, τό τε ἐν τῇ Μεσσήνῃ καὶ ἐν

2. *Ἡ μεταξὺ Ῥηγίου θάλασσα καὶ Μεσσήνης*] ἡ ἐς τὸ μεταξὺ Ῥηγίου καὶ Μεσσήνης ποταμηδὸν ῥέουσα. — 4. *Τοῦτο*] τὸ μέρος τῆς θαλάσσης. (*l. Ἀνγ.*) — 8. *Καλεπή*] εἰς τὸ πλεῦσαι δηλονότι.

Ἀθηναίους τε. *Τέ* om. Ar. Chr. Dan. At vid. I. 1. p. 300. sq.

Ἂν εἶναι Cass. Aug. Pal. It. Vat. Reg. Gr. m. Abrech. aliique, ut Haack. Bekk. Goell. Vulgo *ἀνεῖναι*.

5. *Βραχύτατον*. Non in *βραχύτατα* mutandum esse adnotavimus I. 1. p. 92.

Δὲ καί. *Καί* om. Ald. Flor. Steph. 1. teste Huds.; qui de ed. Bas. saltem fallitur.

Ἐκ. B. *τῶν* pro *ἐκ* habere innuere videtur Gail. Neutrum agnoscit ed. Bas.

Τοῦ τε. *Τέ* de. D.

Cap. XXV. *Ἐν*. Vind. *καί*. Mox Pal. *τὸ μεταξύ*.

Περί. Marg. Steph. *παρά*.

Πλοίου. E. Ar. Chr. Dan. *πλοίου δέ*.

Ἀντεπαγόμενοι Cass. Aug. Cl. H. (in quo *αν* al. man. additum.) It. Vat. Ar. Vulgo (Haack. Bekk. Goell.) *ἀντεπαναγόμενοι*, quod verbum si, ut videtur, non alia quam Thucydidis auctoritate nititur, ex lexicis eiiciendum est; nec apta videtur utraque praepositio, praesertim quum pugna non in alto mari, sed in freto commissa sit.

Ναῦς s. v. G.

Ἑπτακαίδεκα. „Ὀκτωκαίδεκα legebat Valla.“ HUDS. *Καί*, quod sequitur, om. I.

Ῥηγίνας. Gr. Ῥηγίας. E. Ῥηγίναν.

2. *Ἀπὸ τῶν*. *Τῶν* om. Cl.

Ἐς B. (in quo *εἰς* s. v. cad. man.) E. Ar. Haack. Bekk. Goell. pro vulg. *εἰς*. Cf. I. 1. p. 212.

Τό τε. Olim *τότε*, commate post hanc particulam collocato.

Digitized by Google

τῷ Ῥηγίῳ, μίαν ναῦν ἀπολέσαντες· καὶ νὺξ ἐπεγένετο τῷ ἔργῳ. 3. μετὰ δὲ τοῦτο οἱ μὲν Λοκροὶ ἀπῆλθον ἐκ τῆς Ῥηγίνων· ἐπὶ δὲ τὴν Πελωρίδα τῆς Μεσσήνης ξυλλεγεῖσαι αἱ τῶν Συρακοσίων καὶ ξυμμάχων νῆες ὥρμουν, καὶ ὁ πεζὸς αὐτοῖς παρῆν. 4. προσπλεύσαντες δὲ οἱ Ἀθηναῖοι καὶ Ῥηγῖνοι, ὁρῶντες τὰς ναῦς κενὰς, ἐνέβαλον, καὶ χειρὶ σιδηρᾷ ἐπιβληθείσῃ μίαν ναῦν αὐτοὶ ἀπώλεσαν, τῶν ἀνδρῶν ἀποκολυμβησάντων. 5. καὶ μετὰ τοῦτο τῶν Συρακοσίων ἐμβάντων ἐς τὰς ναῦς, καὶ παραπλεόντων ἀπὸ κάλω ἐς τὴν Μεσσήνην, αὖθις προς-

κε'. 1. *Μίαν ναῦν † ἀπολέσαντες, †]* οἱ Ἀθηναῖοι δηλονότι. (λ. Ἀνγ.) — *Καὶ νὺξ ἐπεγένετο τ. ἔ.]* ἡγουν γενομένη γὰρ νὺξ ἐπέσχε τὸ ἔργον. — 3. *Τὴν Πελωρίδα]* Πελωρὶς ἀκρωτήριον Σικελίας τὸ βορειότατον. — 7. *Καὶ χειρὶ σιδηρᾷ ἐπιβλ.]* δηλονότι ὑπὸ τῶν Συρακουσίων ἐπιβληθείσῃ Ἀττικῇ νηΐ. *μίαν οὖν ἀπώλεσαν* οἱ Ἀθηναῖοι. — 10. *Ἀπὸ κάλω]* τῷ λεγομένῳ παρόλῳ· οἱ γὰρ παρ' αὐτὴν τὴν γῆν πλέοντες οὐ δύνανται ἐρέττειν. — *Προσβαλόντες]* τοῖς Συρακουσίοις δηλονότι. (λ. Ἀνγ.)

Quod saltem ante eam cum Kist. transponendum erat. Sed potius *τό τε* disiunctim scribendum et altera virgula post *Ῥηγίῳ* figenda cum Reisk. Haack. Bekk. Goell. quem vid. ad h. l. Valla nec *τότε* nec *τό τε* expressit.

Ῥηγίῳ. Reg. (G.) *Ῥηγίνῳ.* Antea Chr. *Μεσήνῃ*, ut et infra, et *Μεσήνιοι* §. 7. Cf. ad 24, 1. b.

Νύξ. G. *νῦν*, sed alterum s. v.

Ἐπεγένετο. Chr. Dan. *ἐγέν.*

3. *Μετὰ δὲ.* *Δέ* de. Chr. Mox Pal. rursus *Λοκροί.*

Τῆς Ῥηγίνων Cass. Aug. Gl. Pal. It. Vat. H. Gr. E. m. Ar. Chr. Dan. Ald. (?) Haack. Bekk. Goell. *Τῶν Ῥηγίνων* F. Reg. (G.) D. I. (de quibus quatuor lectores fallit Bekk.) ed. Bas. Vulgo *τῆς τῶν Ῥηγ.*, sed *τῶν* uncis notatum erat.

Ξυλλεγεῖσαι. Libri tam scripti quam editi omnes *συλλ.* At vid. I. 1. p. 209. (In Farr. discr. script. hic locus excidit.) Mox de *Συρακόσιοι*, cf. ad 24, 1. *Καὶ* om. cod. Bas.

4. *Αὐτοὶ* Cl. (in quo *αὐτοῖς* in marg.) F. Reg. (G.) cod. Bas. Gr. D. E. Schol. Vall. (*unam ex aliis perdiderunt.*) Haack. Goell. Vulgo (et Bekk.) *αὐτοῖς.* At vid. quae in not. ex Obss. crit. p. 68. transcribemus; et inde hausit etiam Goell.

5. *Τῶν Συρακοσίων. Τῶν* om. D., *καὶ* pro eo habet I.

Ἐσβάντων Cass. Aug. Cl. Pal. It. Vat. H. cod. Bas. Gr. I. E. Vind. Chr. Dan. marg. Steph. Haack. Bekk. Goell. Vulgo *ἐμβάντων.* „Sic III, 80. *ἐμβῆναι* et *ἐσβῆναι.*" WASS. Cf. I, 18. et Xen. Anab. V., 7, 15. Proximum *ἐς* om. Gr., contra consuetudinem linguae.

Κάλω. Dan. *κάλῳς.* At vid. not.

Προσβαλόντες. Mosqu. *προσβάλλοντες.*

βαλόντες οἱ Ἀθηναῖοι, ἀποσιμωσάντων ἐκείνων, καὶ προεμβαλόντων, ἑτέραν ναῦν ἀπολλύουσι. 6. καὶ ἐν τῷ παράπλῳ καὶ τῇ ναυμαχίᾳ τοιουτοτρόπῳ γενομένῃ οὐκ ἔλασσον ἔχοντες οἱ Συρακόσιοι, παρεκομίσθησαν ἐς τὸν ἐν τῇ Μεσσήνῃ λιμένα. 5

(Μεσσήνιοι μὲν Νάξῳ προσβαλόντες τρέπονται, Λεοντίνων δὲ ἐπ' αὐτοὺς στρατευσάντων, καλὴν ἐπεκδρομὴν ποιοῦνται, τέλος γε μέντοι ὑπὸ τῶν Ἀθηναίων ἐς τὴν πόλιν διώκονται.)

7. Καὶ οἱ μὲν Ἀθηναῖοι, Καμαρίνης ἀγγελθείσης προδίδοσθαι Συρακοσίοις ὑπ' Ἀρχίου καὶ τῶν μετ' αὐτοῦ, ἔπλευσαν ἐκεῖσε· Μεσσήνιοι δ' ἐν τούτῳ πανδημεὶ κατὰ γῆν καὶ ταῖς ναυσὶν ἅμα ἐστράτευσαν ἐπὶ Νάξον τὴν Χαλκιδικήν, ὅμορον οὖσαν. 8. καὶ τῇ πρώτῃ ἡμέρᾳ τειχήρεις ποιήσαντες τοὺς Ναξίους, ἐδῄουν τὴν γῆν· τῇ δ' ὑστεραίᾳ ταῖς μὲν ναυσὶ περιπλεύσαντες κατὰ τὸν 10

1. Ἀποσιμωσάντων] ὑπαναχωρησάντων καὶ μετεωρισάντων τὰς ναῦς, ἵνα ἐκ πολλοῦ διαστήματος δυνηθῶσι μετὰ μείζονος ὁρμῆς ἐμβάλλειν τοῖς Ἀθηναίοις. — ** Ἀποσημωσάντων] τὰ σήμεια τῆς ξυμμαχίας ἁρμόσαντων καὶ ἀναδείξαντων. (Βασ.) — 2. Προεμβαλόντων] τῶν Συρακοσίων πρὸ τῶν Ἀθηναίων δηλονότι ἐμβαλόντων. — 11. Τειχήρεις ποιήσαντες] ἐντὸς [δηλονότι] τῶν τειχῶν ποιήσαντες.

Οἱ Ἀθηναῖοι. Οἱ om. C. Reg. (G.) Post Ἀθην. Vind. pergit ὑπαναχωρησάντων τὰς ναῦς, ἵνα ἐκ πολλοῦ διαστήματος δυνηθῶσι μετὰ μείζονος ὁρμῆς ἐμβάλλειν τοῖς Ἀθηναίοις, ἀποσιμωσάντων, ex depravato Schol. postremi voc.

Ἀποσιμωσάντων. Respiciunt huc lexicc. vett. Vid. adnot. Cod. Bas. ex emend. ἀποσημωσ. D. ἀποσημοσ. Male Valla *dato signo*, unde ἀποσημειωσάντων eum legisse aut legendum putasse conficiebat Steph. At vid. Schol.

καὶ τῶν Λακεδαιμονίων ὅσοι μὲν ὑποχωροῦντες ἐμπατελαμβάνοντο, ἀπέθνησκον, οἱ δὲ πολλοὶ, διαφυγόντες ἐς τὸ ἕρυμα, μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο παρὰ πᾶν, ὡς ἀμυνούμενοι, ἥπερ ἦν ἐπίμαχον. 3. καὶ οἱ Ἀθηναῖοι, ἐπισπόμενοι, περιῆδον μὲν αὐτῶν καὶ κύκλωσιν χωρίου ἰσχύϊ οὐκ εἶχον, προσιόντες δὲ ἐξ ἐναντίας, ὥσασθαι ἐπειρῶντο. 4. καὶ χρόνον μὲν πολὺν καὶ τῆς ἡμέρας τὸ πλεῖστον ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψους καὶ ἡλίου, ἀντεῖχον, πειρώμενοι οἱ μὲν ἐξελάσασθαι ἐκ τοῦ μετεώρου, οἱ δὲ μὴ ἐνδοῦναι. ῥᾷον δ' οἱ Λακεδαιμόνιοι * ἠμύναντο * ἢ ἐν τῷ πρίν, οὐκ οὔ- 261.
σης σφῶν τῆς κυκλώσεως ἐς τὰ πλάγια.

3. *Μετὰ τῶν ταύτῃ φυλάκων*] ἐν τῷ ἑρύματι. (λ. Ἀγ.) — *Παρὰ πᾶν*] παρὰ πᾶν μέρος τοῦ ἑρύματος, ὅσον ἦν μέρος ἐπίμαχον, τουτέστι καθ' ὃ ἐδύναντο οἱ Ἀθηναῖοι προσελθόντες μάχεσθαι. — 5. *Καὶ κύκλωσιν*] λείπει τὸ ποιήσασθαι. — 12. *Ἐς τὰ πλάγια*] ἀντὶ τοῦ ἐκ τῶν πλαγίων.

Post hoc verbum Haack. punctum posuit, Bekk. virgulam. Hic mox colon post *ἀπέθνησκ.* in comma mutavit.

Διαφυγόντες. D. I. *ἀποφυγ.*

Φυλάκων. Ar. Chr. *φυλακῶν.*

Ἀμυνούμενοι. Cass. Aug. Cl. Pal. It. Vat. Ar. Chr. male *ἀμυνόμενοι.* C. *ἀμυνούμενον.*

3. *Ἐπισπόμενοι* Cass. Aug. (in quibus ō man. rec. in ῶ mutat.) It. Vat. m. Vall. (*insecuti* interpretatus) Haack. Bekk. Goell. Vulgo *ἐπισπώμενοι*, cui in Reg. (G.) ō supra scr. Idem vitium adfuit III, 43. et redit V, 8. ut apud Herodot. I, 191. III, 14.

Προσιόντες. Ar. Chr. *προσιέντες.* Dan. *προσιέντας.*

Ὥσασθαι. E. Vind. *ὦσεσθαι.* Nostrum confirmat Thom. Mag. p. 164. Statim D. *ἐπειρῶντο.*

4. *Ἡμέρας.* F. *ἡμετέρας.*

Ἀμφότεροι s. v. al. man. B.

Τό τε. Τέ om. I. Dan.

Δίψους. Pal. D. I. marg. Steph. *δίψης*, aeque bene. Vid. adnot. ad VII, 87.

Ἐξελάσασθαι. Dan. *ἐξελάσεσθαι:* De medio cf. I. 1. p. 188.

Τοῦ μετεώρου. Τοῦ om. C. Reg. (G.) cod. Bas. Gr. E. Ar. Chr.

Ῥᾷον. C. G. *ῥᾴδιον.*

Ἠμύναντο Cass. Aug. F. It. Vat. H. (in quo *ον* s. *αν* al. man.) Mosqu. Bekk. Goell. Vulgo *ἠμύνοντο*, quod tempus servavit Haack., et nobis quoque aptius videtur. Redit eadem scripturae inconstantia cap. 68. 115., sed *ἠμύνοντο* adfuit cap. 11. V, 3. al.

Ἐς τά. Chr. *ὡς τά.*

Digitized by Google

(Τοῦ τῶν Μεσσηνίων στρατηγοῦ κατὰ κράτος τῶν Λακεδαιμονίων ἀναφανέντος, οἱ Ἀθηναῖοι κρατοῦσι τῶν ἐφόδων.)

λϛ'. Ἐκειδὴ δὲ ἀπέραντον ἦν, προελθὼν ὁ τῶν Μεσσηνίων στρατηγὸς Κλεῶνι καὶ Δημοσθένει, ἄλλως ἔφη πονεῖν σφᾶς· εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν τοξοτῶν μέρος τι καὶ τῶν ψιλῶν, περιέναι κατὰ νώτου αὐτοῖς ὁδῷ ᾗ ἂν αὐτὸς εὕρῃ, δοκεῖν βιάσασθαι τὴν ἔφοδον. 2. λαβὼν δὲ ἃ ᾐτήσατο, ἐκ τοῦ ἀφανοῦς ὁρμήσας, ὥστε μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ ἀεὶ παρεῖκον τοῦ κρημνώδους τῆς νήσου προ[ς]βαίνων, καὶ ἧ οἱ Λακεδαιμόνιοι, χωρίου ἰσχύϊ πιστεύσαντες, οὐκ ἐφύλασσον, χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθε, καὶ ἐπὶ τοῦ μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου αὐτῶν, τοὺς μὲν τῷ ἀδοκήτῳ ἐξέπληξε, τοὺς δὲ, ἃ προσεδέχοντο ἰδόντας, πολλῷ μᾶλλον ἐπέῤῥωσε. 3. καὶ οἱ Λακεδαιμόνιοι, βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη, καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπατώματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις — ἐκεῖνοί τε γὰρ, τῇ ἀτραπῷ περιελθόντων τῶν

λϛ'. 1. Ἀπέραντον ἦν] τὸ ἔργον τοῦ πολέμου. (l. Λύγ.) — 2. Ἅλλως] ματαίως. — 6. Ἐκ τοῦ ἀφανοῦς] [ἀντὶ τοῦ] ἐκ τοῦ μὴ βλεπομένου τοῖς Λακεδαιμονίοις. — 7. Ἐκείνους] ἤγουν τοὺς Λακεδαιμονίους, (l. Λύγ.) — Κατὰ τὸ ἀεὶ † παρῆκον †] [τουτέστι] κατὰ τὸ ἐνδιδοῦν καὶ ἀνάβασιν παρέχον. — 12. Τοὺς δέ] ἤγουν Ἀθηναίους.

Cap. XXXVI. Ἐκειδὴ δὲ. λϛ' om. Cass.

Ἀπέραντον B. ἀπήρατον.

Μεσσηνίων. Ar. Chr. rursus Μεσηνίων. Vid. I. 2. p. 531.

Ἑαυτῷ. Pal. αὐτῷ.

Περιέναι. Cl. προιέναι. Antea cod. Bas. om. τῶν ante ψιλ.

Αὐτοῖς — δοῦναι om. E.

2. Κατά. Ar. Chr. Dan. καὶ κατά.

Ἀεί. Pal. rursus αἰεί. Cf. I. 1. p. 211.

Παρεῖκον Cass. Aug. Cl. It. (sed hic ex correct.) B. I. (in cuius marg. al. man. παρῆκον,) Vind. m. Ar. Chr. Dan. Ald. Bas. Schol. Thuc. et Schol. Aristid. p. 5. (ubi tamen alii libri παρῆκον,) Reisk. Haack. Bekk. Goell. Vulgo παρῆκον. Vid. adnot.

Προεβαίνων. Vat. Reg. (G.) D. προβαίνων, quod iam Dukero, Abresch. p. 408. et Heilm. placebat, ac recte recepisse videntur Gottl. et Goell.

Ἧι de. Ar. Chr. Dan.

Ἰσχύϊ ad marg. reiicit Mosqu.

Καὶ ἐπί. C. καὶ ἐκ. Antea puncto comma primus substituit Haack.

Θερμοπύλαις. Post hoc vocabulum lineolam posuimus, quae anacoluthon monstraret. Krü-

Digitized by Google

καὶ τῶν Λακεδαιμονίων ὅσοι μὲν ὑποχωροῦντες ἐμπατελαμβάνοντο, ἀπέθνησκον, οἱ δὲ πολλοί, διαφυγόντες ἐς τὸ ἕρυμά, μετὰ τῶν ταύτῃ φυλάκων ἐτάξαντο παρὰ πᾶν, ὡς ἀμυνούμενοι, ἥπερ ἦν ἐπίμαχον. 3. καὶ οἱ Ἀθηναῖοι, ἐπισπόμενοι, περιιόδουν μὲν αὐτῶν καὶ κύκλωσιν χωρίου ἰσχύϊ οὐκ εἶχον, προσιόντες δὲ ἐξ ἐναντίας, ὥσασθαι ἐπειρῶντο. 4. καὶ χρόνον μὲν πολὺν καὶ τῆς ἡμέρας τὸ πλεῖστον ταλαιπωρούμενοι ἀμφότεροι ὑπό τε τῆς μάχης καὶ δίψους καὶ ἡλίου, ἀντεῖχον, πειρώμενοι οἱ μὲν ἐξελάσασθαι ἐκ τοῦ μετεώρου, οἱ δὲ μὴ ἐνδοῦναι. ῥᾷον δ' οἱ Λακεδαιμόνιοι * ἠμύναντο * ἢ ἐν τῷ πρίν, οὐκ οὔ- 261.
σης σφῶν τῆς κυκλώσεως ἐς τὰ πλάγια.

3. *Μετὰ τῶν ταύτῃ φυλάκων*] *ἐν τῷ ἑρύματι.* (*λ. Ἀδγ.*) — *Παρὰ πᾶν*] *παρὰ πᾶν μέρος τοῦ ἑρύματος, ὅσον ἦν μέρος ἐπίμαχον, τουτέστι καθ' ὃ ἐδύναντο οἱ Ἀθηναῖοι προελθόντες μάχεσθαι.* — 5. *Καὶ κύκλωσιν*] *λείπει τὸ ποιήσασθαι.* — 12. *Ἐς τὰ πλάγια*] *ἀντὶ τοῦ ἐκ τῶν πλαγίων.*

Post hoc verbum Haack. punctum posuit, Bekk. virgulam. Hic mox colon post *ἀπέθνησκον* in comma mutavit.

Διαφυγόντες. D. I. *ἀποφυγ.*

Φυλάκων. Ar. Chr. *φυλακῶν.*

Ἀμυνούμενοι. Cass. Aug. Cl. Pal. It. Vat. Ar. Chr. male *ἀμυσόμενοι.* C. *ἀμυνομένων.*

3. *Ἐπισπόμενοι* Cass. Aug. (in quibus *ō* man. rec. in *ω* mutat.) It. Vat. m. Vall. (*insecuti* interpretatus) Haack. Bekk. Goell. Vulgo *ἐπισπώμενοι*, cui in Reg. (G.) *ō* supra scr. Idem vitium adfuit III, 43. et redit V, 8. ut apud Herodot. I, 191. III, 14.

Προσιόντες. Ar. Chr. *προσιέντες.* Dan. *προσιέντας.*

Ὥσασθαι. E. Vind. *ὦσεσθαι.* Nostrum confirmat Thom. Mag. p. 164. Statim D. *ἐπειρῶντο.*

4. *Ἡμέρας.* F. *ἡμετέρας.*

Ἀμφότεροι s. v. al. man. B.

Τό τε. Τέ om. I. Dan.

Δίψους. Pal. D. I. marg. Steph. *δίψης*, aeque bene. Vid. adnot. ad VII, 87.

Ἐξελάσασθαι. Dan. *ἐξελάσεσθαι.* De medio cf. I. 1: p. 188.

Τοῦ μετεώρου. Τοῦ om. C. Reg. (G.) cod. Bas. Gr. E. Ar. Chr.

Ῥᾷον. C. G. *ῥᾴδιον.*

Ἠμύναντο Cass. Aug. F. It. Vat. H. (in quo *ον* s. *αν* al. man.) Mosqu. Bekk. Goell. Vulgo *ἠμύνοντο*, quod tempus servavit Haack., et nobis quoque aptius videtur. Redit eadem scripturae inconstantia cap. 68. 115., sed *ἠμύνοντο* adfuit cap. 11. V, 3. al.

Ἐς τά. Chr. *ὡς τά.*

Digitized by Google

(Τοῦ τῶν Μεσσηνίων στρατηγοῦ κατὰ νώτου τῶν Λακεδαιμονίων ἀναφανέντος, οἱ Ἀθηναῖοι τροποῦσι τῶν ἐφόδων.)

λϛ'. Ἐκείθι δὲ ἀπέραντον ἦν, προελθὼν ὁ τῶν Μεσσηνίων στρατηγὸς Κλεώνι καὶ Δημοσθένει, ἄλλως ἔφη πονεῖν σφᾶς· εἰ δὲ βούλονται ἑαυτῷ δοῦναι τῶν τοξοτῶν μέρος τι καὶ τῶν ψιλῶν, περιέναι κατὰ νώτου αὐτοῖς ὁδῷ ᾗ ἂν αὐτὸς εὕρῃ, δοκεῖν βιάσασθαι τὴν ἔφοδον. 2. λαβὼν δὲ ἃ ᾐτήσατο, ἐκ τοῦ ἀφανοῦς ὁρμήσας, ὥστε μὴ ἰδεῖν ἐκείνους, κατὰ τὸ ἀεὶ παρεῖκον τοῦ κρημνώδους τῆς νήσου προ[ς]βαίνων, καὶ ᾗ οἱ Λακεδαιμόνιοι, χωρίου ἰσχύϊ πιστεύσαντες, οὐκ ἐφύλασσον, χαλεπῶς τε καὶ μόλις περιελθὼν ἔλαθε, καὶ ἐπὶ τόϋ μετεώρου ἐξαπίνης ἀναφανεὶς κατὰ νώτου αὐτῶν, τοὺς μὲν τῷ ἀδοκήτῳ ἐξέπληξε, τοὺς δὲ, ἃ προσεδέχοντο ἰδόντας, πολλῷ μᾶλλον ἐπέῤῥωσε. 3. καὶ οἱ Λακεδαιμόνιοι, βαλλόμενοί τε ἀμφοτέρωθεν ἤδη, καὶ γιγνόμενοι ἐν τῷ αὐτῷ ξυμπεσήματι, ὡς μικρὸν μεγάλῳ εἰκάσαι, τῷ ἐν Θερμοπύλαις — ἐκεῖνοί τε γὰρ, τῇ ἀτραπῷ περιελθόντων τῶν

λϛ'. 1. Ἀπέραντον ἦν] τὸ ἔργον τοῦ πολέμου. (λ. Λύγ.) — 2. Ἄλλως] ματαίως. — 6. Ἐκ τοῦ ἀφανοῦς] [ἀντὶ τοῦ] ἐκ τοῦ μὴ βλεπομένου τοῖς Λακεδαιμονίοις. — 7. Ἐκείνους] ἤγουν τοὺς Λακεδαιμονίους. (λ. Λύγ.) — Κατὰ τὸ ἀεὶ † παρῆκον †] [τουτέστι] κατὰ τὸ ἐνδιδοῦν καὶ ἀνάβασιν παρέχον. — 12. Τοὺς δὲ] ἤγουν Ἀθηναίους.

Cap. XXXVI. Ἐκείθι δέ. Ἀεὶ om. Cass.

Ἀπέραντον. B. ἀπήρατον.

Μεσσηνίων. Ar. Chr. rursus Μεσηνίων. Vid. I. 2. p. 531.

Ἑαυτῷ. Pal. αὐτῷ.

Περιέναι. Cl. προιέναι. Antea pod. Bas. om. τῶν ante ψιλ.

Αὐτοῖς — δοκεῖν om. E.

2. Κατά. Ar. Chr. Dan. καὶ κατά.

Ἀεί. Pal. rursus αἰεί. Cf. I. 1. p. 211.

Παρεῖκον Cass. Aug. Cl. It. (sed hic ex correct.) B. I. (in cuius marg. al. man. παρῆκον,) Vind. m. Ar. Chr. Dan. Ald. Bas. Schol. Thuc. et Schol. Aristid. p. 5. (ubi tamen alii libri παρῆκον,) Reisk. Haack. Bekk. Goell. Vulgo παρῆκον. Vid. adnot.

Προσβαίνων. Vat. Reg. (G.) D. προβαίνων, quod iam Dukero, Abresch. p. 408. et Heilm. placebat, ac recte recepisse videntur Gottl. et Goell.

Ἥ τε. Ar. Chr. Dan.

Ἰσχύϊ ad marg. reiicit Mosqu.

Καὶ ἐπί. C. καὶ ἐκ. Antea puncto comma primus substituit Haack.

Θερμοπύλαις. Post hoc vocabulum lineolam posuimus, quae anacoluthon monstraret. Krü-

Digitized by Google

Περσῶν, διεφθάρησαν, οὗτοί τε, ἀμφίβολοι ἤδη ὄντες, οὐκέτι ἀντεῖχον, ἀλλὰ πολλοῖς τε ὀλίγοι μαχόμενοι, καὶ ἀσθενείᾳ σωμάτων διὰ τὴν σιτοδείαν, ὑπεχώρουν· καὶ οἱ Ἀθηναῖοι ἐκράτουν ἤδη τῶν ἐφόδων.

(*Κήρυγμα πρὸς τοὺς Λακεδαιμονίους, εἰ βούλονται παραδοῦναι σφᾶς αὐτούς.*)

λζ'. Γνοὺς δὲ ὁ Κλέων καὶ ὁ Δημοσθένης ὅτι, εἰ καὶ ὁποσονοῦν μᾶλλον ἐνδώσουσι, διαφθαρησομένους αὐτοὺς ὑπὸ τῆς σφετέρας στρατιᾶς, ἔπαυσαν τὴν μάχην, καὶ τοὺς ἑαυτῶν ἀπεῖρξαν, βουλόμενοι ἀγαγεῖν αὐτοὺς Ἀθηναίοις ζῶντας, εἴ πως, τοῦ κηρύγματος ἀκούσαντες, ἐπικλασθεῖεν τῇ γνώμῃ τὰ ὅπλα παραδοῦναι, καὶ ἡσσηθεῖεν τοῦ παρόντος δεινοῦ, 2. ἐκήρυξάν τε, εἰ βούλοιντο τὰ ὅπλα παραδοῦναι καὶ σφᾶς αὐτοὺς Ἀθηναίοις, ὥςτε βουλεῦσαι ὅ τι ἂν ἐκείνοις δοκῇ.

(*Γενομένων ἐπερωτήσεων τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων οἱ ἐν τῇ νήσῳ παραδιδόασι σφᾶς αὐτούς. ἀριθμὸς τῶν τε ἀποθανόντων καὶ τῶν ληφθέντων.*)

λη'. Οἱ δὲ, ἀκούσαντες, παρῆκαν τὰς ἀσπίδας οἱ πλεῖστοι, καὶ τὰς χεῖρας ἀνέσεισαν, δηλοῦντες προςίεσθαι.

λζ'. 8. Ἀπεῖρξαν] τῆς μάχης δηλονότι. (λ. Αὐγ.) — 9. Ἀκούσαντες] οἱ Λακεδαιμόνιοι. (λ. Αὐγ.) — 10. Ἐπικλασθεῖεν] χαυνωθεῖεν. (λ. Αὐγ.)

λη'. 14. Παρῆκαν] ἀφῆκαν. (λ. Κασσ. Αὐγ.)

gerus tamen l. l. p. 269. verba ἐκεῖνοί τε — οὗτοί τε in parenthesin redigit. At cf. adnot.

Ἤδη in marg. al. man. habet I., τέ ei substituit D.

Ἀλλά. I. ἀλλά πω.

Πολλοῖς τε, Τέ om. D. I.

Ὀλίγοι. Cass. ὀλίγα, et int. vers. man. rec. ὀλίγοι.

Ἐφόδων. Ar. Chr. Dan. ἐφοδίων.

Cap. XXXVII. Ὁποσονοῦν. Cass. Aug. ὁπόσον οὖν. B. ὁπόσο οὖν. Mosqu. ὁποσοῦν.

Ὑπὸ τῆς — ἀγαγεῖν αὐτούς ob repetitum αὐτ. om. B.

Ἀγαγεῖν αὐτούς. Mosqu. αὐτοὺς ἀγαγεῖν. In D. lacuna post ἀγαγεῖν αὐτούς ad τῇ γνώμῃ.

Ἐπικλασθεῖεν. Post hoc ad τοῦ παρόντος lacuna in I., suppl. in marg. al. man.

Τὰ ὅπλα. Chr. καὶ τὰ ὅπλα.

2. Καὶ σφᾶς αὐτοὺς Ἀθηναίοις ὥςτε. Gr. καὶ σφᾶς Ἀθηναίοις ὡς αὐτούς τε.

Cap. XXXVIII. Παρῆκαν. D. παρεῖκαν.

Digitized by Google

τὰ πεπρυγμένα· μετὰ δὲ ταῦτα ἡνομένης τῆς ἀνακωχῆς, ξυνῆλθον ἐς λόγους ὅ τε Κλέων καὶ ὁ Δημοσθένης, καὶ ἐκεῖνοι Σύφων ὁ Φάραξος, τῶν πρότερον ἀρχόντων
262. τοῦ μὲν πρώτου τεθνηκότος Ἐπιτάδου, τοῦ δὲ μετ' αὐ-
5 τὸν Ἱππαγρέτου ἐφηρημένου ἐν τοῖς νεκροῖς ὅτι ζῶντος κειμένου ὡς τεθνεῶτος, αὐτὸς τρίτος ἐφηρημένος ἄρχειν κατὰ νόμον, εἴ τι ἐκεῖνοι πάσχοιεν. 2. ἔλεγε δὲ ὁ Σύφων καὶ οἱ μετ' αὐτοῦ ὅτι βούλονται διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ ἠπείρῳ Λακεδαιμονίους, ὅ τι χρὴ σφᾶς
10 ποιεῖν. 3. καὶ ἐκείνων μὲν οὐδένα ἀφέντων, αὐτῶν δὲ τῶν Ἀθηναίων καλούντων ἐκ τῆς ἠπείρου κήρυκας, καὶ γενομένων ἐπερωτήσεων δὶς ἢ τρὶς, ὁ τελευταῖος διαπλεύσας αὐτοῖς ἀπὸ τῶν ἐκ τῆς ἠπείρου Λακεδαιμονίων ἀνὴρ ἀπήγγειλεν ὅτι „οἱ Λακεδαιμόνιοι κελεύουσιν ὑμᾶς αὐ-
15 τοὺς περὶ ὑμῶν αὐτῶν βουλεύεσθαι, μηδὲν αἰσχρὸν ποιοῦντας.“ οἱ δὲ, καθ' ἑαυτοὺς βουλευσάμενοι, τὰ ὅπλα

5. Ἐφηρημένου] ἀντὶ τοῦ μετ' ἐκεῖνον ἠρημένου καὶ χειρότερον ἠθέντος. — 7. Εἴ τι ἐκεῖνοι πάσχοιεν] ἤγουν ἀποθάνοιεν. (λ. Ἀγγ.) — 8. Διακηρυκεύσασθαι] ἐν ἴσῳ μέν πως ἐστὶ τῷ ἐπικηρυκεύσασθαι· εἰ μή τις εἴπῃ τὸ μὲν διακηρυκεύσασθαι πρὸς φίλους, τὸ δ' ἐπικηρυκεύεσθαι πρὸς πολεμίους. — 9. Ὅ τι χρὴ σφᾶς ποιεῖν] καίτοι εἶπεν ἄνω, ὅτι ἔδοξεν αὐτοῖς παραδοῦναι τὰ ὅπλα καὶ προσίεσθαι τὰ πεπρυγμένα. ἀλλὰ λέγομεν, ὅτι ἐκεῖ μὲν ἔλεγε περὶ τῶν στρατιωτῶν, ἐνταῦθα δὲ περὶ τοῦ αὐτῶν στρατηγοῦ. — 10. Ἐκείνων μὲν οὐδένα ἀφέντων] τῶν Λακεδαιμονίων τῶν ἐν τῇ Σφακτηρίᾳ. ἀφέντων δὲ λέγει, ὥστε ἐξελθεῖν διακηρυκεύσασθαι πρὸς τοὺς ἐν τῇ Πύλῳ. — 15. Μηδὲν αἰσχρὸν ποιοῦντας] αἰνίττεται ὡς ὅτι μᾶλλον βέλτιον ἔσται πεισθῆναι, ἢ αἰχμαλώτους ληφθῆναι, ὡς νόμος Λακεδαιμονίοις. (λ. Ἀγγ.)

Γενομένης. Mosqu. γινομ. De ἀνακωχῆς cf. I. 1. p. 240.

Φάραξος. Cod. Bas. Φάρραγγος.

Ἐφηρημένου. m. ὑφηρημένου. Virgulam hic et in vicinia ter sustulit Haack.

Τεθνεῶτος. G. τεθνεότος.

2. Λακεδαιμονίους. Dan. καὶ Λακεδ.

3. Γενομένων ἐπερωτήσεων Cass. Aug. Cl. F. Pal. It. Vat. H. I. R. m. Chr. Bekk. Goell. In Mosqu. γενομένων ἐπερωτημάτων. Reg. (G.) Gr. Ar. Ald. Flor. Bas. γενομένων ἐπ' ἐρωτήσεως, quod cum Bened. recepit Haack, sed non est Graecum, imo ex confusa vulgata γενομένης ἐπερωτήσεως et nostra scriptura ortum, quod docent C. B. Dan., in quibus γενομένων ἐπερωτήσεως exaratur, et Reg. (G.), in quo ν s. ϭ al. man.

Αὐτῶν om. D.

Βουλεύεσθαι. C. Reg. (G.) βουλεύσεσθαι.

Digitized by Google

παρέδοσαν καὶ σφᾶς αὐτούς. 4. καὶ ταύτην μὲν τὴν ἡμέραν καὶ τὴν ἐπιοῦσαν νύκτα ἐν φυλακῇ εἶχον αὐτοὺς οἱ Ἀθηναῖοι· τῇ δ' ὑστεραίᾳ οἱ μὲν Ἀθηναῖοι, τροπαῖον στήσαντες ἐν τῇ νήσῳ, τὰ ἄλλα διεσκευάζοντο ὡς ἐς πλοῦν, καὶ τοὺς ἄνδρας τοῖς τριηράρχοις διεδίδοσαν ἐς φυλακήν· οἱ δὲ Λακεδαιμόνιοι, κήρυκα πέμψαντες, τοὺς νεκροὺς διεκομίσαντο. 5. ἀπέθανον δ' ἐν τῇ νήσῳ καὶ ξῶντες ἐληφθησαν τεσσεράκοντα· εἴκοσι μὲν ὁπλῖται διέβησαν καὶ τετρακόσιοι οἱ πάντες· τούτων ζῶντες ἐκομίσθησαν ὀκτὼ ἀποδέοντες τριακόσιοι, οἱ δὲ ἄλλοι ἀπέθανον· καὶ Σπαρτιᾶται τούτων ἦσαν τῶν ζώντων περὶ εἴκοσι καὶ ἑκατόν. Ἀθηναίων δὲ οὐ πολλοὶ διεφθάρησαν· ἡ γὰρ μάχη οὐ σταδία ἦν.

(Χρόνος τῆς πολιορκίας καὶ θρέψις τῶν πολιορκουμένων. §. 1—3. ἑκάτεροι ἀναχωροῦσιν ἐπ' οἴκου.)

λθ'. Χρόνος δὲ ὁ ξύμπας ἐγένετο, ὅσον οἱ ἄνδρες οἱ ἐν τῇ νήσῳ ἐπολιορκήθησαν ἀπὸ τῆς ναυμαχίας μέχρι τῆς ἐν τῇ νήσῳ μάχης, ἑβδομήκοντα ἡμέραι καὶ δύο. 2. τούτων περὶ εἴκοσιν ἡμέρας, ἐν αἷς οἱ πρέσβεις περὶ

4. *Καὶ τὴν ἐπιοῦσαν νύκτα* om. Gr.

Τροπαῖον. Pal. *rursus τρόπαιον*. Cf. I. 1. p. 214.

Τὰ ἄλλα. Gr. *τἆλλα*, *fortasse recte*. Cf. I. 1. p. 215. Haeckio *τά τ' ἄλλα* placet.

Ὡς s. v. al. man. I.

Τριηράρχοις. Reg. (G.) D. Vind. Ar., Chr. Dan. *τριηράρχαις*. At vid. I. 1. p. 220.

Διεδίδοσαν. Cl. eod. Bas. Gr. *διίδοσαν*. D. I. *ἐδίδοσαν*. Sequitur vulgo punctum, apud Bekk. comma.

Διεκομίσαντο. Cod. Bas. *ἐκομίσ*. Sed quamquam dicimus *νη. ποσπόνδους κομίσασθαι τοὺς νεκρούς* (vid. Ind.), simplici *συν* hic compositum substitutum sit, apparet.

5. *Ἀπέθανον — διεφθάρησαν*, Dion. Hal. II, 142. [841. R.] WASS. Mosqu. *ὁπλῖται*.

Οἱ πάντες. *Οἱ* om. E. Mosqu. (At vid. Herm. ad Vig. p. 727.) *Οἱ πάντες — τριακόσιοι* ob praecedens *τετρακόσιοι* om. C. B., sed suppl. in marg.

Σπαρτιᾶται. Haack. Bekk. Goell. Vulgo *Σπαρτιάται*.

Περὶ om. Dion. Hal. l. d.

CAP. XXXIX. *Ὁ ξύμπας*. *Ὁ* om. Gr.

Οἱ ἐν. *Οἱ* om. F. cod. Bas.

Τῆς ναυμαχίας. *Τῆς* om. Gr.

Ἡμέραι. F. *ἡμέρας*.

2. *Τούτων* I. in marg. al. man. ante *τῶν π.* habere mire adnotat Gail.

Digitized by Google

τῶν σπονδῶν ἀπῄεσαν, ἐσιτοδοτοῦντο· τὰς δὲ ἄλλας τοῖς ἐςπλέουσι λάθρα διετρέφοντο. καὶ ἦν σῖτος ἐν τῇ νήσῳ, καὶ ἄλλα βρώματα ἐγκατελήφθη· ὁ γὰρ ἄρχων Ἐπιτάδας ἐνδεεστέρως ἑκάστῳ παρεῖχεν ἢ πρὸς τὴν ἐξουσίαν. 8. οἱ μὲν δὴ Ἀθηναῖοι καὶ οἱ Πελοποννήσιοι ἀνεχώρησαν τῷ στρατῷ ἐκ τῆς Πύλου ἑκάτεροι ἐπ' οἴκου, καὶ τοῦ Κλέωνος καίπερ μανιώδης οὖσα ἡ ὑπόσχεσις ἀπέβη· ἐντὸς γὰρ εἴκοσιν ἡμερῶν ἤγαγε τοὺς ἄνδρας, ὥςπερ ὑπέστη.

Ὀλ. πή. ἔτ. δ'. πρὸ Χρ. νκέ. Ἰουλ. τελευτ. ἢ Αὐγ. ἀρχομ.

(9. Τὰ ἐκ τῆς Πύλου αἱρέσεως γενόμενα. μ'. μα'. Γνώμη τῶν Ἑλλήνων περὶ τῶν πεπραγμένων.)

μ'. Παρὰ γνώμην τε δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον τοῦτο τοῖς Ἕλλησιν ἐγένετο. τοὺς γὰρ Λακεδαιμονίους οὔτε λιμῷ, οὔτ' ἀνάγκῃ οὐδεμιᾷ ἠξίουν τὰ ὅπλα

4. Ἢ πρὸς τὴν ἐξουσίαν] τὴν ἰδίαν δηλονότι. ἐξῆν γὰρ αὐτῷ καὶ πλείω παρέχειν, ὡς ἐγένετο δῆλον ἐκ τῶν εὑρεθέντων σιτίων. — 5. Ἀνεχώρησαν τῷ στρατῷ] σὺν παντὶ δηλονότι. (λ. Αὐγ.) — 7. Μανιώδης οὖσα ἡ ὑπόσχ.] ἀντὶ τοῦ [ἡ] περὶ τοῦ μέλλοντος προπετὴς † ἀπόφασις †. — 8. Ὥςπερ ὑπέστη] ὑπεσχέθη. (λ. Αὐγ.)

μ'. 9. Παρὰ γνώμην] ἀντὶ τοῦ παρὰ τὴν οἴησιν καὶ τὴν ὑπόνοιαν, καὶ παρὰ προςδοκίαν, διότι οὐδέποτε οὐδεὶς προςεδόκα οὐδεμιᾷ ἀνάγκῃ Λακεδαιμονίους εἴξαντας παραδοῦναι τὰ ὅπλα.

Ἐσιτοδοτοῦτο. Gr. B. D. I. E. m. Ald. Flor. Bas. Steph. 1. 2. ἐσιτοδοῦντο.

Ἐςπλέουσι. Mosqu. ἐμπλέουσι. Ar. Chr. Dan. ἐμπλέουσιν.

Λάθρα. Pal. λάθρᾳ.

Ἄλλα. Cl. Gr. τὰ ἄλλα.

Ἐγκατελήφθη Cass. Aug. Cl. Pal. B. D. E. Vind. m. Reisk. Haack. Bekk. Goell. Vulgo ἐγκατελείφθη, cui in Gr. ῆ ab emend. superscr. „Haec saepe [cf. script. discr. cap. 8.] permutantur, sed ἐγκατελήφθη hic non deterius vulgato. Et sic Scholiastes quoque videtur legisse; nam paulo post interpretatur τὰ εὑρεθέντα σιτία." DUK. D. ἐγκαταλείφθη.

Ἄρχων Ἐπιτάδας. I. ἄρχων καὶ Ἐπιτ.

Ἑκάστῳ παρεῖχεν. D. I. E. παρεῖχεν ἑκάστῳ.

8. Ἐκ τῆς Πύλου ἑκάτεροι. G. Reg. (G.) ἑκάτεροι ἐκ τ. Π. Statim post οἴκου punctum in comma primus mutavit Haack.

Καίπερ — ἀπέβη. „Thom. Mag. in μαίνομαι." WASS. Ἡ (ante ὑπόσχ.) s. v. habet G.

Ἤγαγε — ὑπέστη Thom. Mag. in ὑφίσταμαι. Cf. Phav. et adnot.

Cap. XL. Γνώμην τε. Τέ de Reg. (G.)

Δή de. D. I. E. m. Ar. Chr. Dan.

Κατά. Chr. μετά.

Τοῦτο. Gr. τοῦτον.

Γάρ. D. I. μὲν γάρ.

Οὐδεμιᾷ. Ar. Chr. οὐδὲ μιᾷ, et οὐδὲ etiam in Cass. fuerat, sed accentus deinde abrasus.

Digitized by Google

παραδοῦναι, ἀλλὰ ἔχοντες, καὶ μαχομένους ὡς ἐδύναντο, ἀπωθήσειαν. 2. ἀπιστοῦντές τε μὴ εἶναι τοὺς παραδόντας τοῖς τεθνεῶσιν ὁμοίους, καὶ τινος ἁρπάσαντος ποτὲ δεύτερον τῶν Ἀθηναίων ξυμμάχων δι' ἀχθηδόνα ἕνα τῶν ἐκ τῆς νήσου αἰχμαλώτων, εἰ οἱ τεθνεῶτες αὐτῶν καλοὶ κἀγαθοί, ἀπεκρίνατο αὐτῷ πολλοῦ ἂν ἄξιον εἶναι τὸν ἄνδρα τὸν, (λέγων τὸν οἰστὸν,) εἰ τοὺς ἀγαθοὺς διαγνώσεσθαι ὅπλωσιν ποιουμένους ὅτι ὁ ἐντυγχάνων τοῖς τε λίθοις καὶ τοξεύμασι διεφθείρετο.

(Βούλευμα Ἀθηναίων περὶ τῶν αἰχμαλώτων. Πύλον αὐτοί τε καὶ οἱ Μεσσήνιοι φυλάσσουσιν, οἱ δὲ Λακεδαιμόνιοι μάτην πρεσβεύονται παρ' αὐτούς.)

μα'. Κρισθέντων δὲ τῶν ἀνδρῶν, οἱ Ἀθηναῖοι ἐβού- 10
λευσαν δεσμοῖς μὲν αὐτοὺς φυλάσσειν, μέχρι οὗ τι ξυμβῶσιν· ἢν δ' οἱ Πελοποννήσιοι πρὸ τούτου ἐς τὴν γῆν

1. Ὡς ἐδύναντο] ἤγουν ἕως δύναμις περιῆν αὐτοῖς. (λ. Λύγ.) — 2. Ἀπιστοῦντές τε μὴ εἶναι] ἀπιστοῦντες, οἱ Ἀθηναῖοι· ἢ δ' ἀπόφασις περιττή. — Τοὺς παραδόντας] ἑαυτοὺς καὶ τὰ ὅπλα. — 4. Δι' ἀχθηδόνα] [διὰ λύπην. (λ. Λύγ.)] ἡ διάνοια· Ἀθηναίων σύμμαχός τις ἀχθόμενος, ἤτοι τοῖς Ἀθηναίοις ὡς φορτικῶς ἀρχουσιν, ἢ ἀχθόμενος ἐπὶ τῇ τῶν Λακεδαιμονίων συμφορᾷ, ἥρετο ἕνα τῶν ἐκ τῆς νήσου. — 6. Αὐτῷ] τῷ ἐρωτήσαντι. (λ. Λύγ.) — 8. Ὁ ἐντυγχάνων] ὁ τυχὼν, εἴτε * κακὸς * εἴτε ἀγαθός. (λ. Λύγ.)

μα'. 10. Τῶν ἀνδρῶν] τῶν αἰχμαλώτων. (λ. Λύγ.) — 12. Πρὸ τούτου] τοῦ συμβῆναι. (λ. Λύγ.)

2. Ἀπιστοῦντες. D. I. ἀπίστουν. Ante hoc verbum Haack. et Goell. colon posuerunt; nos cum Bekk. punctum retinuimus, sed id, quod vulgo (Haack. Goell.) post ὁμοίους legitur, cum eodem Bekk. in comma mutavimus. Vid. not.

Ποτὲ om. D. I.

Εἰ οἱ. C. εἰ οἱ. F. ἢ οἱ.

Τεθνεῶτες. F. Mosqu. τεθνηκότες. Utrumque habes cap. 88. I. τεθνεότες.

Καλοὶ om. It.

Κἀγαθοί. Cass. Aug. F. Mosqu. καὶ ἀγαθοί. Alterum redit VIII, 48.

Ἂν om. F. Mosqu. De ἄτερ ὄντος, quod Pollux I, 137. agnoscit, vid. not.

Λέγων. D. λέγω.

Οἰστόν. Bekk. in minn. ex t empll. rursus οἰστόν. Cf. II, 75.

Cap. XLI. Δεσμοῖς μέν. Μέν om. D.

Μέχρι cum Cass. Aug. Pal. H, C. G. Gr. m. et fortasse pluribus Haack. Bekk. Goell. Vulgo μέχρις. Cf. I. 1. p. 215.

Οὗ τι. Cass. Gr. οὕτοι.

Ἦν. D. I. εἰ.

Οἱ Πελοποννήσιοι. Οἱ om. Mosqu.

Digitized by Google

ἐξβάλλωσιν, ἐξαγαγόντες ἀποκτεῖναι. 2. τῆς δὲ Πύλου φυλακὴν κατεστήσαντο· καὶ οἱ ἐκ τῆς Ναυπάκτου Μεσσήνιοι, ὡς ἐς πατρίδα ταύτην (ἔστι γὰρ ἡ Πύλος τῆς Μεσσηνίδος ποτὲ οὔσης γῆς) πέμψαντες σφῶν αὐτῶν τοὺς ἐπιτηδειοτάτους, ἐλήϊζόν τε τὴν Λακωνικὴν, καὶ πλεῖστα ἔβλαπτον, ὁμόφωνοι ὄντες. 3. οἱ δὲ Λακεδαιμόνιοι, ἀμαθεῖς ὄντες ἐν τῷ πρὶν χρόνῳ λῃστείας καὶ τοιούτου πολέμου, τῶν τε Εἱλώτων αὐτομολούντων, καὶ φοβούμενοι μὴ καὶ ἐπὶ μακρότερον σφίσι τι νεωτερισθῇ τῶν κατὰ τὴν χώραν, οὐ ῥᾳδίως ἔφερον, ἀλλὰ, καίπερ οὐ βουλόμενοι ἔνδηλοι εἶναι τοῖς Ἀθηναίοις, ἐπρεσβεύοντο παρ' αὐτοὺς, καὶ ἐπειρῶντο τήν τε Πύλον καὶ τοὺς ἄνδρας κομίζεσθαι. 4. οἱ δὲ μειξόνων τε ὠρέγοντο, καὶ πολλάκις φοιτώντων, αὐτοὺς ἀπράκτους ἀπέπεμπον. ταῦτα μὲν τὰ περὶ Πύλον γενόμενα.

8. *Αὐτομολούντων*] *εἰς τὴν Πύλον.* (*λ. Αὐγ.*) — 13. *Πολλάκις φοιτώντων*] *τῶν πρέσβεων.* (*λ. Αὐγ.*)

Ἐξβάλλωσιν Cass. Aug. Pal. It. Vat. Vind. Bekk. Goell. Vulgo (et Haack.) *ἐσβάλωσιν.* Cod. Bas. Ar. *ἐμβάλωσιν.*

Ἐξαγαγόντες. E. *ἐξαγαγόντας.*

2. *Μεσσήνιοι.* Ar. Chr. rursus *Μεσήνιοι* et infra *Μεσηνίδος.* Cf. I. 2. p. 531. et Bekk. ad I, 101. Pal. *Μεσσινίδος.*

Ὡς ἐς. Ἐς om. Ar. Chr. Dan.

Γῆς om. Pal.

Ἐλήϊζόν τε. Cod. Bas. D. Dan. *ἐληΐζοντό τε.* „Vid. ad III, 85., ubi itidem quidam mss. *ἐληΐζοντο.*" DUK. Mosqu. Ar. Chr. *ἐλήϊζον τότε.* Aug. quidem *ἐλήϊζόντε*, sed *το* add. man. 2.

Ὁμόφωνοι ὄντες om. Ar. Chr. Dan. „Possint videri a studioso quodam adscripta e cap. 3. huius libri. Sed non est recedendum a scriptura meliorum mss. consensu confirmata. Nam ipse Thucydides verba illa hic ob eandem causam repetere potuit, ob quam ea supra addiderat." DUK.

3. Ἀμαθεῖς. Marg. Steph. *ἀπαθεῖς*, quod praeter necessitatem commendat Heilmann.

Τοιούτου. Vulgo *τοῦ τοιούτου*, sed *τοῦ* om. Cass. (in quo tamen int. vers. script.) Aug. It. Vat. H. Bekk. Goell. Cf. not. ad II, 41.

Τῶν τε. Mosqu. *τῶν γε.*

Εἱλώτων. Cass. Aug. *Εἱλώτων*, et sic plerumque. Cf. adnot. ad I, 101.

Τῶν κατά. Τῶν om. C. I. E.

Τὴν χώραν. Τὴν om. Mosqu.

Καίπερ οὐ. Pal. *καίπερ οἱ.*

Βουλόμενοι. F. *βουλόμενον.* E. *βολόμενοι.*

Ἔνδηλοι. Mosqu. *ἔνδηλον*, et ita Vallam, *quanquam id occultum esse volebant Atheniensibus* interpretatum, legisse videri adnotat Steph. F. *εὔδηλον.* Pal. *εὔδηλοι.*

Παρ' αὐτούς. E. *πρὸς αὐτούς.*

4. Ὠρέγοντο. Literam *γ* B. om. videtur.

Πύλον. Reg. D. I. *τὴν Π.*

Digitized by Google

(10. Ἀθηναίων στρατεία ἐς τὴν Κορινθίαν. μβ' — μέ. Νικίου ἐς τὸν ἐπὶ Σολύγειᾳ αἰγιαλὸν κατασχόντος Κορινθίοι βοηθοῦσι.)

Ol. πή. ἔτ. δ'. πρὸ Χρ. νέ. Ἀνθ. μην.

μβ'. Τοῦ δ' αὐτοῦ θέρους μετὰ ταῦτα εὐθὺς Ἀθηναῖοι ἐς τὴν Κορινθίαν ἐστράτευσαν ναυσὶν ὀγδοήκοντα, καὶ διχιλίοις ὁπλίταις ἑαυτῶν, καὶ ἐν ἱππαγωγοῖς ναυσὶ διακοσίοις ἱππεῦσιν· ἠκολούθουν δὲ καὶ τῶν ξυμμάχων Μιλήσιοι, καὶ Ἄνδριοι, καὶ Καρύστιοι· ἐστρατήγει δὲ Νικίας ὁ Νικηράτου, τρίτος αὐτός. 2. πλέοντες δὲ ἅμα ἕῳ, ἔσχον μεταξὺ Χερσονήσου τε καὶ Ῥείτου ἐς τὸν αἰγιαλὸν τοῦ χωρίου ὑπὲρ οὗ ὁ Σολύγειος λόφος ἐστίν· ἐφ' ὃν Δωριῆς τὸ πάλαι ἱδρυθέντες, τοῖς ἐν τῇ πόλει 264. Κορινθίοις ἐπολέμουν, οὖσιν Αἰολεῦσι· καὶ κώμη νῦν 10 ἐπ' αὐτοῦ Σολύγεια καλουμένη ἐστίν· ἀπὸ δὲ τοῦ αἰγιαλοῦ τούτου, ἔνθα αἱ νῆες κατέσχον, ἡ μὲν κώμη αὕτη δώδεκα σταδίους ἀπέχει, ἡ δὲ Κορινθίων πόλις ἑξήκοντα,

μβ'. 7. Ἔσχον] προσέσχον, [† ἐλλιμένισαν †. (Βασ.)] (λ. Ἀνγ.) — 9. Ἐφ' ὃν Δωριεῖς τοπάλαι ἱδρυνθέντες] ἅτι τὰ παλαιὰν πρὸ τῶν Δωριέων Αἰολεῖς εἶχον τὴν Κόρινθον. — 11. Ἐπ' αὐτοῦ] ἀντὶ τοῦ ἐπάνω αὐτοῦ, τοῦ λόφου.

Cap. XLII. Τοῦ. C. αὖ.

Μετὰ ταῦτα εὐθύς. F. εὐθὺς μετὰ ταῦτα.

Ἀθηναῖοι. Mosqu. οἱ Ἀθην.

Κορινθίαν. Gr. B. Ar. Chr. Dan. Ald. Flor. ed. Bas. (non cod. Bas.) Steph. 1. marg. Steph. 2. Κόρινθον. Mosqu. Κορινθίων.

Ναυσί om B.

Διακοσίοις ἱππεῦσιν. C. Reg. (G.) ἱππεῦσιν διακοσίοις (et antea ναυσίν).

Δέ. Gr. δή. Post Καρύστιοι vulgo punctum ponitur, apud Bekk. comma.

2. Πλέοντες. Mosqu. πλέοντας.

Χερσονήσου. H. Χερσοννήσου, sicut nunc legitur Herodot. IV, 12. F. D. I. Χερονήσου. Ar. Chr. Χερρονήσου. Cf. I. 1. p. 210.

Ῥείτου. Gr. D. I. E. Vind. m. (hic ex correct.) Ῥήτου. At vid. I. 2. p. 230. et 255.

Σολύγειος. Ob sequ. Σολύγεια ex Steph. Byz. cum Goell. recepimus. Libri (Haack. Bekk.) Σολύγιος. Cf. I. 2. p. 230.

Ἐφ'. C. D. ὑφ'.

Ὃν. Cass. Aug. Mosqu. (C? D?) οὗ. At vid. adnot. ad I, 136. Gr. ὧν.

Δωριῆς Pal. (rec. tamen man. Δωριεῖς,) Bekk. Goell. Vulgo Δωριῆς, plerique libri Δωριεῖς. Cf. I, 1. p. 221. et Farr. discr. script.

Ἱδρυθέντες. Pal. et cap. Schol. ἱδρυνθέντες. At vid. ad I, 131.

Οὖσιν om. F. Mox bis cola punctis substituimus.

Ἐστίν de. Ar. Chr. Dan. Pro Σολύγεια Pal. Ὀλυγέα.

Ἀπὸ δὲ — κώμη de. Ar. Chr. Dan. Sed ἀπὸ δὲ — κατέσχον agnoscit „Thom. Mag. in κατέσχον, ubi excidit ἔνθα." DUK. Ἔνθα nunc apud Thom. ex mss. additum.

Digitized by Google

δ δὲ ἰσθμὸς † εἴκοσι †. 3. Κορίνθιοι δὲ, προπυθόμενοι ἐξ Ἄργους ὅτι ἡ στρατιὰ ἥξει τῶν Ἀθηναίων ἐκ πλείονος, ἐβοήθησαν ἐς ἰσθμὸν πάντες, πλὴν τῶν ἔξω ἰσθμοῦ· καὶ ἐν Ἀμπρακίᾳ καὶ ἐν Λευκαδίᾳ ἀπῆσαν αὐτῶν πεντακόσιοι φρουροί· οἱ δ' ἄλλοι παυδημεὶ ἐπετήρουν τοὺς Ἀθηναίους, οἳ κατασχήσουσιν. 4. ὡς δὲ αὐτοὺς ἔλαθον νυκτὸς κατάπλεύσαντες, καὶ τὰ σημεῖα αὐτοῖς ἤρθη, καταλιπόντες τοὺς ἡμίσεις αὐτῶν ἐν Κεγχρειᾷ ἦν ἄρα οἱ Ἀθηναῖοι ἐπὶ τὸν Κρομμυῶνα ἴωσιν, ἐβοήθουν κατὰ τάχος.

3. *Πλὴν τῶν ἔξω ἰσθμοῦ*] ἀντὶ τοῦ ἐκτὸς ἐκείνων τῶν Κορινθίων, ἐξ ὧν ἀπῆσαν εἰς βοήθειαν τοῖς συμμάχοις αὐτῶν τοῖς σὺν αὐτοῖς ἐκτὸς τοῦ ἰσθμοῦ· εἶτα ἐπάγει ποίοις. — 5. *Φρουροί*] ἰσάριθμοι δηλονότι. (λ. Αὐγ.) — 6. *Οἳ κατασχήσουσιν*] ἐλλιμενίσουσιν. (λ. Αὐγ.) ὅπου προσελεύσονται αὐτοί, οἱ Ἀθηναῖοι. — 7. *Τὰ σημεῖα αὐτοῖς ἤρθη*] αὐτοῖς, φησί, τοῖς Κορινθίοις ἤρθη τὰ σημεῖα παρὰ τῶν φίλων αὐτῶν τῶν ἐν τῇ χώρᾳ, σημαινόντων αὐτοῖς ὅτι πολέμιοι ἐπῆλθον· δεῖ δὲ προσνεκαοῦσαι τὸ ἡμέρας γενομένης.

Εἴκοσι. „Palmer. legit εἴκοσι καὶ ἑκατόν. Abr. 419.“ GOTTL. Qui numerus etsi iusto maior est, tamen ne vulgaris quidem probari potest, si situm locorum in Mülleri tabula Peloponnesi recte designatum putamus. Quo modo tamen nobis statuendum videatur, lege I. 2. p. 231.

3. *Κορίνθιοι δὲ προπυθόμενοι* Cass. Aug. Pal. It. Vat. H. F. C. Reg. (G.) cod. Bas. Gr. D. I. E. Mosqu. m. Ar. Dan. Haack. Bekk. Goell. In Chr. *Κορίνθιοι δὲ πυθόμενοι.* Vulgo *προπυθόμενοι δὲ Κορίνθιοι.*

Ἐκ πλείονος. „Potest etiam ad praecedens participium *προπυθόμενοι* referri.“ STEPH. Secuti sunt Bekk. et Goell. Cf. not. Repugnat tamen collocatio verborum, ob quam virgulam vulgo (et apud Haack.) ante ἐκ πλείονος ponitur.

Ἐν Ἀμπρακίᾳ. Ἐν de Dan.

Ἀπῆσαν. Bekkerus (et Goell.) tacite invitis omnibus libris ἀπῆσαν scripsit. Adi vid. I. 1. p. 178. et ad Xen. Anab. IV, 7, 17.

Ἐπετήρουν — οἳ κατασχήσουσι. „Thom. Mag. l. d. ἢ κατάσχῃ. Haec etiam alibi permutantur. Vid. ad I, 136.“ DUK.

4. *Αὐτῶν* Cass. Aug. Cl. F. Pal. Reg. (G.) Gr. m. Ar. Chr. et haud dubie plures pro vulg. (Haack. Bekk. Goell.) *αὐτοῦ.* Cf. Farr. discr. script. (ubi ex hoc loco Bar. et vett. edd. male addidi.) De *ἡμίσεις* cf. ad VIII, 64.

Κεγχρειᾷ. Pal. *Κεγχρεία.* B. *Κεχρειᾳ.* Mosqu. *Κεγχριᾷ.* „*Κεγχρεαί* Ptolemaeo et Stephano, *Κεγχρεαῖ* Straboni et Pausaniae.“ HUDS. Cf. I. 2. p. 229. et Goettl. de Accent. p. 42. ed. 3.

Κρομμυῶνα Aug. (sed hic a man. 2.) Reg. Mosqu. qui duo ita etiam c. 44. et 45., ubi accedit Gr. et c. 45. etiam Cl. Quibus ob alios scriptores parendum erat. Cf. I. 2. p. 231. Vulgo (Haack. Bekk. Goell.) *Κρομμύωνα.*

Digitized by Google

(Γίγνεται μάχη καρτερά.)

μγ'. Καὶ Βάττος μὲν ὁ ἕτερος τῶν στρατηγῶν, (δύο γὰρ ἦσαν ἐν τῇ μάχῃ οἱ παρόντες,) λαβὼν λόχον, ἦλθεν ἐπὶ τὴν Σολύγειαν κώμην, φυλάξων ἀτείχιστον οὖσαν· Δυκόφρων δὲ τοῖς ἄλλοις * ξυνέβαλε *. 2. καὶ πρῶτον μὲν τῷ δεξιῷ κέρᾳ τῶν Ἀθηναίων εὐθὺς ἀποβεβηκότι πρὸ τῆς Χερσονήσου οἱ Κορίνθιοι ἐπέκειντο, ἔπειτα δὲ καὶ τῷ ἄλλῳ στρατεύματι. καὶ ἦν ἡ μάχη καρτερὰ, καὶ ἐν χερσὶ πᾶσα. 3. καὶ τὸ μὲν δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ Καρυστίων (οὗτοι γὰρ παρατεταγμένοι ἦσαν ἔσχατοι) ἐδέξαντό τε τοὺς Κορινθίους, καὶ ἐώσαντο μόλις· οἱ δὲ, ὑποχωρήσαντες πρὸς αἵμασιὰν, (ἦν γὰρ τὸ χωρίον πρόσαντες πᾶν,) βάλλοντες τοῖς λίθοις καθύπερ-

μγ'. 4. Τοῖς ἄλλοις] σὺν τοῖς ἄλλοις Ἀθηναίοις. (λ. Κασσ. Ἀνγ.) — 7. Τῷ ἄλλῳ στρατεύματι] τῶν Ἀθηναίων. (λ. Ἀνγ.) — 10. † Καὶ ἐώσαντο μόλις] τῶν Κορινθίων † δηλονότι. (λ. Ἀνγ.) —

Cap. XLIII. *Βάττος.* D. *Βάτος.*

Σολύγειαν. C. *Λοσύγειαν.* Pal. *Σολυγίαν.* E. *Σολύγειον.*

Φυλάξων. G. *φυλάσσων*, cum $\overline{\xi}$ s. $\overline{\sigma\sigma}$.

Ξυνέβαλε. Cass. Aug. Pal. It. Vat. H. *ξυνέβαλλεν*, unde Bekk. in minn. exempll. *ξυνέβαλεν* scripsit. Sed etiam imperfectum defendi posse existimamus.

2. *Πρῶτον* Cass. Aug. It. Vat. C. Reg. Mosqu. Bekk. Goell. Vulgo *πρῶτα*, cui nostrum etiam Haackius praeferendum putabat.

Ἀθηναίων. Cl. *Ἀθηναίων καὶ Καρυστίων*, ex seqq.

Πρό. Ar. Chr. *πρός.*

Χερσονήσου Haack. Bekk. Goell. Vulgo *Χεῤῥονήσου.* Cass. *Χερονήσου.* Cf. c. 42, 2. Omnia verba autem *πρὸ τῆς Χερσ.* utrum, ut vulgo, ubi virgulae ante *εὐθύς* et *οἱ Κορ.* leguntur, fit, cum *ἀποβεβηκότι* an cum *ἐπέκειντο* cohaereant, utique quaeritur. Saltem *εὐθύς* non cum *πρό* sic iungendum, ut significet *recta.* Vid. ad VIII, 68.

3. *Τὸ μὲν δεξιὸν κέρας.* *Μέν* a. v. al. man. habet E. Ex B. C. *τῷ δεξιῷ κέρᾳ* profert Gail., nisi haec ad §. 2. pertinent.

Παρατεταγμένοι. Ar. Chr. *παρατεταμένοι.*

Ἐδέξαντό τε. *Τέ* om. Mosqu.

Ἐώσαντο. Cl. *ἐσώσαντο.* Pal. *ἐῤῥωσαντο.*

Ὑποχωρήσαντες Cass. Aug. Cl. Vat. H. F. C. Reg. (G.) Gr. B. D. I. E. Vind. Haack. Bekk. Goell. Vulgo *ὑπερχωρήσαντες.* „*Ὑπερχωρεῖν* vix alibi invenitur. [Dele igitur in Lexic.]“ WASS. „*Ὑποχωρήσαντες*, quod habent meliores notae codices, confirmatur e cap. sequ. *καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον.*“ DUK.

Πρός. D. *ἐς.*

Digitized by Google

θεν ὄντες, καὶ παιωνίσαντες, ἐπῄεσαν αὖθις. δεξαμένων δὲ τῶν Ἀθηναίων, ἐν χερσὶν ἦν πάλιν ἡ μάχη. 4. λόχος δέ τις τῶν Κορινθίων, ἐπιβοηθήσας τῷ εὐωνύμῳ κέρᾳ ἑαυτῶν, ἔτρεψε τῶν Ἀθηναίων τὸ δεξιὸν κέρας, καὶ ἐπεδίωξεν ἐς τὴν θάλασσαν. πάλιν δὲ ἀπὸ τῶν νεῶν ἀνέστρεψαν οἵ τε Ἀθηναῖοι καὶ οἱ Καρύστιοι. 5. τὸ δὲ ἄλλο στρατόπεδον ἀμφοτέρωθεν ἐμάχετο ξυνεχῶς, μάλιστα δὲ τὸ δεξιὸν κέρας τῶν Κορινθίων, ἐφ' ᾧ ὁ Λυκόφρων ὢν κατὰ τὸ εὐώνυμον τῶν Ἀθηναίων ἠμύνετο· ἤλπιζον γὰρ αὐτοὺς ἐπὶ τὴν Σολύγειαν κώμην πειράσειν.

1. *Παιωνίσαντες*] ἀλαλάζοντες. (*Κασσ.*) δύο παιᾶνες ἦσαν, Ἐνυάλιος, ὅτε ἦρχον, ὃς καὶ πρὸ τῆς μάχης ἐγίγνετο, καὶ ἕτερος, ὅτε ἐνίκων. — 3. ** *Τῷ εὐωνύμῳ*] οἱονεὶ τῷ ἡττημένῳ. (*Αὐγ.*). — 6. *Τὸ δὲ ἄλλο στρατόπεδον*] τὸ δεξιὸν κέρας τῶν Κορινθίων καὶ τὸ εὐώνυμον τῶν Ἀθηναίων. — 10. *Ἤλπιζον γάρ*] οἱ Κορίνθιοι. (*λ. Αὐγ.*) — *Πειράσειν*] προσυπακουστέον τὸ ἐλθεῖν. (*λ. Αὐγ.*)

Παιωνίσαντες. Aug. cod. Bas. Ar. Chr. *παιανίσαντες*, sed Aug. ω̄ mutato in ᾱ. „Vid. ad I, 50." DUK. et I. 1. p. 212. Mosqu. *παιανίταις*.

Ἐπῄεσαν. Pal. Ald. Flor. ed. Bas. (non cod. Bas.) Steph. 1. marg. Steph. 2. *ἐπέβησαν*. Post *αὖθις* vulgo punctum exstat, apud Bekk. comma.

Ἦν πάλιν Cass. Aug. F. It. Vat. Gr. D. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Goell. Vulgo *πάλιν ἦν*, et nihilominus antea *χερσίν* (C. G. *χερσί*). Reg. teste Duk. *πάλιν οὖν*, sed potius *πάλιν αὖ*, ex G. testante Gail.

4. *Λόχος.* F. *λόχιος*. Pal. *λόγος*, corr. rec. man.

Ἐπιβοηθήσας. Cass. Aug. Pal. It. Vat. H. *ἐπιβοήσας*, atque etiam I. θη s. v. al. man. idemque in m. notatum. Sic I, 105. vulgo *ἐκβοήσαντες* pro vero *ἐκβοηθήσαντες*.

Κέρα. I. in marg. al. man. *κέρω*.

Ἑαυτῶν. Aug. F. It. *ἑαυτῷ*. Pal. *αὐτῷ*.

Ἔτρεψε. Vind. *ἔστρεψε*.

Ἀνέστρεψαν. C. G. *ἀνέστραψαν*. H. Vat. *ἀντέστρεψαν*. D. *ἀνέτρεψαν*.

Οἱ Καρύστιοι. Οἱ om. Mosqu. Cf. adnot. ad I, 71.

5. *Ξυνεχῶς.* Libri tam scripti quam editi omnes *συνεχῶς*. At vid. I. 1. p. 209. cum Farr. discr. script. et Ind. in h. v.

Κέρας de. Ar. Chr. Dan.

Σολύγειαν. Cod. Bas. D. E. *Σολύγειον*, sicut E. iam. §. 1.

Πειράσειν. „Reisk. *περάσειν*, quod ita dici non credit *πειρᾷν*; nam construitur cum gen. [vid. not. ad I, 61. et VII, 12.]" GOTTL. „Expl. ut *φυλάσσειν περὶ χώραν*, i. e. *φυλακὴν ποιεῖσθαι*· ita hic *πεῖραν ποιήσεσθαι*." BAUER. Cf. I, 1. p. 293.

Digitized by Google

(Οἱ Ἀθηναῖοι νικῶσι μὲν, αἰσθόμενοι δὲ πλείους βοηθοῦντας, ἐς τὰς ἐγγὺς ἡσσῶνται διαβαίνουσι.)

μδ'. Χρόνον μὲν οὖν πολὺν ἀντεῖχον, οὐκ ἐνδιδόντες ἀλλήλοις· ἔπειτα (ἦσαν γὰρ τοῖς Ἀθηναίοις οἱ ἱππῆς ὠφέλιμοι ξυμμαχόμενοι, τῶν ἑπέρων οὐκ ἐχόντων ἵππους,) ἐτρέποντο οἱ Κορίνθιοι, καὶ ὑπεχώρησαν πρὸς τὸν λόφον, καὶ ἔθεντο τὰ ὅπλα, καὶ οὐκέτι κατέβαινον, ἀλλ' ἡσύχαζον. 2. ἐν δὲ τῇ προσῃ ταύτῃ κατὰ τὸ δεξιὸν κέρας οἱ πλεῖστοί τε αὐτῶν ἀπέθανον, καὶ Αὐκόφρων ὁ στρατηγός. ἡ δὲ ἄλλη στρατιὰ τούτῳ τῷ τρόπῳ, οὐ κατὰ δίωξιν πολλὴν, οὐδὲ ταχείας φυγῆς γενομένης, ἐπεὶ ἐβιάσθη, ἐπαναχωρήσασα πρὸς τὰ μετέωρα ἱδρύθη. 3. οἱ δὲ Ἀθηναῖοι, ὡς οὐκέτι αὐτοῖς ἐπῆεσαν ἐς μάχην, τούς τε νεκροὺς ἐσκύλευον, καὶ τοὺς ἑαυτῶν.

μδ'. 3. *Τῶν ἑτέρων*] τῶν Κορινθίων. (λ. Αὐγ.) — 5. *Ἔθεντο τὰ ὅπλα*] ἀπέθεντο. (λ. Αὐγ.) — 7. *Αὐτῶν*] τῶν Κορινθίων. — 8. *Ὁ στρατηγός*] τῶν Κορινθίων δηλονότι. (λ. Αὐγ.) — *Ἡ δὲ ἄλλη στρατιά*] τὸ δεξιὸν κέρας τῶν Ἀθηναίων καὶ τὸ ἀριστερὸν τῶν Κορινθίων. — *Τούτῳ τῷ τρόπῳ*] τῆς ἀναχωρήσεως δηλονότι. (λ. Αὐγ.) — 9. *Οὐ κατὰ δίωξιν πολλὴν*] οὐ φεύγοντες ταχέως, διωκόντων τῶν Ἀθηναίων. (λ. Αὐγ.)

CAP. XLIV. *Ἐνδιδόντες* Mosqu. ἐνδόντες.

Ἦσαν γάρ. F. γὰρ ἦσαν.

Οἱ ἱππῆς. Οἱ om. D. I. E. m. Ar. Chr. Dan. At respicitur ad 42, 1. *Ἱππῆς* Pal. Bekk. Goell. Vulgo *ἱππεῖς*. Aug. *ἱππῆς*. Cf. I. 1. p. 221. cum Farr. discr. script.

Ὠφέλιμοι. Reg. (G.) *ὠφελόμενοι.*

Τὰ ὅπλα. Τὰ om. G. (?)

2. *Αὐτῶν ἀπέθανον* Cass. Aug. F. Pal. It. Vat. Reg. (G.) cod. Bas. Gr. D. E. m. Dan. Haack. Bekk. Goell. Vulgo *ἀπέθανον αὐτῶν*. Mosqu. *αὐτῶν* om.

Τρόπῳ. Inepte post hoc nomen vulgo colon poni iam Abresch. sensit. Comma substituit Haack., ne hoc quidem hic et post *πολλὴν* habent Bekk. et Goell. Verba *τούτῳ τῷ τρόπῳ* non transtulit Valla.

Πρός. C. Reg. (G.) *ἐς.*

Ἱδρύθη. Pal. *ἱδρύνθη*, ut 42, 2, ubi vid. I. *ἱδρύσθη*.

3. *Ὡς* de. Gr. Chr.

Ἐπῆεσαν. E. *ἀπῆεσαν.*

Τούς τε νεκρούς. Vulgo *τούς τε ἀλλοτρίους νεκρούς*, sed *ἀλλοτρ.* om. Cass. Aug. Cl. Pal. It. Vat. F. C. Reg. (G.) Gr. B. D. I. E. Vind. m. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Goell. „Abresch. suppositiţium habet *ἀλλοτρίους*. — Ita in sqq. [§. 5.] et V, 74. [*τοὺς νεκροὺς ἐσκύλευον καὶ τοὺς αὐτῶν ἀνείλοντο*· quanquam IV, 97. legimus *τούς τε ἑαυτῶν ἀνελόμενοι νεκρούς, τούς τε τῶν πολεμίων σκυλεύσαντες.*]" GOTTL.

Ἐσκύλευον. Ar. *ἐσκύλευσαν.*

Digitized by Google

ἀνηροῦντο, τροπαῖόν τε εὐθέως ἔστησαν. 4. τοῖς δ' ἡλίσεσι τῶν Κορινθίων, οἳ ἐν τῇ Κεγχρειᾷ ἐκάθηντο φύλακες, μὴ ἐπὶ τὸν Κρομμυῶνα πλεύσωσι, τούτοις οὐ κατάδηλος ἡ μάχη ἦν ὑπὸ τοῦ ὄρους τοῦ Ὀνείου· κονιορτὸν δὲ ὡς εἶδον, καὶ ὡς ἔγνωσαν, ἐβοήθουν εὐθύς. ἐβοήθησαν δὲ καὶ οἱ ἐκ τῆς πόλεως πρεσβύτεροι τῶν Κορινθίων, αἰσθόμενοι τὸ γεγενημένον. 5. ἰδόντες δὲ οἱ Ἀθηναῖοι ξύμπαντας [αὐτοὺς] ἐπιόντας, καὶ νομίσαντες τῶν ἐγγὺς ἀστυγειτόνων Πελοποννησίων βοήθειαν ἐπιέναι, ἀνεχώρουν κατὰ τάχος ἐπὶ τὰς ναῦς, ἔχοντες τὰ σκυλεύματα καὶ τοὺς ἑαυτῶν νεκροὺς, πλὴν δυοῖν, οὓς ἐγκατέλιπον, οὐ δυνάμενοι εὑρεῖν. 6. καὶ ἀναβάντες ἐπὶ τὰς ναῦς, ἐπεραιώθησαν ἐς τὰς ἐπικειμένας νήσους· ἐκ δ' αὐτῶν ἐπικηρυκευσάμενοι, τοὺς νεκροὺς, οὓς ἐγκατέλιπον, ὑποσπόνδους ἀνείλοντο· ἀπέθανον δὲ Κορινθίων μὲν ἐν τῇ μάχῃ δώδεκα καὶ διακόσιοι, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους πεντήκοντα.

5. Ἐβοήθουν] ἔτρεχον εἰς βοήθειαν. (λ. Λύγ.)

Τροπαῖόν τε. Pal. Gr. τρόπαιόν τε. Cf. I. 1. p. 214. Punctum ante haec cum Bekk. in comma mutavimus.

Εὐθέως. Gr. εὐθύς. Nostrum apud Thuc. rarissimum legitur tamen VIII, 74.

4. Κεγχρειᾷ. C. Κεγχρίᾳ. Pal. Κεγχρείᾳ. Cf. 42, 4.

Κρομμυῶνα. De accentu vid. ad 42, 4.

Ὡς ἔγνωσαν. Ὡς (non, ut Bekk. tradit, praecedens καί) om. F. D. E. Mosqu. m. Ar. Chr. Dan. „Cur repetiit ὡς? Nempe ne ἔγνωσαν referretur ad κονιορτόν, sed nova sententia inciperet [*ubi pulverem conspexerunt, et rem cognoverunt* STEPH.]" BAUER.

Εὐθύς. D. αὐτοῖς.

Ἐβοήθησαν. B. ἐβόησαν.

Οἱ ἐκ. Οἱ om. F.

5. Αὐτούς. om. Aug. Gr., et potest utique ei suspectum esse, qui, quoties temere inculcatum sit, meminerit.

Δυοῖν. „Δυεῖν [ex Aug. Ar. Chr. et fortasse E, de quo tacet Gail.] reposui pro δυοῖν." WASS. „Vid ad c. 47." DUK. Δυοῖν ex reliquis libris omnibus iure revocarunt Haack. Bekk. Goell. Cf. I. 1. p. 224.

Ἐγκατέλιπον. D. ἐγκατέλειπον.

Οὐ δυνάμενοι Cass. Aug. Cl. Pal. It. Vat. H. F. C. Reg. (G.) Gr. D. I. E. Mosqu. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo μὴ δυνάμ.

6. Ἀπέθανον δέ. D. ἀπέθανόν (nisi hic Gailii typothetarum error est) μέν.

Digitized by Google

(Οἱ Ἀθηναῖοι ἐς Κρομμυῶνα, ἐντεῦθεν δὲ ἐς Μεθώνην πλέουσιν, ὅπου τὸν ἰσθμὸν τειχίσαντες φρούριον καταλείπουσιν.)

μέ. Ἄραντες δὲ ἐκ τῶν νήσων οἱ Ἀθηναῖοι, ἔπλευσαν αὐθημερὸν ἐς Κρομμυῶνα τῆς Κορινθίας· (ἀπέχει δὲ τῆς πόλεως εἴκοσι καὶ ἑκατὸν σταδίους·) καὶ καθορμισάμενοι τήν τε γῆν ἐδῄωσαν, καὶ τὴν νύκτα ηὐλίσαντο. 2. τῇ δ' ὑστεραίᾳ παραπλεύσαντες ἐς τὴν Ἐπιδαυρίαν πρῶτον, καὶ ἀπόβασίν τινα ποιησάμενοι, ἀφίκοντο ἐς Μεθώνην τὴν μεταξὺ Ἐπιδαύρου καὶ Τροιζῆνος· καὶ ἀπολαβόντες τὸν τῆς Χερσονήσου ἰσθμὸν, ἐτείχισαν, ἐν ᾧ ἡ Μεθώνη ἐστὶ, καὶ φρούριον κατασκευάσαντες, ἐλῄστευον τὸν ἔπειτα χρόνον τήν τε Τροιζηνίαν γῆν, καὶ Ἁλιάδα, καὶ Ἐπιδαυρίαν. ταῖς δὲ ναυσὶν, ἐπειδὴ ἐξετείχισαν τὸ χωρίον, ἀπέπλευσαν ἐπ' οἶκον.

(11. Ἐν Κερκύρᾳ λῆψις καὶ φόνος τῶν τὴν Ἰσθμὸν κατεχόντων φυγάδων. μέ — μή. Εὐρυμέδων καὶ Σοφοκλῆς Ἰσθμὸν αἱροῦσι. ξυνθῆκαι πρὸς τοὺς φυγάδας. τέχνασμα τῶν προστατῶν τῶν Κερκυραίων.)

μέ. Κατὰ δὲ τὸν αὐτὸν χρόνον [,ὃν] ταῦτα ἐγίγνε-

μέ. 8. Ἀπολαβόντες] περικυκλώσαντες. (λ. Αὐγ.) — 11. Ἐξετείχισαν τ. χ.] εἰς τέλος ἤγαγον τὸ τεῖχος ταῦ χωρίου. (λ. Αὐγ.)

Cap. XLV. Ἄραντες. Pal. ἄραντες. Cf. de Art. crit. p. 50.

Αὐθημερόν. Mosqu. αὐθημερῶν.

Ἐς. E. m. Ar. Chr. Dan. ἐπί. Vind. ἐς ἐπί.

Κρομμυῶνα. De accentu vid. ad 42, 4. „Κρομμυῶνα Strabo IX. p. 390." WASS. Mox vulgo post Κορ. et σταδ. punctum, post σταδίους comma ponitur. Bekk. et Goell. ibi colon, post σταδ. punctum collocarunt. Nos cum Haack. utroque loco colon admisimus, qua re orta est parenthesis, cuius verba omnia om. Pal.

2. Παραπλεύσαντες. Mosqu. περιπλεύσ.

Μεθώνην. De urbis nomine cf. I. 2. p. 220.

Ἐπιδαύρου. D. Ἐπιδαυρίου.

Τροιζῆνος. Cass. a prim. man. (deinde Τροιζῆνος emendat.) Aug. Pal. Vat. Gr. Ar. Chr. Dan. Ald. Flor. Bas. Τροίζηνος. Cf. script. discr. ad I, 115. Post hoc nomen autem punctum in comma mutavit Bekk., quod post ἐστὶ fecit etiam Haack.

Ἀπολαβόντες. C. ἀποβάντες.

Χερσονήσου Haack. Bekk. Goell. Vulgo Χερρονήσου. Cass. F. Χερονήσου. Cf. 42, 2. 43, 2.

Ἁλιάδα. I. Ἀλίδα. At vid. II, 56. et I. 2. p. 221.

Cap. XLVI. Χρόνον, ὃν ταῦτα. Vulgo (et Haack.) χρόνον,

Digitized by Google

τα, καὶ Εὐρυμέδων καὶ Σοφοκλῆς, ἐπειδὴ ἐπὶ τῷ Πύλου ἄπραν ἐς τὴν Σικελίαν ναυσὶν Ἀθηναίων, ἀφικόμενοι ἐς Κέρκυραν, ἐστράτευσαν μετὰ τῶν ἐκ τῆς πόλεως ἐπὶ τοὺς ἐν τῷ ὄρει τῆς Ἰστώνης Κερκυραίων κα-
5 θιδρυμένους, οἳ τότε μετὰ τὴν στάσιν διαβάντες ἐκράτουν τε τῆς γῆς, καὶ πολλὰ ἔβλαπτον. 2. προσβαλόντες δὲ, τὸ μὲν τείχισμα εἷλον· οἱ δὲ ἄνδρες κατακεφευγότες ἀθρόοι πρὸς μετέωρόν τι, ξυνέβησαν ὥστε τοὺς μὲν ἐπικούρους παραδοῦναι, περὶ δὲ σφῶν τὰ ὅπλα παρα-
10 δόντων τὸν Ἀθηναίων δῆμον διαγνῶναι. 3. καὶ αὐτοὺς ἐς τὴν νῆσον οἱ στρατηγοὶ τὴν Πτυχίαν ἐς φυλακὴν διεκόμισαν ὑποσπόνδους, μέχρι οὗ Ἀθήναζε πεμφθῶσιν, ὥστε, ἐάν τις ἀλῷ ἀποδιδράσκων, ἅπασι λελύσθαι τὰς σπονδάς. 4. οἱ δὲ τοῦ δήμου προστάται τῶν Κερκυ-

Βιβλ. β'. κεφ. πέ'.

266.

μς'. 7. Τὸ μὲν τείχισμα] τὸ ἐπὶ τῆς Ἰστώνης. (λ. Ἀγγ.) — 8. Ξυνέβησαν] συνεβιβάσθησαν. (λ. Ἀγγ.)

κωθ' ὃν ταῦτα, sed κωθ' ὃν de. Cass. (ubi rec. man. in marg. scripsit,) Aug. Cl. Pal. It. Vat. H. Bekk. Quos quanquam sequi licet, (ut dicimus ἤδη ταῦτα ἐγένετο καί etc.) nos tamen abiecto κατά malimus retineri ὅν, quod propter ultimam syllabam voc. χρόνον facile potuit excidere; nam ita Thucydides loquitur κατὰ τὸν χρόνον τοῦτον, ὃν αἱ νῆες ἔπλεον III, 17. κατὰ τὸν αὐτὸν χρόνον, ὃν οἱ Λακεδαιμόνιοι περὶ τὸν ἰσθμὸν ἦσαν III, 18. cf. III, 94. et Matth. Gr. §. 595. extr. Ita igitur nos secutus edidit Goeller.

Εὐρυμέδων. B. Εὐρυμέων.

Ἰστώνης. G. Ἰστόνης. At vid. I. 2. p. 138.

Κερκυραίων. Gr. Κερκυρέων, ut etiam paulo post.

Ἐκράτουν τε. Τέ om. D., qui mox τὰ πολλὰ habet.

2. Προσβαλόντες. D. προσβάλλοντες.

Παραδοῦναι. Dimittendi fortasse verbum potius exspectes, sed ἀφεῖναι vel ἀφιέναι, quod Reiskius coniecit, reponere quis audeat!

Σφῶν om. B.

Τὸν Ἀθηναίων. It. Vat. Ar. τῶν Ἀθηναίων.

Δῆμον διαγνῶναι. Haec in H. correctionibus referta clare legi nequeunt.

3. Νῆσον οἱ. G. νῆσον εις, sed οἱ s. εἰς al. man.

Πτυχίαν. F. G. Πτυχειαν.

Ὑποσπόνδους. Mosqu. σπόνδους, sed in marg. ὑποσπ.

Μέχρι Cass. Aug. H. C. G. Gr. Mosqu. m. Haack. Bekk. Goell. Vulgo μέχρις. Cf. I. 1. p. 215. sq.

Ὥστε — σπονδάς om. Aug. It. Vat. H., sed Aug. et H. in marg. al. man. supplent.

Ἐάν D. Haack. Goell., quod leviter confirmat etiam Polyaen. VI, 21. Vulgo (et Bekk.) ἄν. Sed vid. I. 1. p. 230.

4. Τοῦ δήμου. Τοῦ de. An Chr.

ραίων, δεδιότες μὴ οἱ Ἀθηναῖοι τοὺς ἐληλύθοντας οὐκ ἀποκτείνωσι, μηχανῶνται τοιόνδε τι. 5. τῶν ἐν τῇ νήσῳ πείθουσί τινας ὀλίγους, ὑποπέμψαντες φίλους, καὶ διδάξαντες, ὡς κατ' εὔνοιαν δή, λέγειν ὅτι πράτιστον αὐτοῖς εἴη ὡς τάχιστα ἀποδρᾶναι, πλοῖον δέ τι αὐτοὶ ἑτοιμάσειν· μέλλειν γὰρ δὴ τοὺς στρατηγοὺς τῶν Ἀθηναίων παραδώσειν αὐτοὺς τῷ δήμῳ τῶν Κερκυραίων.

(Ἀπόδρασις ἐνίων τῶν φυγάδων καὶ τῶν πάντων ὠμοτάτη κόλασις.)

μζ. Ὡς δὲ ἔπεισαν, καὶ, μηχανησαμένων τὸ πλοῖον, ἐκπλέοντες ἐλήφθησαν, ἐλέλυντό τε αἱ σπονδαί, καὶ τοῖς Κερκυραίοις * παρεδέδοντο * οἱ πάντες. 2. ξυνελάβοντο

1. Οἱ Ἀθηναῖοι] οἱ ἐν ταῖς Ἀθήναις. (λ. Αὐγ.) — 2. Τῶν ἐν τῇ νήσῳ] τῇ Πτυχίᾳ. (λ. Αὐγ.) — 3. Καὶ διδάξαντες] [τοὺς ὑποπέμπτους. τὸ ἐξῆς, καὶ διδάξαντες] τοὺς ὑποπέπτους λέγειν, ὡς δῆθεν ἀπὸ εὐνοίας.

μζ. 8. Μηχανησαμένων] αὐτῶν τῶν ἐν τῇ πόλει Κερκυραίων. μηχανησαμένων δὲ λέγει οἱονεὶ εὑρεπισάντων. — 10. Ξυνελάβοντο δὲ — —] ἀντὶ τοῦ, συμμετέσχον [δὲ] οὐκ ὀλίγως τοῦ τοιούτου πράγματος, ὥστε πιθανὴν καὶ πιστὴν γενέσθαι τοῖς ἐν τῇ Πτυχίᾳ ἀνδράσι τὴν ἀπάτην, οἱ στρατηγοὶ τῶν Ἀθηναίων. εἶτα τὴν αἰτίαν λέγει· ἐπειδή, φησίν, αὐτοὶ ἀπέκλεσον ἐπὶ τὴν Σικελίαν, [ἀλλ'

Δεδιότες. Mosqu. δεδιώτες.

5. Ὀλίγους. Virgula vulgo ante hoc nomen legitur; post id auctoribus Duk. et Reiskio retraxerunt Bekk. et Goell., plane abesse vult Bredow. Cf. not.

Διδάξαντες. D. I. διατάξαντες aut potius διατάξαντες.

Δή Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) Gr. D. I. E. Vind. m. (in quo δῆθεν ad marg.) Ar. Chr. Dan. Ald. Flor. Bas. Bekk. Goell. Vulgo (et Haack.) δῆθεν, quod ab interpretibus profectum est, qui δή hic scilicet valere indicare cupiebant. In Ci δή in μή depravatum.

Ἀποδρᾶναι Cass. Aug. Cl. It. Vat. G. Reg. (G.) Gr. D. E. Mosqu. m. Ar. Chr. Dan. Polyaen. l. d. Haack. Bekk. Goell. Vulgo barbare ἀποδιδράναι, quod miramur non graviter improbari Buttmanno Gr. II. 1. p. 210. Cod. Bas. ἀποδράναι.

Δή. Cl. ἤδη. Vat. H. om.

Τῶν Κερκυραίων. Τῶν de. Ar. Chr.

Cap. XLVII. Ἐλέλυντό τε. Τε om. D.

Παρεδέδοντο Cass. (in quo tamen ead. man. super ε scriptum ι,) Aug. Pal. It. Vat. C. Reg. cod. Bas. Gr. Bekk. Goell. Vulgo (et Haack.) παρεδίδοντο (B. παραδίδοντο), quod nobis sane magis placet, quanquam praecedit ἐλέλυντο („der Vergleich war damit aufgehoben und sie wurden übergeben.) Cf. tamen ad V, 1. — 2. Ξυνελάβοντο δέ. Δέ om. Gr.

Digitized by Google

δὲ τοῦ τοιούτου οὐχ ἥκιστα, ὥστε ἀκριβῆ τὴν πρόφασιν γενέσθαι, καὶ τοὺς τεχνησαμένους ἀδεέστερον ἐγχειρῆσαι, οἱ στρατηγοὶ τῶν Ἀθηναίων, κατάδηλοι ὄντες τοὺς ἄνδρας μὴ ἂν βούλεσθαι, ὑπ' ἄλλων κομισθέντας, διότι αὐτοὶ ἐς Σικελίαν ἔπλεον, τὴν τιμὴν τοῖς ἄγουσι προσποιῆσαι. 3. παραλαβόντες δὲ αὐτοὺς οἱ Κερκυραῖοι, ἐς οἴκημα μέγα καθεῖρξαν· καὶ ὕστερον ἐξάγοντες κατὰ εἴκοσιν ἄνδρας, διῆγον διὰ δυοῖν στοίχοιν, ὁπλιτῶν ἑκατέρωθεν παρατεταγμένων, δεδεμένους τε πρὸς ἀλλήλους, καὶ παιομένους καὶ κεντουμένους ὑπὸ τῶν παρατεταγμένων, εἴ πού τίς τινα ἴδοι ἐχθρὸν ἑαυτοῦ· μαστιγοφόροι τε παριόντες ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προϊόντας.

οὐκ ἐπὶ τοὺς Ἀθήνας, (*Αὐγ.*)] αὐκ ἐβούλοντο [δι'] ἄλλων τινῶν κομισάντων αὐτοὺς ἐς τὰς Ἀθήνας, [ἐκείνους] καρπώσασθαι τὴν δόξαν. — 2. ** Τοὺς τεχνησαμένους] αὐτοὺς τοὺς ὄντας ἐν τῇ Κερκύρᾳ, μηχανησαμένους τὸ πλοῖον. (*Αὐγ.*) — 8. *Διῆγον*] διεβίβαζον. (λ. *Αὐγ.*) — 10. Ὑπὸ τῶν παρατεταγμένων] ἑκατέρωθεν δηλονότι. (λ. *Αὐγ.*) — 12. Τῆς ὁδοῦ] εἰς τὸ ἔμπροσθεν τῆς ὁδοῦ. (λ. *Αὐγ.*)

Τοῦ τοιούτου. *Τοῦ* om. It. Cf. adnot. ad II, 41. et Ind.

Τεχνησαμένους. Mosqu. *τεχνισ.*

Οἱ στρατηγοί. Ar. *καὶ οἱ στρατ.*

Ἄλλων. B. *ἀλλήλων.*

3. *Δυοῖν.* „*Δυεῖν* reposui [ex Aug. Ar. Chr.]; ante *δυοῖν*, quomodo Aretaeus. Herodotus fere *δυεῖν*. Aeschylus Prom. *δυεῖν*, Lysias et Dion. Hal. ex nostro." WASS. *Δυοῖν* cum plerisque libris, (quanquam ex Parr. H. D. I. E. soli memorantur,) revocarunt Haack. Bekk. Goell. „Vid. cap. 44." DUK.

Στοίχοιν. Cod. Bas. E. Mosqu. *στίχοιν.*

Δεδεμένους τε. Mosqu. *δεδεμ. δέ.*

Ἴδοι. Mosqu. *ἴδῃ.*

Μαστιγοφόροι — προϊόντας. „Haec habet Suidas sine nomine auctoris in *σχολαίτερον*." DUK. Pro *παριόντες* Gr. *παριέντες.*

Ἐπετάχυνον. Vat. *ἐπετάχυναν.* Ar. Chr. Dan. *ἐτάχυνον.*

Τοὺς. Litera *ς* s. v. al. man. in I.

Σχολαίτερον. Cod. Bas. Gr. *σχολαιότερον.* „Supra II, 75. etiam quidam libri habent *σχολαιότερον*. [Item VII, 15.] Sed Thomas Mag. *σχολαίτερον* melius esse dicit." DUK. *Σχολαιότερον* Xen. Anab. I, 5, 9. ubi vid. not., sed nusquam Thuc. (Cf. tamen de *παλαίτερος* et *παλαιότερος* adnot. ad I, 4.)

Προϊόντας. „Fortassis aliquis malit *προϊόντας*· nam haec interdum permutantur. Vid. II, 21." DUK.

Digitized by Google

(*Φόνος δεινότατος τῶν γεγάδων. τελευτὴ τῆς στάσεως. οἱ Ἀθηναῖοι ἐς Σικελίαν ἀποπλέουσι.*)

μή, Καὶ ἐς μὲν ἄνδρας ἑξήκοντα ἔλαθον τοὺς ἐν τῷ οἰκήματι τούτῳ τῷ τρόπῳ ἐξαγαγόντες, καὶ διαφθείραντες· ᾤοντο γὰρ αὐτοὺς * μεταστήσοντάς * ποι ἄλλοσε ἄγειν. ὡς δὲ ᾔσθοντο, καί τις αὐτοῖς ἐδήλωσε, 267. τούς τε Ἀθηναίους ἐπεκαλοῦντο, καὶ ἐκέλευον σφᾶς, εἰ βούλονται, αὐτοὺς διαφθείρειν, ἔκ τε τοῦ οἰκήματος οὐκέτι ἤθελον ἐξιέναι, οὐδ' ἐξιέναι ἔφασαν κατὰ δύναμιν περιόψεσθαι οὐδένα. 2. οἱ δὲ Κερκυραῖοι κατὰ μὲν τὰς θύρας οὐδ' αὐτοὶ διεσκοποῦντο βιάζεσθαι, ἀναβάντες δὲ ἐπὶ τὸ τέγος τοῦ οἰκήματος, καὶ διελόντες τὴν ὀροφὴν, ἔβαλλον τῷ κεράμῳ, καὶ ἐτόξευον κάτω. 3. οἱ δὲ

μή. 3. *Αὐτούς*] *τοὺς Κερκυραίους.* (λ. *Αὐγ.*) — 9. *Βιάζεσθαι*] *μετὰ βίας ἐσέρχεσθαι.* (λ. *Αὐγ.*) — 11. *Οἱ δέ*] *οἱ δὲ ἐν τῷ οἰκήματι.* (λ. *Αὐγ.*)

Cap. XLVIII. *Διαφθείραντες.* Aug. It. Mosqu. male *διαφθείροντες.*

Μεταστήσοντας. Vulgo *μεταστήσαντας.* „In minore ed. Lipsiensi apud Tauchnitzium venali invenio *μεταστήσοντας*, quod non errore operarum ortum, sed editoris consilio expressum videtur, ut alia subinde tacite correcta. Placet correctio tam lenis, praesertim quum aoristo hic nullus locus esse videatur." HAACK. qui futurum recepit. Vulgatam, in qua plerumque etiam comma post *ποί* ponitur, interpretantur *existimabant enim eos ex carcere eductos alio traducturos;* sed haec non insunt in Graecis. Caeterum verbis *ᾤοντο γὰρ — ἄγειν* Bekk. parenthesis notas circumdedit.

Ἄλλοσε ἄγειν. Pal. It. *ἄλλοσ' ἐξάγειν.* Vat. *ἄλλο ἐξάγειν.* Vind. B. Ald. Flor. Bas. *ἄλλος ἐπάγειν*, et *ἐπάγειν* etiam Cl. in marg. *Ἄλλοσε* om. Reg. (G.), sed rec. man. int. vers. adscr.

Ἐπεκαλοῦντο. Mosqu. *ἀπεκαλοῦντο.* Ar. Chr. *ἐκαλοῦντο.* Post *διαφθείρειν* cum Bekk. et Goell. punctum in comma mutavimus, quum *τούς τε Ἀθην. ἐπεκαλ.* et *ἔκ τε τοῦ οἰκήμ. οὐκέτι ἤθελον* cohaereant.

Ἔφασαν. Cl. *ἔφασάν τε.* Post *οὐδένα* ante Haack. male minus plene distinguebatur.

2. *Οἱ δέ.* F. *οὐδέ.*

Ἀναβάντες — κεράμῳ. „Haec [ad vocem *τέγος* Thucydidi vindicandam] laudat Eustath. in Odyss. *α'*. p. 1421. omissis vóculis *τοῦ οἰκήματος.*" WASS. „Male Gr. *στέγος.* Thom. Mag. *στέγος* dici iubet, *τέγος* autem poeticum esse pronunciat. Verius est quod addit, *στέγος* commune, *τέγος* Atticum esse. Nam *τέγος* dicunt omnes prosae scriptores Attici. Vid. Steph. Thes. Demosth. in Androt. p. 395. *ἡ τέγος ὡς τοὺς γείτονας ὑπερβαίνοι.* Ibi Ulpianus, *τέγος τοῦ δώματος ὑπέρτερόν μέρος.*" DUK. Xen. Cyr. VII, 5, 22. *ἐπὶ τὰ τέγη ἀναβάντες.*

Ἔβαλλον. Cass. F. Gr. Ar. Chr.

Digitized by Google

ἐφυλάσσοντό τε ὃς ἠδύναντο, καὶ ἅμα οἱ πολλοὶ σφᾶς αὐτοὺς διέφθειρον, ὀϊστούς τε, οὓς ἀφίεσαν ἐκεῖνοι, ἐς τὰς σφαγὰς καθιέντες, καὶ ἐκ κλινῶν τινῶν, αἳ ἔτυχον αὐτοῖς ἐνοῦσαι, τοῖς σπάρτοις, καὶ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, ἀπαγχόμενοι, παντὶ † τρόπῳ τὸ

2. Ἐς τὰς σφαγάς] [ἦγουν εἰς τὸ μέρος τοῦ σώματος, ἔνθα σφάττονται τὰ ζῶα. (λ. Ἀϋγ.)] σφαγὴν καλοῦσι τὸ κατὰ τὴν κλεῖδα τοῦ ἀνθρώπου μέρος, δι' οὗ καθιᾶσι τὰ διδήρια οἱ θέλοντες ἑαυτοὺς ἀνελεῖν. — 4. Τοῖς σπάρτοις] ὡς ἀπὸ εὐθέος οὐδετέρου τὸ σπάρτον. (Ἀϋγ.) — Παραιρήματα ποιοῦντες] ὡς ἂν εἰ ἔλεγε, τελαμῶνάς τινας ἀποσχίζοντες τῶν ἱματίων, ὥςπερ ζώνας ἐποίουν· καὶ πλέκοντες αὐτὰ, καὶ ποιοῦντες ὥςπερ σχοινία, οὕτως [αὐτοῖς] ἐχρῶντο πρὸς τὸ ἀπάγχεσθαι.

male ἔβαλον. Etiam in I. unum λ s. v. al. man.

3. Ἐφύλάσσοντό τε. Ar. Chr. ἐφύλασσον τότε.

Διέφθειρον. F. Gr. D. E. διέφθειραν, sicut ex emendat. etiam Cass.; sed in D. ον s. αν. Vulgatam confirmant Suid. et Phav. in παραιρήσεται cum Schol. Demosth. ad Phil. II.

Ὀϊστούς τε etc. „Suidas voc. σφαγάς, Καὶ ὀϊστοὺς καθίεσαν ἐς τὰς σφαγάς, minus sincere." WASS. Καὶ ὀϊστούς omissis reliquis habet etiam Photius Hermanni, sed τοὺς ὀϊστούς Photius Porsonis. Atticum οἰστούς nunc Bekkerum reposuisse c. 40. vidimus. Οὓς om. It. Pro τέ cod. Bas. μέν, pro καθιέντες G. καθιέντας.

Καὶ ἐκ κλινῶν etc. „Apud Suidam in παραιρήσεται, ubi hic locus citatur, quum alia non recte leguntur, [παραιρήσεται· ἀφαιρήσεται. Θουκυδίδης· διέφθειρον σφᾶς αὐτοὺς, οἱ μὲν ἀπὸ κλινῶν σπάρτα, οἱ δ' ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, τουτέστιν ἀφαιρήματα, ἀπήγχοντο,] tum pro τοῖς σπάρτοις male σπάρτα scribitur, ut ibi adnotat Kuster. In Schol. Demosth. ad Phil. II. p. 46. ed. Par. [et Phav.] eadem ad verbum leguntur quae in Suida, nisi quod ibi pro σπάρτα novo errore est σπάρτας, unde apparet alterum haec ex altero descripsisse. Si Suidas id, quod in Thucydide est τοῖς σπάρτοις, de industria mutavit in σπάρτα, eo errasse videtur, quod putavit casum huius nominis debere convenire cum sequenti παραιρήματα. Particulam ex hoc loco decerptam, ἐκ κλινῶν τοῖς σπάρτοις ἀπαγχόμενοι, in Onomasticon suum contulit Pollux X, 37." DUK. Sine quo Pollucis loco particip. ἀπαγχόμενοι ab interpretibus profectum videri possit.

Παραιρήματα. I. m. Ar. Chr. Dan. παραιωρήματα, in m. tamen supra scr. αιρή. Vind. παρωρήματα. Παραιρήματα confirmant Moer. Att. p. 299. Bekk. Anecdd. p. 112. Suid. Phav. et Schol. Dem. l. l., παραιωρήματα tamen aliquantum commendat Piers. ad Moer., atque aut hoc aut, quod huc non pertinet, πραρτήματα reponi vult Reisk. Cf. not.

Ἀπαγχόμενοι. Mosqu. in marg. ἀγχόμενοι.

Παντὶ τρόπῳ. Coniicimus παν-

Digitized by Google

πολὺ τῆς νυκτὸς (ἐπεγένετο γὰρ νὺξ τῷ παθήματι) * ἀναλοῦντες * σφᾶς αὐτοὺς, καὶ βαλλόμενοι ὑπὸ τῶν ἄνω, διεφθάρησαν. 4. καὶ αὐτοὺς οἱ Κερκυραῖοι, ἐπειδὴ ἡμέρα ἐγένετο, φορμηδὸν ἐπὶ ἀμάξας ἐπιβαλόντες, ἀπήγαγον ἔξω τῆς πόλεως· τὰς δὲ γυναῖκας, ὅσαι ἐν τῷ τειχίσματι ἑάλωσαν, ἠνδραποδίσαντο. 5. τοιούτῳ μὲν τρόπῳ οἱ ἐκ τοῦ ὄρους Κερκυραῖοι ὑπὸ τοῦ δήμου διεφθάρησαν, καὶ ἡ στάσις, πολλὴ γενομένη, ἐτελεύτησεν ἐς τοῦτο, ὅσα γε κατὰ τὸν πόλεμον τόνδε· οὐ γὰρ ἔτι ἦν ὑπόλοιπον τῶν ἑτέρων ὅ τι καὶ ἀξιόλογον.. 6. οἱ δὲ Ἀθηναῖοι ἐς τὴν Σικελίαν, ἵνα περ τὸ πρῶτον ὥρμηντο, ἀποπλεύσαντες, μετὰ τῶν ἐκεῖ ξυμμάχων ἐπολέμουν.

1. Ἐπεγένετο γὰρ νὺξ τῷ παθήματι] ἐπειδὴ εἶπε τὸ πολὺ τῆς νυκτὸς, ἵνα μή τις εἴπῃ, Καίτοι ἐν ἡμέρᾳ ταῦτα ἐγένετο, λέγει ἐν τῷ μέσῳ τὸ, ἐγένετο γὰρ νύξ. — 4. Φορμηδὸν] ὡς ἐάν τις πλέξῃ φορμούς, τοὺς καλουμένους ψιάθους, τοὺς μὲν κατὰ μῆκος αὐτῶν τιθέντες, ἄλλους δὲ πλαγίως ἐπιβάλλοντες κατ' αὐτῶν. ἐμφαίνει δὲ τοῦτο τῶν Κερκυραίων τὴν ὠμότητα εἰς τοὺς ἀποθάνοντας, ὅτι οὐδὲ μετὰ [τὸν ἐκείνων] θάνατον τοῦ [πρὸς ἐκείνους] μίσους ἐπαύσαντο. — 6. Ἠνδραποδίσαντο] ὡς ἀνδραπόδοις ἐχρήσαντο. (λ. Ἀνγ.)

τί τε τρόπῳ. Valla: *omni denique modo.* Haack. colo post διέφθειρον posito vulgatam excusari posse credidit. Vid. etiam Reisig. Coniectt. ad Aristoph. p. 316., sed simul ad h. l. Goell. et nos in adnot.

Ἐπέγένετο. Syllaba ἐπ s. v. atramento rubro scripta in E.

Ἀναλοῦντες ex Heilmanni coniectura profectum, quam, ut nos in Obss. critt. suaseramus, receperunt Haack. Bekk. Goell. Valla: *sibi manus inferentes.* Vulgo ἀναδοῦντες. Mosqu. ἀναδούμενοι. Cf. not.

Ἄνω. Mosqu. ἄνωθεν, non ineleganter.

Διεφθάρησαν. Reg. (G.) ἐφθάρ.

4. Ἐπειδὴ It. Vat. H. F. C. G. B. D. I. E. Vind. m. Haack. Bekk. Goell. In Aug. ἐπειδὲν ἐπειδή. Vulgo ἐπειδάν, quod apud Scholiastas ferri posset, apud Thuc. soloecum est. Idem vitium vulgo redit c. 180. et 132.

Φορμηδὸν — πόλεως. „Suid. in φορμηδόν. Ἐφ' ἁμαξῶν [φορμηδὸν ἐφ' ἁμαξῶν ἐκφέρειν, ὥςπερ τοὺς Κερκυραίων νεκρούς] memoriae fisus Aristides t. III. p. 520. [II. p. 312.]“ WASS. „Add. supra II, 75.“ DUK. Cf. Schol. Aristid. p. 282. et 310. Vat. H. ἐφ' ἁμάξαις. H. solus ἐπήγαγον.

5. Διεφθάρησαν. C. ἐφθάρ. Post hoc verbum ante Haack. punctum collocabatur.

Γενομένη. Ar. γίνομ.

Τόνδε. F. τοῦτον. (Falsa tradit Bekk.)

Ὅ τι om. Ar. Chr. Dan.

6. Ἵνα περ. D. I. ἵνα πε, si menda carent Gailii verba.

Digitized by Google

(12. Ἀνακτόριον αἱρεῖται ὑπὸ Ἀθηναίων καὶ Ἀκαρνάνων).

μθ'. Καὶ οἱ ἐν τῇ Ναυπάκτῳ Ἀθηναῖοι καὶ Ἀκαρνᾶνες, ἅμα τελευτῶντος τοῦ θέρους στρατευσάμενοι, Ἀνακτόριον Κορινθίων πόλιν, ἣ κεῖται ἐπὶ τῷ στόματι τοῦ Ἀμπρακικοῦ κόλπου, ἔλαβον προδοσίᾳ· καὶ ἐκπέμψαντες Κορινθίους αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορες ἀπὸ πάντων ἔσχον τὸ χωρίον. καὶ τὸ θέρος ἐτελεύτα. Ολ. πη'. ἔτ. δ'. πρὸ Χρ. νκέ. Σεπτεμβρ. μην.

(B. Χειμών. ν'. να'.)

(1. Ἀρταφέρνην μετὰ γραμμάτων βασιλέως ἐς Λακεδαίμονα πορευόμενον Ἀθηναῖοι ξυλλαμβάνουσι. Θάνατος Ἀρταξέρξου.)

ν'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Ἀριστείδης ὁ Ἀρχίππου, εἷς τῶν ἀργυρολόγων νεῶν Ἀθηναίων στρατηγὸς, αἳ ἐξεπέμφθησαν πρὸς τοὺς ξυμμάχους, Ἀρταφέρνην ἄνδρα Πέρσην, παρὰ βασιλέως πορευόμενον ἐς Λακεδαίμονα, ξυλλαμβάνει ἐν Ἠιόνι τῇ ἐπὶ Στρυμόνι. ἀπὸ τῆς πά. τοῦ Σεπτεμβρ. μην.

μθ'. 4. Καὶ ἐκπέμψαντες κ. τ. λ.] ἀντὶ τοῦ καὶ ἐμβαλόντες τοὺς ὄντας ἐκεῖ Κορινθίους. — 5. Αὐτοὶ Ἀκαρνᾶνες οἰκήτορας ἀπὸ πάντων] ἀφ' ἑκάστης γὰρ πόλεως Ἀκαρνανίας ἀπέστειλαν τοὺς οἰκήσοντας.

ν'. 11. ** Ἠιόνι] Λυκόφρων· τὸν μὲν γὰρ Ἠιὼν Στρυμόνος Βισαλτία. (Κασσ. Λύγ.)

Cap. XLIX. Ἀκαρνᾶνες. Mosqu. Καρνᾶνες, sed Ἀ supra scr.

Θέρους. Post hoc nomen male vulgo (et apud Haack.) virgula collocatur, qua posita etiam post ἅμα distinguendum erat. I. om. verba ἅμα — αὐτοὺς Ἀκαρνᾶνες, sed in marg. suppl. al. man.

Ἀνακτόριον. Mosqu. male Ἀνακτώριον.

Τῷ στόματι. Τῷ om. G. (?)

Τοῦ Ἀμπρακικοῦ. Τοῦ om. Dan. (non Aug., ut Bekk. vult.) Pro Ἀμπρακικοῦ C. Ἀμπρακιωτικοῦ.

Οἰκήτορες Cass. Aug. F. It. H. I. Heilm. Haack. Bekk. Goell. Vulgo οἰκήτορας cum commate post πάντων. Mosqu. Ar. Chr. Dan. καὶ οἰκήτορας. „Aemil. Portus supplementum suum ἀποστελλαντες debet Scholiastae. Sed admodum dura et, ni fallor, insolens est illa ellipsis [male excusata ab Abresch.] Fr. Porti coniecturae [οἰκήτορες] favet liber Cass. Nec puto haec ita ordinari posse, καὶ ἐκπέμψαντες Κορινθίους οἰκήτορας." DUK.

Cap. L. Ἐπιγιγνομένου. Reg. ἐπιγενομένου, quod Gail. ex C. memorat, nisi G. scripturus erat. Sic tamen rursus c. 52.

Ἐν. Gr. ἐπί, sed alterum suprascr.

Ἠιόνι. Bekk. Ἠιόνι, sine punctis diaereseos. E. Ἠόνι. Cf. script. discr. ad IV, 7.

Ἐπί. Mosqu. ἐπὶ τῷ.

Στρυμόνι. H. I. Ar. Chr. Στρυμμόνι. Mosqu. Στρυμῶνι.

Digitized by Google

2. καὶ αὐτοῦ κομισθέντος, οἱ Ἀθηναῖοι τὰς μὲν ἐπιστολὰς μεταγραψάμενοι ἐκ τῶν Ἀσσυρίων γραμμάτων, ἀνέγνωσαν· ἐν αἷς, πολλῶν ἄλλων γεγραμμένων, κεφάλαιον 268.
ἦν πρὸς Λακεδαιμονίους, οὐ γιγνώσκειν ὅ τι βούλονται, πολλῶν γὰρ ἐλθόντων πρέσβεων, οὐδένα ταὐτὰ λέγειν· εἰ αὖν βούλονται σαφὲς λέγειν, πέμψαι μετὰ τοῦ Πέρσου ἄνδρας ὡς αὐτόν. 3. τὸν δὲ Ἀρταφέρνην ὕστερον οἱ Ἀθηναῖοι ἀποστέλλουσι τριήρει ἐς Ἔφεσον, καὶ πρέσβεις ἅμα· οἳ πυθόμενοι αὐτόθι βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου νεωστὶ τεθνηκότα, (κατὰ γὰρ τοῦτον τὸν χρόνον ἐτελεύτησεν,) ἐπ' οἴκου ἀνεχώρησαν.

(2. Χῖοι τὸ τεῖχος περιαιροῦσι.)

Ὀλ. πέ. ἔτ. δ'. πρὸ Χρ. νκδ'. πρὸ τῆς καὶ τοῦ Μαρτ. μην.

ναί. Τοῦ δ' αὐτοῦ χειμῶνος καὶ Χῖοι τὸ τεῖχος περιεῖλον τὸ καινόν, κελευσάντων Ἀθηναίων, καὶ ὑποπτευσάντων ἐς αὐτούς τι νεωτερισεῖν, ποιησάμενοι μέντοι

1. *Κομισθέντος*] ἀχθέντός ὑπὸ τοῦ Ἀριστείδου. (λ. Κασσ. Αὐγ.) — 2. *Μεταγραψάμενοι*] [οἱονεὶ] μεθερμηνεύσαντες. ναί. 12. *Περιεῖλον*] καθεῖλον. (λ. Αὐγ.)

2. *Κομισθέντος*. C. *κομισθέντες*.
Ἀσσυρίων. H. *Ἀσυρίων*.
Ὅ τι. m. *ὅτι*. Deinde D. *βούλοντας*.
Γάρ de. D. I. Mosqu., in quorum postremo etiam *ν* in *πολλῶν* superscr.
Ταὐτά. Pal. *ταῦτα*.
Οὖν βούλονται. Vulgo *οὖν τι βούλονται*, sed *τί* om. Cass. Aug. Pal. It. Vat. H. Bekk. Goell. et probabiliter etiam Gl. Locum IV, 98. comparat Bekk., unde non multum proficimus. Post *βούλ.* C. repetit verba *πολλῶν γὰρ ἐλθ. πρέσβ. οὐ*, sed erasa.
Ἀνδρας. Cass. Aug. It. Vat. perperam *ἀνδρός*.
3. *Οἱ Ἀθηναῖοι*. *Οἱ* de. F. Ald. ed. Bas. (non cod. Bas.)
Οἵ. In exempll. Lips. errore typogr. *οἱ*.
Ἀρταξέρξην. C. Bekk. Goell. *Ἀρτοξέρξην*. Cf. script. discr. ad I, 104. et Intt. Herodot. VI, 48., ubi formam per ō recentioribus Graeculis tribuit Schweigh.
Τὸν Ξέρξου. C. *τοῦ Ξέρξου*. H. *οὐ τοῦ Ξέρξου*.
Τεθνηκότα. D. *τεθνηκότος*.
Ἐπ' οἴκου ἀνεχώρησαν. m. *ἀνεχώρησαν ἐπ' οἴκου*.
Cap. LI. *Χῖοι*. Chr. *οἱ Χῖοι*.
Ἀθηναίων. Ar. Dan. *τῶν Ἀθηναίων*.
Ὑποπτευσάντων. Si Gallii operis fides est, in B. *ὑποπλευσάντων* legitur, et statim *ἐς* om.
Νεωτερισεῖν. D. *νεωτερεῖν*.
Αὐτούς. Gr. B. Mosqu. Ald. Flor. Bas. *ἑαυτούς*. Quare fortasse *αὐτοὺς* reponendum, saltem pronomen ad Athenienses referendum. Nam quod Goellerus *ἐς αὐτούς* ex *ὑποπτευσ.* pen-

Digitized by Google

πρὸς Ἀθηναίους πίστεις καὶ βεβαιότητα ἐκ τῶν δυνατῶν, μηδὲν περὶ σφᾶς νεώτερον βουλεύσειν. 2. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ ἕβδομον ἔτος τῷ πολέμῳ ἐτελεύτα τῷδε, ὃν Θουκυδίδης ξυνέγραψε.

VIII. Ὄγδοον ἔτος τοῦ πολέμου. — Κεφ. ριϛ'.

(Α. Θέρος. — Κεφ. πή'.)

(1. Οἱ Μυτιληναίων φυγάδες πρῶτον μὲν Ῥοίτειον, τοῦτο δὲ ἀποδόντες Ἄντανδρον αἱροῦσιν. ἡ αὐτῶν διάνοια.)

νβ'. ΤΟΥ Δ' ΕΠΙΓΙΓΝΟΜΕΝΟΥ ΘΕΡΟΥΣ εὐθὺς τοῦ τε ἡλίου ἐκλιπές τι ἐγένετο περὶ νουμηνίαν, καὶ τοῦ αὐτοῦ μηνὸς ἰσταμένου ἔσεισε. 2. καὶ οἱ Μυτιληναίων φυγάδες καὶ τῶν ἄλλων Λεσβίων, ὁρμώμενοι οἱ πολλοὶ ἐκ τῆς ἠπείρου, καὶ μισθωσάμενοι ἔκ τε Πελοποννήσου ἐπικουρικὸν, καὶ αὐτόθεν ξυναγείραντες, αἱροῦσι Ῥοίτειον· καὶ λαβόντες δισχιλίους στατῆρας Φωκαΐτας, ἀπέδοσαν πάλιν, οὐδὲν ἀδικήσαντες. 3. καὶ

ἀπὸ τῆς κα'. τοῦ Μαρτ. μην.

πρὸ τῆς λ'. τοῦ Μαρτ. μην.

1. Ἐκ τῶν δυνατῶν] ἀντὶ τοῦ πάνυ καὶ ὡς ἐνεδέχετο.
νβ'. 10. Αὐτόθεν] ἀπὸ τῆς ἠπείρου. (λ. Ἀὐγ.)

dere vult et *sie hatten Verdacht gegen die Chier* interpretatur, ὑποπτεύειν ἔς τινα Graecum esse debebat demonstrare.

Ἐκ τῶν δυνατῶν. Haec commate ante ἐκ deleto ad antecc. recte retulerunt Bekk. et Goell.

Νεώτερον. Ar. Chr. Dan. νεωτεριεῖν.

2. Καὶ ἕβδομον — ἐτελεύτα ob repetitum ἐτελεύτα om. Pal. Gr.

Τῷ πολέμῳ om. D. I.

Θουκυδίδης. Gr. ὁ Θουκ. Tum Bekker, ut solet in hac clausula, ξυνέγραψεν.

Cap. LII. Ἐπιγιγνομένου. C. et Reg. ἐπιγενομ. Cf. script. discr. ad c. 50.

Θέρους. B. Θέρος.

Τοῦ τε. Τέ om. I. m. Ar. Chr. Dan.

Ἰσταμένου om. D. Statim ἔσεισεν Bekk. in minn. exempll. cum Cass. Aug. Pal. H. Gr. Ibidem punctum pro colo primus posuit Haack.

2. Μυτιληναίων hic cum Bekk. et Goell. praeter libros in script. discr. III, 2. memoratos etiam Cass. Aug. pro vulg. Μιτυλ.

Καὶ αὐτόθεν ξυναγείραντες s. v. al. man. E. Statim Pal. αἱροῦσι. Male autem Haack. post αὐτόθεν Kistem. auctore comma posuit, quod non fecisset, si verba traiecta pro καὶ ἔκ τε Πελοπ. ἐπικουρ. μισθωσ. καὶ αὐτόθ. ξυναγ. cogitasset. Cf. I. 1. p. 300.

Ῥοίτειον Cass. It. Vat. H. Bekk. Goell. Vulgo (et Haack.) Ῥοίτιον. At vid. I. 2. p. 438.

Φωκαΐτας s. v. al. man. E. At vid. Poll. IX, 93.

Οὐδὲν Cass. Aug. Cl. It. Vat. P. C. Reg. (G.) cod. Bas. Gr. I. (in hoc cum μή s. v. ead. man.) Mosqu. Bekk. Goell. Vulgo (et Haack.) perperam μηδέν.

Digitized by Google

μετὰ τοῦτο ἐπὶ Ἄντανδρον στρατεύσαντες, προδοσίας γενομένης, λαμβάνουσι τὴν πόλιν. καὶ ἦν αὐτῶν ἡ διάνοια τάς τε ἄλλας πόλεις τὰς Ἀκταίας καλουμένας, ἃς, πρότερον Μυτιληναίων νεμομένων, Ἀθηναῖοι εἶχον, ἐλευθεροῦν, καὶ πάντων μάλιστα τὴν Ἄντανδρον· καὶ κρατυνάμενοι αὐτὴν, (ναῦς τε γὰρ εὐπορία ἦν ποιεῖσθαι αὐτόθεν, ξύλων ὑπαρχόντων, καὶ τῆς Ἴδης ἐπικειμένης, καὶ * τῇ ἄλλῃ παρασκευῇ, *) ῥᾳδίως, ἀπ' αὐτῆς ὁρμώμενοι, τήν τε Λέσβον, ἐγγὺς οὖσαν, κακώσειν, καὶ τὰ ἐν τῇ ἠπείρῳ Αἰολικὰ πολίσματα χειρώσασθαι. 4. καὶ οἱ μὲν ταῦτα παρασκευάζεσθαι ἔμελλον.

(2. Ἀθηναίων στρατεία ἐπὶ Κύθηρα. νγ'. νδ'. περιήγησις τῆς νήσου.)

Ὀλ. πη'. ἔτ. δ'. πρὸ Χρ. νδ'. νγ'. Ἀθηναῖοι δὲ ἐν τῷ αὐτῷ θέρει ἑξήκοντα ναυσὶ, καὶ διχιλίοις ὁπλίταις, ἱππεῦσί τε ὀλίγοις, καὶ τῶν ξυμμάχων Μιλησίους καὶ ἄλλους τινὰς ἀγαγόντες, ἐστράτευσαν ἐπὶ Κύθηρα· ἐστρατήγει δὲ αὐτῶν Νικίας ὁ Νικηράτου, καὶ Νικόστρατος ὁ Διοτρέφους, καὶ Αὐτοκλῆς

5. Πάντων μάλιστα] σημείωσαι ὅτι πάντων λέγει καὶ οὐ πασῶν. (λ. Αὐγ.)

3. Ἄντανδρον. B. D. τὴν Ἀτανδρον (?Ἄντανδρον?).

Ἃς, πρότερον. „Comma ponendum post ἃς, non post πρότερον. Tum enim, quum exsules Lesbii has urbes liberare vellent, illae in Atheniensium erant potestate, a superatis Mytilenensibus, quibus olim paruerant, receptae. Vid. III, 50." HAACK.

Κρατυνάμενοι. D. I. κρατησάμενοι.

Γὰρ om. Vat. Pro praeced. τέ Pal. τί, sed corr. rec. man.

Ποιεῖσθαι. E. ποιεῖν.

Τῆς Ἴδης. G. τοῖς Ἴδης.

Παρασκευῇ. Cass. Aug. It. Vat. F. C. Reg. (G.) cod. Bas. Gr. D. E. Vind. σκευῇ, quod non videtur probari posse. Quatuor autem vocabula καὶ τῇ — παρασκ. vulgo (et apud Bekk.) male ad seqq. referuntur, parenthesis signo post ἐπικειμένης posito et virgula post ῥᾳδίως omissa. Illud nos huc transponendum docuimus, et simul τὴν ἄλλην παρασκευήν coniecimus. Pro quibus Haackio et Goell., qui in interpunctione nos secuti sunt, τῆς ἄλλης παρασκευῆς placet. Add. adnot.

Ἀπ' αὐτῆς. Mosqu. ἐπ' αὐτῆς.

Χειρώσασθαι Cass. Aug. Cl. Pal. It. Vat. H. F. C. Reg. (G.) Gr. D. I. E. Vind, Ar. Chr. Ald. Flor. Bas. Haack. Bekk. Goell. Vulgo χειρώσεσθαι. Cf. I. 1. p. 275. et supra c. 24.

Cap. LIII. Ὀλίγοις. D. ὀλίγαις.

Διοτρέφους Bekk. Goell. Vulgo cum libris Διοτρεφοῦς, Pal. Διετρεφοῦς. Cf. script. discr. ad III, 75.

Digitized by Google

ὁ Τολμαίου. 2. τὰ δὲ Κύθηρα νῆσός ἐστιν, ἐπίκειται δὲ τῇ Λακωνικῇ κατὰ Μαλέαν. Λακεδαιμόνιοι δ' εἰσὶ τῶν περιοίκων, καὶ Κυθηροδίκης ἀρχὴ ἐκ τῆς Σπάρτης
269. διέβαινεν αὐτόσε κατὰ ἔτος, ὁπλιτῶν τε φρουρὰν διέ-
5 πεμπον ἀεὶ, καὶ πολλὴν ἐπιμέλειαν ἐποιοῦντο. 3. ἦν γὰρ αὐτοῖς τῶν τε ἀπ' Αἰγύπτου καὶ Λιβύης ὁλκάδων προσβολὴ, καὶ λῃσταὶ ἅμα τὴν Λακωνικὴν ἧσσον ἐλύπουν ἐκ θαλάσσης, ἢπερ μόνον οἷόν τ' ἦν κακουργεῖσθαι· πᾶσα γὰρ ἀνέχει πρὸς τὸ Σικελικὸν καὶ Κρητι-
10 κὸν πέλαγος.

(*Τὴν νῆσον Ἀθηναῖοι αἱροῦσι, καὶ ξύμβασιν μετρίαν πρὸς τοὺς Κυθηρίους ποιησάμενοι, ἐς Ἀσίνην καὶ Ἕλος ἀποπλέουσι.*)

νδ'. Κατασχόντες οὖν οἱ Ἀθηναῖοι τῷ στρατῷ, δέκα μὲν ναυσὶ καὶ δισχιλίοις Μιλησίων ὁπλίταις τὴν ἐπὶ θαλάσσῃ πόλιν, Σκάνδειαν καλουμένην, αἱροῦσι· τῷ δὲ ἄλλῳ στρατεύματι ἀποβάντες τῆς νήσου ἐς τὰ πρὸς Μα-
15 λέαν τετραμμένα, ἐχώρουν ἐπὶ τὴν ἐπὶ θαλάσσῃ πόλιν τῶν Κυθηρίων, καὶ εὗρον [εὐθὺς] αὐτοὺς ἐστρατοπε-

νγ'. 7. Προσβολή] [*ἀντὶ τοῦ*] *προσόρμισις καὶ καταγωγή.* [*ἐπίθεσις* (λ. *Αὐγ.*)] — *Ἧσσον*] *ἀντὶ τοῦ οὐδαμῶς.* — 8. *Κακουργεῖσθαι*] *ἤγουν λῃστεύεσθαι.* (λ. *Αὐγ.*) — 9. *Ἀνέχει*] *ἀνατείνει καὶ ἀνακέπταται.*

νδ'. 11. Κατασχόντες οὖν] *ἀντὶ τοῦ προσορμίσαντες ἐν αὐτοῖς τοῖς Κυθήροις. ἰστέον δὲ ὅτι δύο πόλεις ἦσαν τῶν Κυθήρων, μία μὲν ὁμώνυμος, ἑτέρα δὲ, ἡ Σκάνδεια λέγεται, ἐν τῇ νήσῳ τῶν Κυθήρων παρὰ θάλασσαν κειμένη.*

2. *Κύθηρα.* E. *Κίθηρα.*
Μαλέαν. B. *Μελέαν.*
Ἀεί. Pal. Reg. Gr. Mosqu. *αἰεί.* Cf. I. 1. p. 211.
Ἐπιμέλειαν ἐποιοῦντο. E. *ἐποιοῦντο ἐπιμέλειαν.*
3. *Αὐτοῖς.* It. Vat., *αὐτῆς.*
Τῶν τε. Hoc *τέ* (non, ut Bekk. scribit, quod §. 2. post *ὁπλιτ.* est,) om. Mosqu.
Τ' ἦν. T' om. Pal.
Πᾶσα γὰρ — πέλαγος Bekk. Anecdd. p. 400., ubi *ὡς* pro *πρός* (at vid. adnot. ad I, 50.) et *Σικελ. καὶ* om.
Cap. LIV. *Μιλησίων ὁπλίταις.* F. *ὁπλίτ. Μιλησ.*, fortasse etiam Mosqu., ex quo postrum sine causa affertur.
Πόλιν. It. Vat. *πόλει.*
Μαλέαν. m. *Μαλλέαν.*
Ἐπὶ τήν. I. *ἐς τήν.*
Κυθηρίων. Ar. *Κυθήρων.*
Εὗρον. Cod. Bas. *εὑρόντες* ex emend.
Εὐθὺς αὐτούς. C. *αὐτοὺς εὐθύς.* In D. I. *αὐτούς* de., in G. *εὐθύς* extra vers. est. Quod suspectum esse docet Krüg. ad Dion. p. 132.

Digitized by Google

δευμένους ἅπαντας. 2. καὶ μάχης γενομένης ὀλίγον μέν τινα χρόνον ὑπέστησαν οἱ Κυθήριοι, ἔπειτα τραπόμενοι, κατέφυγον ἐς τὴν ἄνω πόλιν. καὶ ὕστερον ξυνέβησαν πρὸς Νικίαν καὶ τοὺς ξυνάρχοντας Ἀθηναίοις ἐπιτρέψαι περὶ σφῶν αὐτῶν πλὴν θανάτου. 3. ἦσαν δέ τινες καὶ γενόμενοι τῷ Νικίᾳ λόγοι πρότερον πρός τινας τῶν Κυθηρίων· διὸ καὶ θᾶσσον καὶ ἐπιτηδειότερον τό τε παραυτίκα καὶ τὸ ἔπειτα * τὰ * τῆς ὁμολογίας ἐπράχθη αὐτοῖς. ἀνέστησαν γὰρ * ἂν * οἱ Ἀθηναῖοι Κυθηρίους, Λακεδαιμονίους τε ὄντας, καὶ ἐπὶ τῇ Λακωνικῇ τῆς νήσου οὕτως ἐπικειμένης. 4. μετὰ δὲ τὴν ξύμβασιν οἱ Ἀθηναῖοι τήν τε Σκάνδειαν, τὸ ἐπὶ τῷ λιμένι πόλισμα, παραλαβόντες, καὶ τῶν Κυθήρων φυλακὴν ποιησάμενοι, ἔπλευσαν ἔς τε Ἀσίνην, καὶ Ἕλος, καὶ τὰ πλεῖστα τῶν

7. Ἐπιτηδειότερον] ἀντὶ τοῦ συμφερόντως τούτοις τοῖς Κυθηρίοις. — 9. Αὐτοῖς] τοῖς Κυθηρίοις. (λ. Αὐγ.) — Ἀνέστησαν] ἤγουν μετῴκισαν.

2. *Καὶ μάχης.* „Dionysius [p. 841.] haec usque ad *θανάτου* descripsit.“ Duk.

Γενομένης. „*Γιγνομένης* [ex Ar. et quodammodo Dan., in quo *γινομ.*] rescripsi. Antea *γεφυρ.*, quomodo Dionys. Hal.“ WASS. „Et plerique mss. cum edd.“ DUK. *Γενομένης* igitur, quod etiam Aug. Pal. It. Vat., omnes Parr. praeter B., de quo tacetur, ac m. agnoscunt, revocarunt Haack. Bekk. Goell.

Χρόνον [illegible] D., in marg. al. man. habet [illegible].

Κυθήριοι. Dan. *Κορίνθιοι.* (Artic. non om., ut Bekk. innuit.)

Ἔπειτα. Syllaba *τα* in G. s. v. al. man. Tum F. *τραπώμενοι.*

Κατέφυγον. Pal. Reg. (G.) Gr. *κατέφευγον.* Mox post *πόλιν* pro vulg. puncto Bekk. comma posuit. Sic etiam §. 4. post *θάλασσ.*

3. *Κυθηρίων.* E. Ar. *Κιθηρίων.* Dan. *Κυθήρων.* In G. *Κυθηνρίων* fuerat, quo eraso alterum supra scr.

Καὶ ἐπιτηδειότερον. *Καί* de. Cass. Aug., in quorum hoc erasum videtur, ut in m. (*καί* ante *θᾶσσον* om. Cass. male affirmat Bekk.)

Τό τε de. Ar. Chr. Dan. *Τότε* scribunt Ald. Flor. Bas.

Τά om. Cass. Aug. Cl. F. Pal. It. Vat. G. Gr. D. E. Mosqu. Ar. Chr. Dan. Sed vid. adnot.

Ἄν, quod Heilmannus subaudiri voluit, nos inserendum censuimus, receperunt Haack. Bekk. Goell. Cf. adnot.

Οὕτως. C. Reg. (G.) *οὔτω.* Cf. I. 1. p. 215.

4. *Κυθήρων.* F. *Κυθηρίων.* Ar. *Κιθήρων*, ut passim.

Ἔπλευσαν. Mosqu. *ἐπέπλευσαν.*

Ἕλος. Gr. *Ἕλεος.*

Digitized by Google

περὶ θάλασσαν· καὶ ἀποβάσεις ποιούμενοι, καὶ ἐνανλιζόμενοι τῶν χωρίων οὗ καιρὸς εἴη, ἐδήουν τὴν γῆν ἡμέρας μάλιστα ἑπτά.

(3. Λακεδαιμονίων παρασκευαὶ καὶ ἔκπληξις.)

νέ. Οἱ δὲ Λακεδαιμόνιοι, ἰδόντες μὲν τοὺς Ἀθηναίους τὰ Κύθηρα ἔχοντας, προσδεχόμενοι δὲ καὶ ἐς τὴν γῆν σφῶν ἀποβάσεις τοιαύτας ποιήσεσθαι, ἀθρόᾳ μὲν οὐδαμοῦ τῇ δυνάμει ἀντετάξαντο, κατὰ δὲ τὴν χώραν φρουρὰς διέπεμψαν, ὁπλιτῶν πλῆθος, ὡς ἑκάστας χόσε ἔδει· καὶ τὰ ἄλλα ἐν φυλακῇ πολλῇ ἦσαν, φοβούμενοι μὴ σφίσι νεώτερόν τι γένηται τῶν περὶ τὴν κατάστασιν, γεγενημένου μὲν τοῦ ἐπὶ τῇ νήσῳ πάθους ἀνελπίστου καὶ μεγάλου, Πύλου δὲ ἐχομένης καὶ Κυθήρων, καὶ πανταχόθεν σφᾶς περιεστῶτος πολέμου ταχέος καὶ

νδ'. 1. Ἐνανλιζόμενοι τῶν χωρίων οὗ καιρὸς εἴη] στρατοπεδευόμενοι εἰς τὸ ἐπικαιρότατον τῶν χωρίων. (λ. Αὐγ.) — ** Οὗ καιρὸς εἴη] ἀντὶ τοῦ, ὅσον δυνατὸν ἐφαίνετο αὐτοῖς καὶ χρήσιμον τῇ δυνάμει τῇ ἑαυτῶν δηλονότι. (Κασσ. Αὐγ.)

νέ. 6. Τοιαύτας] ἤγουν πολεμικάς. (λ. Αὐγ.) — 8. Διέπεμψαν] διαμερίσαντες ἔπεμψαν. (λ. Αὐγ.) — Ὡς ἑκάστας χόσε ἔδει] εἰς τὰ ἐν ἑκάστοις τόποις φρούρια. (λ. Αὐγ.) — 10. Τῶν περὶ τὴν κατάστασιν] οἷον τῶν περὶ τὴν πολιτείαν αὐτῶν καὶ τὴν χώραν. — 13. Περιεστῶτος πολέμου τ. κ. ἀ.] προσπιπτόντων αἰφνιδίου πάντοθεν τῶν πολεμίων, καὶ ἄνευ τοῦ δύνασθαι προφυλάξασθαι.

Cap. LV. Ἔχοντας. D. ἔχοντες, sed ᾱ s. ē.

Γῆν al. man. H.

Τοιαύτας ποιήσεσθαι Cass, Aug. Pal. It. Vat. C. Reg. (G.) cod. Bas. Gr. D. E. Bekk. Goell. In F. τοιαύτας ποιήσασθαι. Et ποιήσασθαι etiam Mosqu., qui τοιαύτ. om. Vulgo ποιήσεσθαι τοιαύτας.

Ἀθρόᾳ. Mosqu. ἀθρόως.

Φρουράς. F. Reg. (G.) E. Vind. φρουρούς. Mox Mosqu. ὁπλητῶν et φυλλακῇ.

Ἔδει. D. ἐδόκει. Pro vulg. puncto comma posuit Bekk.

Πολλῇ. F. πολλοί. Pal. om.

Ἐπί Cass. Aug. F. Pal. It. Vat. Bekk. Goell. Vulgo (et Haack.) ἐν. Pro praec. τοῦ Mosqu. τῇ.

Καὶ πανταχόθεν. Ar. Chr. Dan. πανταχόθεν γε, om. καί, sed ne καὶ πανταχ. γε hic placeret.

Πολέμου. Vat, H. τοῦ ποὶ.

Ταχέος. Aug. (in quo ω in ŏ corr.) Pal. It, Vat. Gr. (in quo alterum adscr.) Ald. Flor. Bas. marg. Steph. ταχέως, de quo vitio cf. Lob. ad Phryn. p. 247.; nam adverbium quanquam cum adiectivo nonnunquam iungitur (cf. ad Xen. Anab. IV, 7, 23.), ταχέως in nostra scriptura ferri non posse apparet, et τοῦ πολέμου ταχέως si scribas, nemo haec vulgatis praeferat. Reisk. male

Digitized by Google

ἀπροφυλάκτου. 2. ὥστε παρὰ τὸ εἰωθὸς ἱππέας τετρακοσίους κατεστήσαντο καὶ τοξότας· ἔς τε τὰ πολεμικὰ, εἴπερ ποτὲ, μάλιστα δὴ ὀκνηρότεροι ἐγένοντο, ξυνεστῶτες παρὰ τὴν ὑπάρχουσαν σφῶν ἰδέαν τῆς παρασκευῆς ναυτικῷ ἀγῶνι, καὶ τούτῳ πρὸς Ἀθηναίους, οἷς τὸ μὴ ἐπιχειρούμενον ἀεὶ ἐλλιπὲς ἦν τῆς δοκήσεώς τι πράξειν. 3. καὶ ἅμα τὰ τῆς τύχης, πολλὰ καὶ ἐν ὀλίγῳ ξυμβάντα παρὰ λόγον αὐτοῖς, ἔκπληξιν μεγίστην παρεῖχε, καὶ † ἐδεδίεσαν † μή ποτε αὖθις ξυμφορά τις αὐτοῖς περιτύχῃ, οἷα καὶ ἐν τῇ νήσῳ. 4. ἀτολμότεροι δὲ δι' αὐτὰ ἐς τὰς μάχας ἦσαν, καὶ πᾶν ὅ τι κινήσειαν ᾠοντο ἁμαρ-

νε'. 5. *Οἷς τὸ μὴ ἐπιχειρούμενον — —*] οἷστισιν Ἀθηναίοις τὸ μὴ ἐπιχειρεῖν ἀεί τι πράττειν καινὸν ὑστέρησις ἐδόκει τῶν προδοκηθέντων. — [** οἷς Ἀθηναίοις μόνον ἐκεῖνο ἄπρακτον ἦν τὸ μὴ ἐπιχειρούμενον, ὡς δῆλον ὄντος. . . . οὐκ ἦν αὐτοῖς ἄπρακτον μόνον θελήσασιν οὐδέν. (Βασ.)] — 10. *Ἀτολμότεροι*] ὀκνηρότεροι. (λ. Ἀνγ.) — 11. *Κινήσειαν*] ὑπὲρ ἑαυτῶν δηλονότι. (λ. Ἀνγ.)

τραχέος coniicit, Post ἀπροφυλ, autem Bekk. et Goell, comma posuerunt,

2. *Τετρακοσίους*, D. I. E. Ar. Chr. Dan. τριακοσίους. m. τετρακοσίους ad marg., ut in versu aliter habuisse videatur, quem glires deleverunt. Eadem vocabula iam I, 74. confusa vidimus.

Κατεστήσαντο. Ar. Chr. Dan. κατέστησαν, minus bene.

Μάλιστα δή. F. δὴ μάλ, Idem mox ξυνεστῶτος.

Σφῶν. Reg. (G.) φῶιν.

Τούτῳ. Reg. τοῦτο, ne id quidem vitiose.

Ἀεί Aug. H. Gr. D. I. E. Mosqu. m. Ar. Chr. Haack. Bekk. Goell. Vulgo αἰεί. Cf. I. 1. p. 211.

Πράξειν. Reg. (G.) πρᾶξαι, sed εἶν int. vers. Aoristi infinitivum male recepit Haack., quem refutavit Goeller. Ex Haackii mente πεπραχίναι requireretur.

3. *Τὰ τῆς*. Τά male om. Ar. Chr. Dan. Post τύχης autem virgulam, quae vulgo (et apud Haack.) post πολλά est, collocavimus; sententia enim est: *casus, qui multi et intra breve tempus accideranf.*

Παρὰ λόγον. Aug. Gr. παραλόγον. Cl. παράλογον. Post παρεῖχε cum Bekk. comma pro puncto posuimus.

Ἐδεδίεσαν. Imo ἐδέδισαν. Vid. Lob. ad Phryn. p. 181. Redit tamen nostrum V, 14. et in nonnullis libris IV, 117. Etiam ἐδεδοίκεσαν reponi posse, quod Xen. Anab. V, 6, 36. in nostrum depravatum sit, adnotat Dind.

Αὐτοῖς, s. v. al. man. H., om. Vat.

Οἷα Aug. Reg. (G.) Haack. Bekk. Goell. Vulgo perperam οἷα.

4. *Ἀτολμότεροι*. Mosqu. ἀτολμώτεροι.

Ὃ τι. Gr. Ar. Chr. ὅτι.

Digitized by Google

τήσεσθαι, διὰ τὸ τὴν γνώμην ἀνεχέγγυον γεγενῆσθαι ἐκ τῆς πρὶν ἀηθείας τοῦ κακοπραγεῖν.

(*Μικρὰ μάχη περὶ Κοτύρταν.*)

νς'. Τοῖς δὲ Ἀθηναίοις τότε τὴν παραθαλάσσιον ὀργοῦσι τὰ μὲν πολλὰ ἡσύχασαν ὡς καθ' ἑκάστην φρουρὰν γίγνοιτό τις ἀπόβασις, πλήθει τε ἐλάσσους ἕκαστοι ἡγούμενοι εἶναι, καὶ ἓν τῷ τοιούτῳ· μία δὲ φρουρά, ἥπερ καὶ ἠμύνατο περὶ Κοτύρταν καὶ Ἀφροδισίαν, τὸν μὲν ὄχλον τῶν ψιλῶν ἐσκεδασμένον ἐφόβησεν ἐπιδρομῇ, τῶν δὲ ὁπλιτῶν δεξαμένων ὑπεχώρησε πάλιν· καὶ ἄνδρες τέ τινες ἀπέθανον αὐτῶν ὀλίγοι, καὶ ὅπλα ἐλήφθη, τροπαίου τε στήσαντες οἱ Ἀθηναῖοι ἀπέπλευσαν ἐς Κύθηρα.

νε'. 1. *Διὰ τὸ — κακοπραγεῖν*] διὰ τὸ μὴ πιστεύειν αὐτοὺς μηκέτι μηδενί. κακοπραγήσαντες γὰρ παρ' ἐλπίδα, οὐκ εἰωθότες ἐν τῷ πρὶν χρόνῳ ἀστοχεῖν, οὐδεμίαν περὶ τῶν μελλόντων ἐλπίδα βεβαίαν εἶχον.

νς'. 7. *Τὸν μὲν ὄχλον*] τὸ πλῆθος. (λ. Ἀνγ.) — 8. *Ἐφόβησεν*] εἰς φυγὴν ἔβαλεν. (λ. Ἀνγ.) — *Ἐπιδρομῇ*] [ἀντὶ τοῦ] ἐξ ἐπιδρομῆς, δι' αἰφνιδίας ἐφόδου.

Διὰ τό. Τό de. Gr.

Ἀνεχέγγυον in marg. ponit Mosqu. cum signo post *γεγεν.*

Cap. LVI. *Δὲ Ἀθηναίοις* Cass. Aug. F. Pal. Reg. (G.) Gr. et haud dubie plures pro vulg. δ' *Ἀθην.*

Παραθαλάσσιον. D. I. E. Vind. Ar. Chr. *παραθαλασσίαν*, ne id quidem vitiose, ut Heredotus VII, 109. docet, et *πόλις ἐπιθαλασσία* dixit Thuc. III, 105. Cf. Matth. Gr. §. 217. Sed *ἡ παραθαλάσσιος* adfuit II, 25.

Ἡσύχασαν. Comma post hoc verbum cum Goell. delevimus, ut dativus *τοῖς Ἀθην.* referatur ad *γίγνοιτο ἀπόβασις.*

Ἥπερ. Pal. *ἤπερ.* Mox Mosqu. *ἠμήνατο.*

Κοτύρταν Cass. Aug. Cl. It. Vat. II. (in quo s. v. *γρ. Κοτράραν,*) Reg. (G.) Gr. Mosqu. Haack. Bekk. Goell., ex correct. etiam m., in quo fuerat *Κορτύταν*, sicut vulgo. F. *Κοττύραν.* Pal. *Κότυραν.* E. *Κοττύραν.* Cf. I. 2. p. 203. (Vall. inepte Corcyrae.)

Ἀφροδισίαν. Stephanus Byz. *Ἀφροδιτίαν* legisse videtur. Sed vid. I. 2. p. 203.

Ψιλῶν. Dan. *δαψιλῶν.*

Ἐσκεδασμένον ἐφόβησεν. F. *ἠμύνατο καὶ ἐσκεδασμένον δν* (*ὄν*?) *ἐφόβ.*

Ἄνδρες τε. Τὲ om. Cl. E. Mox post *ἐλήφθη* punctum cum Bekk. in comma mutavimus.

Τροπαίου τε. Pal. Gr. *τρόπαιόν τε.* Cf. I. 1. p. 214.

Ἀπέπλευσαν. F. *ἐπέπλ.*

Κύθηρα. E. *Κύθηραν.* At vid. I. 2. p. 200.

Digitized by Google

(4. Ἀθηναίων ἐπὶ Θυρέαν καὶ τοὺς ἐνταῦθα Αἰγινήτας στρατείᾳ. — κεφ. νζ'.)

Ἐκ δὲ αὐτῶν περιέπλευσαν ἐς Ἐπίδαυρον τὴν Λιμηράν· καὶ δηώσαντες μέρος τι τῆς γῆς, ἀφικνοῦνται ἐπὶ Θυρέαν, ἣ ἐστι μὲν τῆς Κυνουρίας γῆς καλουμένης, ἰδ. Βιβλ. μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς· νεμόμενοι δὲ β'. κεφ. αὐτὴν ἔδοσαν Λακεδαιμόνιοι Αἰγινήταις ἐκπεσοῦσιν ἐνα- κζ'. ἰδ. Βιβλ. κεῖν, διά τε τὰς ὑπὸ τὸν σεισμὸν σφίσι γενομένας καὶ α'. κεφ. τῶν Εἱλώτων τὴν ἐπανάστασιν εὐεργεσίας, καὶ ὅτι, ρά'. Ἀθηναίων ὑπακούοντες, ὅμως πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἔστασαν.

νς'. 1. Ἐς Ἐπίδαυρον] ἄλλη ἐστὶν Ἐπίδαυρος ἐν τῷ Ἰσθμῷ. — Τὴν Λιμηράν] οὐκ ἀπὸ λιμοῦ [οὕτως] ὠνόμασται, ἀλλὰ διὰ τὸ πολλοὺς ἔχειν λιμένας, ἀντὶ τοῦ λιμενηράν. — 6. Σφίσι] τοῖς Λακεδαιμονίοις, ὑπὸ τῶν Αἰγινητῶν. (λ. Αὐγ.) — 8. Πρὸς τὴν ἐκείνων γνώμην ἀεὶ ἔστασαν] ὁμόφρονες καὶ φίλοι τοῖς Λακεδαιμονίοις ὄντες.

2. *Περιέπλευσαν.* Syllaba σαν in Mosqu. superscr.

Λιμηράν. Pal. *Λιμήραν*, sicut VI, 105. VII, 26. bonī libri. Cf. I. 2. p. 204. Post hoc nomen punctum rursus in comma mutavit Bekk. Statim Mosqu. *διώσαντες.*

Ἀφικνοῦνται. D. I. *ἀφικνοῦντο.*

Ἐπί. H. I. m. Dan. *ἐς.*

Θυρέαν. Cass. Aug. Cl. F. Pal. H. Reg. (G.) cod. Bas. Mosqu. m. (de quibus omnibus tacet Bekk.) *Θυραίαν*, quod non multo minorem auctoritatem habet. Vid. I. 2. p. 206. Dan. *Θύρσαν*, sed alibi *Θυρέαν.*

Κυνουρίας. It. Vat. H. et in marg. Cl. et cod. Bas. *Κυνοσουρίας*, quod recepit Bekk., quem iure deseruit Goell. Vid. I. 2. p. 205. Repetunt tamen hanc scripturam It. Vat. V, 14. et It. Vat. H. V, 41. Ar. Chr. Dan. Flor. hic *Κυνουργίας.* Post *Δακων.* autem cum Haack minus plene interpunximus, quum omnia, quae sequuntur, ad brevem degressionem de Thyrea pertineant.

Αἰγινήτας. D. *Αἰγωνήτας*, cuma — *αι* s. *α.* E. *Αἰγινίτας.*

Τὸν σεισμόν. Reg. cod. Bas. *τῶν σεισμῶν.*

Εἱλώτων. Cass. Aug. *Εἰλώτων*, ut saepe alibi. Cf. adnot. ad I, 101.

Ὑπακούοντες. Mosqu. *ὑπακοήσαντες.*

Ἀεί F. H. Gr. D. E. m. Ar. Chr. Dan. Vulgo (cf. I. 1. p. 211.) *αἰεί*, quod C. Reg. (G.) marg. Steph. post *ἐστ.* collocant.

Ἔστασαν. Cass. (in quo tamen proprie *ἐστᾶσι*, et in marg. man. vet. *γρ. ἔστασαν*,) Aug. (in quo tamen *ἑστασι* sine acc., et in marg. man. ant. *γρ. ἔσταμαν*,) Cl. It. Vat. H. F. C. Reg. (G., in quo et in C. *ἐστᾶσιν* ante *ἀεί*,) E. Mosqu. m. (in quo *ἔστασαν* superscr.) et in marg. etiam Gr. *ἑστᾶσι.* Sed sententiae generali et tempori, quum Thucydides haec scribebat, praesen-

Digitized by Google

(*Ἀθηναῖοι τὴν Θυρέαν ἐκπορθοῦσι, καὶ τοὺς Αἰγινήτας, ἐς Ἀθήνας πεμφθέντας, ἀποκτείνουσι, Τάνταλον δὲ Λακεδαιμόνιον καὶ τῶν Κυθηρίων ἐνίους ἧσσον ἰσχυρῶς κολάζουσι.*)

νζ'. Προσπλεόντων οὖν ἔτι τῶν Ἀθηναίων, οἱ Αἰγινῆται τὸ μὲν ἐπὶ τῇ θαλάσσῃ, ὃ ἔτυχον οἰκοδομοῦντες, τεῖχος ἐκλείπουσιν, ἐς δὲ τὴν ἄνω πόλιν, ἐν ᾗ ᾤκουν, ἀπεχώρησαν, ἀπέχουσαν σταδίους μάλιστα δέκα τῆς θαλάσσης. 2. καὶ αὐτοῖς τῶν Λακεδαιμονίων φρουρὰ μία τῶν περὶ τὴν χώραν, ἥπερ καὶ ξυνετείχιξε, ξυνεσελθεῖν μὲν ἐς τὸ τεῖχος οὐκ ἠθέλησαν, δεομένων τῶν Αἰγινητῶν, ἀλλ' αὐτοῖς κίνδυνος ἐφαίνετο ἐς τὸ τεῖχος
271. κατακλῃεσθαι· ἀναχωρήσαντες δὲ ἐπὶ τὰ μετέωρα, ὡς οὐκ ἐνόμιζον ἀξιόμαχοι εἶναι, ἡσύχαζον. 3. ἐν τούτῳ δὲ οἱ Ἀθηναῖοι κατασχόντες, καὶ χωρήσαντες εὐθὺς πάσῃ τῇ στρατιᾷ, αἱροῦσι τὴν Θυρέαν· καὶ τήν τε πόλιν κα-

νζ'. 2. *Τὸ μὲν ἐπὶ τῇ θαλάσσῃ*] ἤγουν τὸ παραθαλάσσιον. (λ. Ἀὐγ.) — 6. *Ξυνετείχιξε*] συνελαμβάνετο τοῦ τειχίσματος. (λ. Λύγ.) — 11. *Κατασχόντες*] ἀντὶ τοῦ προσορμίσαντες τῇ Θυρέᾳ· οὐ γὰρ λέγει κρατήσαντες.

ti adversari verba *Ἀθηναίων ὑπακούοντες* docet Haack. Ar. Chr. *ἑστασι*. Vind. *ἑστᾶσαν*. Gr. in contextu *ἑστῶσι*.

Cap. LVII. *Αἰγινῆται*. E. rursus *Αἰγινῆναι*.

2. *Αὐτοῖς*. Dan. *τῆς*.

Ἥπερ. Pal. *εἶπερ*.

Ξυνεσελθεῖν. D. I. E. Vind. Ar. Chr. Dan. Flor. *ξυνελθεῖν*. Similis error in editt. irrepsit VI, 100.

Ἠθέλησαν Cass. Aug. It. Vat. H. C. Reg. Gr. B. D. I. E. Ar. Chr. Dan. Ald. Flor. Bas. Haack. Bekk. Goell. Vulgo *ἠθέλησεν*. „Non deterius est *ἠθέλησαν*. Sic mox alia numero plurali, nota in talibus figura." DUK. Cf. adnot. ad I, 106.

Δεομένων. Gr. *δεομένων δέ*.

Αὐτοῖς Cass. Aug. Pal. It. Vat. H. F. C. Reg. (G.) Gr. D. I. Vind. Ar. Chr. Vall. Haack. Bekk. Goell. Vulgo *αὐτούς*. „*Αὐτούς* defendi quidem potest. [Imo non potest, quum non dicendum sit, *periculum videbatur, ne ii includerentur*, sed *periculosum iis videbatur includi*.] Sed praefero coniecturam Porti [*αὐτοῖς*] ab omnibus fere mss. confirmatam." DUK. Marg. Steph. *αὐτός*.

Κατακλῃεσθαι Pal. Vulgo (Haack. Bekk. Goell.) *κατακλεισθαι*. At vid. I. 1. p. 212. sq. Statim colon posuimus pro puncto, ut infra post *Θυρέαν*.

Ἀξιόμαχοι. Reg. (G.) *ἀξιόμαχον*, *οι* s. v. al. man.

3. *Ἐν τούτῳ — Ἀθήνας*. „Dion. Hal. t. II. p. 142. [842.]" DUK.

Θυρέαν. Aug. Pal. H. m. et haud dubie plures *Θυραίαν*. Cass. *Θύραιαν*. Cf. 56, 2. Antea Pal. *αἵρουσι*.

Τήν τε. *Τέ* om. Dan. Post *ἐξε-*

Digitized by Google

τέκαύσαν, καὶ τὰ ἐνόντα ἐξεπόρθησαν· τούς τε Αἰγινήτας, ὅσοι μὴ ἐν χερσὶ διεφθάρησαν, ἄγοντες ἀφίκοντο ἐς τὰς Ἀθήνας, καὶ τὸν ἄρχοντα ὃς παρ' αὐτοῖς ἦν τῶν Λακεδαιμονίων, Τάνταλον τὸν Πατροκλέους· ἐζωγρήθη γὰρ τετρωμένος. 4. ἦγον δέ τινας καὶ ἐκ τῶν Κυθήρων ἄνδρας ὀλίγους, οὓς ἐδόκει ἀσφαλείας ἕνεκα μεταστῆσαι. καὶ τούτους μὲν οἱ Ἀθηναῖοι ἐβουλεύσαντο καταθέσθαι ἐς τὰς νήσους, καὶ τοὺς ἄλλους Κυθηρίους, οἰκοῦντας τὴν ἑαυτῶν, φόρον τέσσαρα τάλαντα φέρειν, Αἰγινήτας δὲ ἀποκτεῖναι πάντας, ὅσοι ἑάλωσαν, διὰ τὴν προτέραν ἀεί ποτε ἔχθραν, Τάνταλον δὲ παρὰ τοὺς ἄλλους τοὺς ἐν τῇ νήσῳ Λακεδαιμονίους καταδῆσαι.

(5. Σικελιῶται ὁμολογίαν ποιοῦνται. Λόγος Ἑρμοκράτους νή — ξέ. Καμαριναίων καὶ Γελῴων ἐκχειρία. ξύλλογος τῶν Σικελιωτῶν ἐς Γέλαν.)

Ὀλ. πθ'. ἔτ. α'. πρὸ Χρ. νκδ'. μετὰ τὴν ιζ'. τοῦ Ἰουλ. μην.

νή. Τοῦ δ' αὐτοῦ θέρους ἐν Σικελίᾳ Καμαριναίοις καὶ Γελῴοις ἐκχειρία γίγνεται πρῶτον πρὸς ἀλλήλους· εἶτα καὶ οἱ ἄλλοι Σικελιῶται ξυνελθόντες ἐς Γέλαν, ἀπὸ

νξ. 6. Μεταστῆσαι] μετανάστας ποιῆσαι. (λ. Ἀύγ.) — 11. Τοὺς ἐν τῇ νήσῳ] τῇ Σφακτηρίᾳ. (λ. Ἀύγ.)

νή. 14. Ἐκεχειρία] διάλειψις τοῦ πολέμου. (λ. Ἀύγ.)

πόρθ. pro puncto comma posuit Bekk.

Πατροκλέους. Cl. Vat. H. D. I. E. Vind. m. Ar. Chr. Dan, *Παντοκλέους*, sed in m. correctum. Pal. Reg. (G.) Gr. *Πατοκλέους*.

4. *Τινὰς, καὶ. Καὶ* om. I.

Καὶ τούτους. Dan. bis exhibet cum distinctione post prius *τούτ.*

Αἰγινήτας δέ. Chr. *Αἰγινήτας τε.* Pal. *Αἰγινῆτας* hic et antea, idemque antea *Ἀθῆνας.*

Ἀεί. Pal. rursus *αἰεί.*

Τάνταλον. I. *Τάλαντρν.*

Παρά. B. (non ut Bekk. scribit, G.) *περί.* Ita etiam ed. Bas. (cod. Bas. non item.)

Τοὺς ἄλλους in marg. habet G.

Τοὺς ἐν τῇ νήσῳ. Lindav. Spicil. p. 7. coniicit *τοὺς ἐκ τῆς νήσου.* „Non male; quanquam etiam vulgata ferri potest." GOELL. *Τούς* perperam om. It.

Λακεδαιμονίους καταδῆσαι. F. ordinem invertit.

CAP. LVIII. *Καμαριναίοις.* Ar. Chr. Dan. *καὶ Καμαρ.*

Γελῴοις Pal. Bekk. Goell. et ita testibus editoribus ad VII, 58. Cass. Aug. semper et Mannerto Geogr. Gr. p. 346. auctore numi. Vulgo (et Haack.) *Γελώοις.* Cod. Bas. *Ἀχελώοις.* Statim Vind. *ἐκκεχειρία.*

Ξυνελθόντες. Mosqu. *ἐξελθ.*

Γέλαν. C. G. *Γέλλαν.* Post *πρέσβεις* virgulam addidit Bekk.

Digitized by Google

πασῶν τῶν πόλεων πρέσβεις, ἐς λόγους κατέστησαν ἀλλήλοις, εἴ πως ξυναλλαγεῖεν· καὶ ἄλλαι τε πολλαὶ γνῶμαι ἐλέγοντο ἐπ' ἀμφότερα, διαφερομένων, καὶ ἀξιούντων, ὡς ἕκαστοί τι ἐλασσοῦσθαι ἐνόμιζον, καὶ Ἑρμοκράτης ὁ Ἕρμωνος Συρακόσιος, ὅσπερ καὶ ἔπεισε μάλιστα αὐτοὺς, ἐς τὸ κοινὸν τοιούτους δὴ λόγους εἶπεν.

(*Λόγος Ἑρμοκράτους. νθ' — ξδ'.*)

(*Μετὰ βραχὺ προοιμίον ὁ πόλεμος νῦν οὐκ εὔκαιρος εἶναι λέγεται.*)

νθ'. „Οὔτε πόλεως ὧν ἐλαχίστης, ὦ Σικελιῶται, τοὺς λόγους ποιήσομαι, οὔτε πονουμένης μάλιστα τῷ

νη'. 2. ** Ξυναλλαγεῖεν] φιλιωθεῖεν. (Βασ.) — 3. Ἀξιούντων —] ἀντὶ τοῦ δηλούντων καὶ προσαγγελλόντων οἷα ἕκαστος παρὰ τοῦ ἑτέρου ἐπλεονεκτήθη.

νθ'. 7. Οὔτε πόλεως ὧν ἐλαχίστης — —] δημηγορία Ἑρμοκράτους Συρακουσίου. τὸ προοίμιον ἐκ συστάσεως τοῦ ἰδίου προσώπου. ** σημείωσαι [δὲ] τὸ παθητικόν. (*Ανών.*) Τέμνεται ἡ δημηγορία αὕτη τῷ δικαίῳ καὶ τῷ συμφέροντι καὶ τῷ δυνατῷ, οὕτω· δίκαιον μὲν γάρ, φησὶ, πρὸς τοὺς ὁμοφύλους συμβῆναι, καὶ πρὸς τοὺς Ἀθηναίους αἱρεῖσθαι πόλεμον· εἶτα δὲ καὶ συμφέρον μὴ ἐᾶν καταδουλωθῆναι Σικελίαν· τὸ δὲ δυνατὸν, ὅτι, ἐὰν ὁμονοήσωμεν, ῥᾳδίως τῶν ἐναντίων περιεσόμεθα. — Οὔτε πόλεως ὧν ἐλαχίστης, ὦ Σικελιῶται] οἱ περὶ καταλύσεως πολέμου παραινοῦντες ἀεὶ ὑποπτεύονται διὰ φόβον καὶ μαλακίαν τὸν πόλεμον φεύγοντες ταῦτα παραινεῖν. διὸ καὶ ὁ Ἑρμοκράτης τοῦτο ποιεῖ. ἅμα δὲ καὶ αὔξει τὸ ὄνομα τῆς ἑαυτοῦ πατρίδος, ἵνα συγγνώμην ἔχωσιν αὐτῷ οἱ λόγοι, μετὰ παῤῥησίας καὶ φρονήματος προερχόμενοι. τὸ δὲ οὐ πονουμένης προσέθηκεν, ἵνα μή τις εἴπῃ ὡς ὅτι διὰ τοῦτο ἐᾷ τῆς εἰρήνης, ὅτι ἡ πόλις αὐτοῦ νῦν καταπονεῖται. — 8. Οὔτε πονουμένης] κατ' ἀμ-

Κατέστησαν ἀλλήλοις. C. *κατήστησαν ἀλλήλους.*

Ἐλέγοντο. E. *ἐλέγοντο δή.*

Ἐπ' ἀμφότερα. Reg. (G.) *ὑπ' ἀμφοτέρων.* At vid. c. 88. et Ind. verb. I. *ἐπ' ἀμφοτέροις.*

Ἕκαστοί τι. Posterius om. C. Reg. (G.)

Ἑρμοκράτης. H. Vat. *ὁ Ἑρμ.* Cf. script. discr. ad II, 19. et IV, 2.

Συρακόσιος Bekk. Goell. Vulgo (et Haack.) *Συρακούσιος.* Cass. *Συρακοσσιος*, „et sic fere ubique.“ (DUK.) m. *Συβρακούσιος.* Cf. script. discr. III, 86.

Μάλιστα. D. I. *μᾶλλον.*

Ἐς τὸ κοινόν. Olim virgula post haec erat. „Videtur posse et ad seqq. referri.“ STEPH. et Fr. PORT. „Distinctionem Porti confirmat Cass. Thuc. III, 37. *τῶν ἀεὶ λεγομένων ἐς τὸ κοινόν.* et mox principio cap. sequ.“ DUK. Sic *ἐς τὸ πλῆθος εἰπεῖν* I, 72. et similia.

Τοιούτους δὴ λόγους. F. *τοιούτοις δὴ λόγοις.* Pro *δή* Gr. *δέ.*

Digitized by Google

πολέμῳ, ἐς κοινὸν δὲ τὴν δοκοῦσάν μοι βελτίστην γνώμην εἶναι ἀποφαινόμενος τῇ Σικελίᾳ πάσῃ."

2. „Καὶ περὶ μὲν τοῦ πολεμεῖν, ὡς χαλεπὸν, τί ἂν τις πᾶν τὸ ἐνὸν ἐκλέγων ἐν εἰδόσι μακρηγοροίη; οὐδεὶς γὰρ οὔτε ἀμαθίᾳ ἀναγκάζεται αὐτὸ δρᾷν, οὔτε φόβῳ, ἣν οἴηταί τι πλέον σχήσειν, ἀποτρέπεται· ξυμβαίνει 272. δὲ τοῖς μὲν τὰ κέρδη μείζω φαίνεσθαι τῶν δεινῶν, οἱ δὲ τοὺς κινδύνους ἐθέλουσιν ὑφίστασθαι πρὸ τοῦ αὐτίκα τι ἐλασσοῦσθαι. 3. αὐτὰ δὲ ταῦτα εἰ μὴ [ἐν] καιφότερα συνιστᾷ ἑαυτὸν ὁ Ἑρμοκράτης, καὶ κατὰ τὸ εἶναι ἐνδόξου πόλεως, καὶ κατὰ τὸ μὴ πονεῖν τῷ πολέμῳ τὴν πόλιν αὐτοῦ· δι' ἃ μάλιστα εἰώθασιν ἀπιστεῖν πρὸς τοὺς λέγοντας. §. Διὰ δύο αἰτίας εἰώθαμεν ἀπιστεῖν τοῖς συμβουλεύουσιν, ἢ διὰ τὸ εἶναι ἄδοξον τὸ πρόσφορον, ἢ διὰ τὸ οἰκείων ἕνεκα χρειῶν λέγειν. τοῦ πρώτου παράδειγμα Ὅμηρος· [Δαιμόνι' ἀτρέμας ἧσο καὶ (λ. Κασσ. Ἀύγ.)] ἄλλων μῦθον ἄκουε, Οἳ σέο φέρτεροί εἰσιν. τοῦ δευτέρου· Σῷ οἴκῳ δῶρον ποτιδέγμενος, [αἶκε πόρῃσιν, (λ. Κασσ. Ἀύγ.)] καὶ τὰ ἑξῆς. ἅπερ ἀμφότερα μαρτυρεῖ ἑαυτῷ [ὁ] Ἑρμοκράτης μὴ ὑπάρχειν.

8. Καὶ περὶ μὲν τοῦ πολεμεῖν — —] συμπέρασμα. τὸ γὰρ προοίμιον ὁμολογούμενον. — ** Τοῦ πολεμεῖν] τὰ μετὰ ἄρθρου λεγόμενα ἀπαρέμφατα ὀνόματα μᾶλλόν εἰσιν ἢ ῥήματα. (Βασ.) — Τί ἂν τις πᾶν τὸ ἐνὸν ἐκλέγων — —] τὸ μὲν „πᾶν τὸ ἐνὸν ἐκλέγων" πάντα ὅσα ἔνεστι πολέμῳ κακὰ [, φησὶν,] ἐπιλεγόμενος. ἡ δὲ διάνοια· περιττὸν ἐν εἰδόσι διηγεῖσθαι ὡς χαλεπόν ἐστι πόλεμος· οὔτε γὰρ ἐφίεταί τις αὐτοῦ δι' ἄγνοιαν, οὔτε ἀποτρέπεται διὰ φόβον, ἄν γε δὴ σχήσειν πλέον ἐλπίσῃ. — 5. Οὔτε ἀμαθίᾳ] γλυκὺς ἀπείρῳ πόλεμος. — 6. Ξυμβαίνει δὲ τοῖς μὲν — —] συμβαίνει δὲ τοῖς μέν, ἐρῶσι τῶν χρημάτων, τὰ κέρδη ποιεῖν αὐτοὺς καταφρονεῖν τῶν δεινῶν τῶν ἐν τοῖς πολέμοις, τοῖς δὲ ὑπὲρ τοῦ μὴ πλεονεκτηθῆναι παρὰ τῶν ἄλλων καὶ δουλεῦσαί τινι. — 7. Οἱ δέ] οἱ πολεμησείοντες. ** Ὅμηρος· χρειοῖ ἀναγκείῃ, πρό τε. (Ἀύγ.) — ** Αὐτὰ δὲ ταῦτα] τὰ δύο ἅπερ εἶπεν. (Ἀύγ.) — 9. Εἰ μὴ ἐν καιρῷ — —] εἰ δὲ μὴ ἐν καιρῷ ἑκάτεροι πολεμεῖν ἐθέλοιεν, οἵ τε τῶν ἐξ αὐτοῦ κερδῶν δηλονότι ἐφιέμενοι καὶ οἱ ἀγωνιζόμενοι μὴ ἐλασσοῦσθαι, ὠφελιμώτατα ἂν διαλλαγεῖεν. συνίστησι δὲ διὰ τούτων, ὅτι οὐ δεῖ τὸν περὶ εἰρήνης συμβουλεύοντα πολέμου κατηγορεῖν, (ἦλον γὰρ,) ἀλλὰ μᾶλλον τῆς κατ' αὐτὸν ἀκαιρίας.

Cap. LIX, 2. *Μὲν τοῦ.* Ar. *τοῦ μέν.*

Τί ἄν τις. I. *τίς ἄν τις.* Procop. Goth. p. 252. *τί ἄν τις ἐν ὑμῖν μακρολογοίη.* (Idem *ἐν εἰδόσι* p. 306.) Quare cave ne *τί τις ἄν* scribas ob praecepta Thomae Mag.

Οἴηταί τι. Vat. *οἴηταί τις.* Post *ἀποτρέπεται* autem male vulgo (Haack. Bekk.) plene, post *ἐλασσοῦσθαι* autem minus plene interpungebatur.

Μείζω s. v. al. man. E.

Αὐτίκα τι. Τί om. F.

3. *Ἐν καιρῷ. Ἐν* om. Cass. Aug. It. Vat. H. C. Reg. (G.) Gr. E. m. Ar. Chr. Dan. Bekk.

Digitized by Google

ῥῳ τύχοιεν ἑκάτεροι πράσσοντες, αἱ παραινέσεις τῶν ξυναλλαγῶν ὠφέλιμοι."

(Γίγνεσθαι γὰρ αὐτὸν διὰ ἴδια διάφορα· νῦν δὲ περὶ τῶν κοινῶν σκεπτέον εἶναι, τῶν Ἀθηναίων πάσῃ τῇ Σικελίᾳ ἐπιβουλευόντων.)

4. „Ὃ καὶ ἡμῖν ἐν τῷ παρόντι πειθομένοις πλείστου ἂν ἄξιον γένοιτο. τὰ γὰρ ἴδια ἕκαστοι εὖ βουλευόμενοι δὴ θέσθαι, τό τε πρῶτον ἐπολεμήσαμεν, καὶ νῦν πρὸς ἀλλήλους δι' ἀντιλογιῶν πειρώμεθα καταλλαγῆναι, καὶ ἦν ἄρα μὴ προχωρήσῃ ἴσον ἑκάστῳ ἔχοντι ἀπελθεῖν, πάλιν πολεμήσομεν."

ξ'. „Καίτοι γνῶναι χρὴ ὅτι οὐ περὶ τῶν ἰδίων μόνον, εἰ σωφρονοῦμεν, ἡ ξύνοδος ἔσται, ἀλλ' εἰ

νθ'. 1. Ἑκάτεροι] οἵ τε διὰ κέρδος ἴδιον πολεμοῦντες [δηλονότι] καὶ οἱ διὰ τὸ μὴ ἀφαιρεθῆναί [τι] τῶν ὑπαρχόντων [αὐτοῖς]. — 4. Τὰ γὰρ ἴδια —] τὸ ἑξῆς, τὰ ἴδια εὖ θέσθαι. — Ἕκαστοι] τῶν Σικελιωτῶν. (λ. Λύγ.) — 5. Θέσθαι] οἰκονομῆσαι. (λ. Λύγ.) — Νῦν πρὸς ἀλλήλους δι' ἀντιλ. — —] τὸ μὲν δι' ἀντιλογιῶν, δι' ἀντιῤῥήσεων καὶ λόγων· τὸ δὲ καταλλαγῆναι, διαλλαγῆναι· ἴσον δὲ τὸ προσῆκον ἑκάστῳ καὶ δίκαιον· τὸ δ' ὡς ἐγὼ κρίνω, ὡς ἐγὼ νομίζω. ἡ δὲ διάνοια· εἰ νῦν, φησίν, μὴ προχωρήσει ἐκ τῆς ἐκκλησίας ταύτης τὸ νομίζειν ἕκαστον ἔχοντα τὸ ἴδιον ἀπελθεῖν, ἀλλὰ τοὐναντίον ἀδικεῖσθαι, ὕστερον πάλιν πολεμήσομεν, ἂν δόξῃ, μετὰ τὸ ἀπελθεῖν τοὺς Ἀθηναίους. τέως δὲ νῦν βέλτιόν ἐστι τὸ διαλλαγῆναι, ἐν ὅσῳ ἐπίκεινται ἡμῖν οἱ Ἀθηναῖοι. — 7. Ἴσον ἑκάστῳ ἔχοντι] Ὅμηρος· Μή τίς μοι ἀτεμβόμενος κίοι ἴσης.

ξ'. 10. Ἡ ξύνοδος] ἡ συναγωγὴ ἡ ἐνθάδε. (λ. Λύγ.)

Goell. Sed *in tempore* (*s. opportune*) Graece usquam καιρῷ sine praepositione dici non meminimus, quanquam Latine *tempore* (*tempori*) et *loco* nonnunquam ita leguntur, et καιρόν in accusat. scripsit Soph. Ai. v. 34. Cf. Ind. in καιρός. Valla tamen et Stephan. hic aliter interpretantur. Vid. adnot.

4. *Βουλευόμενοι*. C. B. D. βουλόμενοι, quod non displicet.

Τό τε. Ante Haack. male τότε, quod „nimis indefinitum est."

Πρῶτον. Ar. Chr. Dan. πρότερον, Chr. tamen in marg. πρῶτον.

Ἀντιλογιῶν. Gr. ἀντιλογίαν. „Suid. in ἀντιλ. ad h. l. respexit." GOTTL. Et Bekk. Anecdd. p. 407.

Καταλλαγῆναι. Gr. διαλλαγ., sed in marg. καταλλαγ. „Καταλλ. φασὶ διαλλαγῆναι· Θουκυδ. τετάρτῳ δίς (vid. c. 61.)" Anecdd. Bekk. p. 102.

Πάλιν πολεμήσομεν. Scholiasta insuper ὡς ἐγὼ κρίνω invenisse existimandus est, quae nunc c. 60. leguntur.

CAP. LX. *Τῶν ἰδίων*. Gr. τὴν τῶν ἰδίων.

Μόνον. E. μόνων.

Digitized by Google

ἐπιβουλευομένην τὴν πᾶσαν Σικελίαν, ὡς ἐγὼ κρίνω, ὑπ' Ἀθηναίων δυνησόμεθα ἔτι διασῶσαι· καὶ διαλλακτὰς πολὺ τῶν ἐμῶν λόγων ἀναγκαιοτέρους περὶ τῶνδε Ἀθηναίους νομίσαι, οἳ, δύναμιν ἔχοντες μεγίστην τῶν Ἑλλήνων, τάς τε ἁμαρτίας ἡμῶν τηροῦσιν, ὀλίγαις ναυσὶ παρόντες, καὶ ὀνόματι ἐννόμῳ ξυμμαχίας τὸ φύσει πολέμιον εὐπρεπῶς ἐς τὸ ξυμφέρον καθίστανται. 2. πόλεμον γὰρ αἱρομένων ἡμῶν, καὶ ἐπαγομένων αὐτοὺς, ἄνδρας οἳ καὶ τοὺς μὴ ἐπικαλουμένους αὐτοὶ ἐπιστρατεύ-

ξ'. 2. *Καὶ διαλλακτάς*] *λείπει τὸ χρή· [βούλεται γὰρ εἰπεῖν, ὅτι (λ. Κασσ. Ἀνγ.)] καὶ χρὴ διαλλακτὰς· ἀπὸ κοινοῦ δὲ ἀκουστέον τὸ ὡς ἐγὼ κρίνω.* — 3. ** *Περὶ τῶνδε*] *διαλλαγῶν.* (Βασ.) — 4. *Οἳ δύναμιν ἔχοντες μεγ.*] *ἦγουν δυνατώτατοι ὄντες.* (λ. Ἀνγ.) — 5. *Ὀλίγαις ναυσὶ παρόντες*] *τινὰ τὰ ὀλίγαις ναυσὶν οὐκ ἔχουσι.* — 6. *Καὶ ὀνόματι ἐννόμῳ —*] *πρόσχημα μὲν ποιοῦνται τὴν πρὸς τοὺς Χαλκιδεῖς συμμαχίαν, ὡς διὰ συγγένειαν νομίμως αὐτοῖς ξυμμαχοῦντες· φύσει δὲ πολέμιοι πᾶσιν ὄντες Σικελιώταις, τὸ ἴδιον συμφέρον διὰ τῆς περὶ τὸ συμμαχεῖν εὐπρεπείας κατασκευάζονται, τουτέστι θηρῶνται.* — 7. *Εὐπρεπῶς*] *πιθανῶς.* (λ. Ἀνγ.) — *Ἐς τὸ ξυμφέρον*] *εἰς τὸ ἑαυτοῖς ξυμφέρον.* — 8. *Τοὺς ἄνδρας*] *τοὺς Ἀθηναίους* [*δηλονότι*].

Ἐπιβουλευομένην τὴν πᾶσαν. C. *ἐπιβουλευομεν ην πᾶσ.*

Δυνησόμεθα. I. *δεησόμεθα*, in marg. al. man. *δυνησ.*

Διασῶσαι. Pal. *διασῶται.* Cf. de Art. crit. p. 150.

Ὀλίγαις ναυσί. „Non agnoscunt quidam, inquit Schol. At nostri servant, idque, opinor, recte; nam paulo infra *πλέονί ποτε στόλῳ ἐλθόντας αὐτούς* huc spectant.“ WASS.

Τὸ φύσει πολέμιον exciderunt fortasse in I., quanquam certo ex Gail. adnot. cognosci nequit.

2. *Αἱρομένων.* Reg. Gr. *αἰρομένων.* I. *αἰρουμένων*, sicut Vallam legisse ex interpretatione *si bellum elegeritis* coniicit Steph. „*Αἱρεσθαι πόλεμον* est etiam I, 80. III, 39. et apud alios.“ DUK.

Αὐτούς Cass. (in quo rec. corrector fecit *αὖ τούς*,) Aug. (ubi circumfl. videtur eras.) Cl. Pal. Reg. Mosqu. m. Ar. Chr. Bekk. Goell. Cf. Krüg. ad Xen. Anab. II, 3, 14. Inepte vulgo (et Haack.) *αὖ τούς* sine virgula post *τούς*. Placeat fortasse cuipiam Reiskii coniectura *αὐτῶν, nobis ipsis, nostra sponte.*

Τοὺς — ἐπικαλουμένους Cass. Aug. Pal. It. Vat. Bekk. Goell. Vulgo (et Haack.) *τοῖς — ἐπικαλουμένοις.* In Gr. *ἐπικαλουμένοις* erasa vetere scriptura factum. G. *ἐπικαλουμένος* et ῑ s. v. habet. In m. supra dat. script. *γρ. τοὺς —ους.* „Infra c. 92. *Εἰώθασι — τὸν μὲν ἡσυχάζοντα — ἀδεέστερον ἐπιστρατεύειν.* Et Stephanus aliique ex Euripide adferunt *οἳ τήνδ' ἐπεστράτευσαν πόλιν.*“ DUK., qui tamen, quod tunc accusat. ex solo Cass. enotatus erat, et alterum aliquanto usitatius sit, nihil novandum arbitrabatur. „Cf. Abresch. p. 429. Valck. ad Eur. Phoen. v. 292.

Digitized by Google

οὐσι, κακῶς τε ἡμᾶς αὐτοὺς ποιούντων τέλεσι τοῖς οἰκείοις, καὶ τῆς ἀρχῆς ἅμα προκοπτόντων ἐκείνοις, εἰκὸς, ὅτ' ἂν γνῶσιν ἡμᾶς τετρυχωμένους, καὶ πλέονί ποτε στόλῳ ἐλθόντας αὐτοὺς, τάδε πάντα πειράσασθαι ὑπὸ σφᾶς ποιεῖσθαι."

ξά. „Καίτοι τῇ ἑαυτῶν ἑκάστους, εἰ σωφρονοῦμεν, χρὴ τὰ μὴ προσήκοντα ἐπικτωμένους μᾶλλον, ἢ τὰ 273. ἕτοιμα βλάπτοντας, ξυμμάχους τε ἐπάγεσθαι, καὶ τοὺς κινδύνους προσλαμβάνειν· νομίσαι τε στάσιν μάλιστα φθείρειν τὰς πόλεις καὶ τὴν Σικελίαν, ἧς γε οἱ ἔνοικοι

ξ'. 1. *Ποιούντων*] ἀπὸ κοινοῦ τὸ ἡμῶν. — *Τέλεσι*] ταῖς δαπάναις. ὅθεν καὶ εὐτελὴς καὶ πολυτελής. — 2. *Ἐκείνοις*] τοῖς Ἀθηναίοις. τὸ δὲ προκοπτόντων, προοδοποιούντων, καὶ εὐτρεπιζόντων, [ἦγουν προκοπὴν καὶ ἐπίδοσιν ποιούντων ἡμῶν τῆς ἀρχῆς ἐκείνων. (λ. *Αὐγ.*)] ἡ δὲ διάνοια· τῶν Σικελιωτῶν ἡμῶν αὐτῶν κακῶς αὐτοὺς διαθέντων τοῖς οἰκείοις δαπανήμασι, καὶ περιαιρούντων καὶ περικοπτόντων τῆς ἡμετέρας ἀρχῆς πρὸς τὸ ἐκείνοις συμφέρον, εἰκὸς τοὺς Ἀθηναίους, ὅταν γνῶσιν ἡμᾶς ἐκτετρυχωμένους, ἐπελθόντας πλείονι στρατῷ καταδουλώσεσθαι τὰ ἐνταῦθα.

ξά. 6. *Καίτοι τῇ ἑαυτῶν — —*] ὁ νοῦς τῶν λεγομένων τοιοῦτος· χρὴ, εἰ σωφρονοῦμεν, ἑκάστους ἡμῶν τῶν Σικελιωτῶν τὰ ἀλλότρια ἐπικτωμένους, καὶ ἁρπάζοντας, μᾶλλον τοὺς συμμάχους ἐπάγεσθαι, ἤπερ τὰ ἕτοιμα βλάπτοντας· τουτέστιν, ὅταν, τῶν ἰδίων ἡμῶν καλῶς ἐχόντων, καὶ ἀδεῶς διακειμένων, βουλώμεθα κατὰ πλεονεξίαν ἀλλότρια ἐπικτήσασθαι, τότε δεῖ τοὺς συμμάχους ἐπάγεσθαι, καὶ τοὺς κινδύνους ὑφίστασθαι, καὶ μὴ ὅταν ὁ κίνδυνος περὶ τῶν οἰκείων ἡμῶν γίγνηται. — 7. *Τὰ μὴ προσήκοντα*] τὰ ἀλλότρια. — 9. *Νομίσαι*] ἀπὸ κοινοῦ τὸ χρή. — 10. *Τὰς πόλεις καὶ τὴν Σικελίαν*] τὴν Σικελίαν πᾶσαν ὡς μίαν πόλιν ἔλαβε. καὶ φησὶν ὅτι, εἰ πόλεμον ἔξομεν, διαφθαρησόμεθα. ὅπερ ἐπὶ μιᾶς πόλεως ξυμβαίνει.

et ad Hippol. v. 526." GOTTL. Add. nos 1. 1. p. 132.

Κακῶς — οἰκείοις. „Thom. Mag. v. *τέλος*." WASS. *Κακῶς — ἐκείνοις* Bekk. Anecdd. p. 169.

Ποιούντων τέλεσι. Dan. *τελοῦσι*, om. *ποιούντ.*

Οἰκείοις. D. I. *ἰδίοις*, ut VI, 16.

Προκοπτόντων ἐκείνοις. Ar. Chr. *προσκοπτόντων, ἐκεῖνοι.* Et *ἐκεῖνοι* etiam Dan. *Προκοπτόντων ἐκείνων* D. Vid. adnot.

Ἐλθόντας. Pal. *ἐλθώντας.* Mosqu. *ἐπελθόντας.*

Πειράσασθαι Cass. (in quo rec. man. int. vers. *πειράσεσθαι,*) Aug. F. It. Vat. H. (in quo *ε s. σα* al. man.) Haack. Bekk. Goell. Vulgo *πειράσεσθαι.* Cf. I. 1. p. 158.

Cap. LXI. *Προσλαμβάνειν.* Aug. Ar. Chr. *προλαμβ.*, sed Aug. raso *ς*. Pro *ἕτοιμα* antea Bekk. *ἑτοῖμα*, ut passim vidimus.

Ἧς. D. *οἷς.*

Γε om. D. I.

Digitized by Google

ξύμπαντες μὲν ἐπιβουλευόμεθα, κατὰ πόλεις δὲ διέσταμεν.“

(*Οὐ γὰρ ἐπὶ Χαλκιδέων βοηθείᾳ, ἀλλὰ διὰ πλεονεξίαν τοὺς Ἀθηναίους ἐς τὴν Σικελίαν ἐλθεῖν· ἀλλὰ γὰρ οὐ τοσοῦτον ἐκείνους, ὅσον τοὺς Σικελιώτας μεμπτέους εἶναι.*)

2. „*Ἃ χρὴ γνόντας καὶ ἰδιώτην ἰδιώτῃ καταλλαγῆναι καὶ πόλιν πόλει, καὶ πειρᾶσθαι κοινῇ σώζειν τὴν πᾶσαν Σικελίαν· παρεστάναι δὲ μηδενὶ ὡς οἱ μὲν Δωριῆς ἡμῶν πολέμιοι τοῖς Ἀθηναίοις, τὸ δὲ Χαλκιδικὸν τῇ Ἰάδι ξυγγενείᾳ ἀσφαλές. 3. οὐ γὰρ τοῖς ἔθνεσιν ὅτι δίχα πέφυκε, τοῦ ἑτέρου ἔχθει ἐπίασιν, ἀλλὰ τῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν ἐφιέμενοι, ἃ κοινῇ κεκτήμεθα. 4. ἐδή-*

ξα'. 1. Ἐπιβουλευόμεθα] *ἐξ ἐπιβουλῆς πάσχομεν.* (λ. *Ἀνγ.*) — *Κατὰ πόλεις δὲ διέσταμεν*] *διῃρημένως κατοικοῦμεν.* (λ. *Ἀνγ.*) — 4. *Κοινῇ*] *γνώμῃ δηλονότι.* (λ. *Ἀνγ.*) — 5. *Παρεστάναι δὲ μηδενί*] *μὴ νομιζέτωσαν διὰ τὸ συγγενεῖς, φησὶν, εἶναι τοῖς Ἀθηναίοις οἱ Χαλκιδεῖς ἐν ἀσφαλείᾳ καθεστάναι. οὐ γὰρ διότι πολέμιόν ἐστι τὸ Δωρικὸν γένος τῷ Ἰωνικῷ, διὰ τοῦτο ἐχθροὶ ὄντες οἱ Ἀθηναῖοι τοῖς Δωριεῦσιν ἐπίασιν, ἀλλ' ἐφιέμενοι τῶν ἐν τῇ Σικελίᾳ ἀγαθῶν. τὸ δὲ, αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης παρέσχοντο, ἀντὶ τοῦ, προθυμότερον ἦπερ ἐχρῆν κατὰ συμμαχίαν ἐβοήθησαν.* — *Παρεστάναι δέ*] *δόξαν ἐπέρχεσθαι.* (λ. *Ἀνγ.*) [** *ἀπὸ κοινοῦ τὸ χρή. Κασσ.*] — 7. *Τῇ Ἰάδι ξυγγενείᾳ*] *ὡς ἀναφέρον δηλονότι τὸ γένος εἰς τοὺς Ἴωνας.* (λ. *Ἀνγ.*) — *Ἀσφαλές*] *εἰρηναῖον, ἐπιτήδειον,* [*ἀκίνδυνον.* (λ. *Ἀνγ.*)] — 8. *Δίχα πέφυκεν*] *ἡ Σικελία δηλονότι.* — *Ἐπίασιν*] *οἱ Ἀθηναῖοι.* (λ. *Ἀνγ.*) — 9. *Ἃ κοινῇ κεκτήμεθα*] *ἤγουν ὧν κοινὴν κεκτήμεθα τὴν ἀπόλαυσιν.* (λ. *Ἀνγ.*)

2. *Καταλλαγῆναι.* Alterum λ s. v. al. man. I.

Σώζειν. Pal. rursus *σῴζειν*, ut c. 60. *διασῶσαι.* Post *Σικελ.* autem ante Haack. male plene interpungebatur.

Οἱ μέν. Μέν de. Mosqu.

Δωριῆς Aug. Pal. Bekk. Goell. Vulgo (et Haack.) *Δωριεῖς*, nonnulli libri *Δωριῆς*. Vid. I. 1. p. 221. et 471.

Ἰάδι. Cod. Bas. Gr. Vind. Chr. *ἰδίᾳ*, sed in Gr. marg. recte *Ἰάδι.*

3. *Τοῖς ἔθνεσιν. Τοῖς* om. Reg. (G.)

Τοῦ ἑτέρου. „Distinctionem post *ἑτέρου* tollendam esse censet Fr. Port. Eam vero post *πέφυκε* reponendam suadet Ae. Port. atque ita cod. Bar.“ HUDS. In Cass. Gr. et Aug. neque post *ἑτέρου* neque post *πέφυκε* distinctio est. „Etiam Steph. et alii coniungunt *ὅτι δίχα πέφυκε τοῦ ἑτέρου*, et vertunt, *quod alter ab altero dissidet.* Mihi Fr. Portus recte videtur distinctionem ponere post *ἑτέρου*, hac sententia, *quod diversi generis atque originis sint* [*sit Sicilia*].“ DUK.

Ἐπίασιν. Dan. *ἐπίασεν.*

Τῇ Σικελίᾳ. Τῇ om. D. I.

Ἀγαθῶν. I. *καλῶν.*

Digitized by Google

λωσαν δὲ νῦν ἐν τῇ τοῦ Χαλκιδικοῦ γένους παρακλήσει· τοῖς γὰρ οὐδεπώποτε σφίσι κατὰ τὸ ξυμμαχικὸν προσβοηθήσασιν αὐτοὶ τὸ δίκαιον μᾶλλον τῆς ξυνθήκης προθύμως παρέσχοντο. 5. καὶ τοὺς μὲν Ἀθηναίους ταῦτα πλεονεκτεῖν τε καὶ προνοεῖσθαι, πολλὴ ξυγγνώμη· καὶ οὐ τοῖς ἄρχειν βουλομένοις μέμφομαι, ἀλλὰ τοῖς ὑπακούειν ἑτοιμοτέροις οὖσι. πέφυκε γὰρ τὸ ἀνθρώπειον διὰ παντὸς ἄρχειν μὲν τοῦ εἴκοντος, φυλάσσεσθαι δὲ τὸ ἐπιόν. 6. ὅσοι δὲ, γιγνώσκοντες αὐτὰ, μὴ ὀρθῶς προσκοποῦμεν, μηδὲ τοῦτό τις πρεσβύτατον ἥκει κρίνας,

ξά. 2. Σφίσι] τοῖς Ἀθηναίοις. (λ. Αὐγ.) — 5. Προνοεῖσθαι] ἀντὶ τοῦ προσκέπτεσθαι. (λ. Αὐγ.) — 7. Ἑτοιμοτέροις] ἀντὶ τοῦ ἑτοίμοις. (λ. Αὐγ.) — Πέφυκε] φύσιν ἔχει. (λ. Αὐγ.) — 9. Τὸ ἐπιόν] ἤγουν τὸ κρεῖττον. (λ. Αὐγ.) — Ὅσοι δὲ γιγνώσκοντες αὐτὰ — —] ὅσοι, φησὶν, γιγνώσκοντες αὐτὸ, ὅτι πέφυκεν ἄνθρωπος διὰ παντὸς ἄρχειν μὲν ἐθέλειν τοῦ εἴκοντος, φυλάττεσθαι δὲ τὸ ἐπιὸν, μὴ ὀρθῶς προνοοῦμεν καὶ προσκοποῦμεν, ἁμαρτάνομεν. — 10. Πρεσβύτατον ἥκει κρίνας] τὸ ἑξῆς, πρεσβύτατον εὖ θέσθαι. τουτέστιν, ἐν πρώτοις [τοῦτο] φυλάξασθαι καὶ εὖ διαθέσθαι. τουτέστι τὴν δούλωσιν.

4. Τοῖς. F. τοῖςδε.

Οὐδεπώποτε Cass. Aug. Cl. F. Pal. Vat. H. Cam. Gr. I. Vind. m. Ar. Chr. Haack. Bekk. Goell. (nisi quod ex Parr. οὐδε πωποτε et ρὐδε πω ποτε divisim affertur.) Vulgo οὐδέποτε. „Plerique mss. οὐδεπώποτε, et sic legendum. Vid. Thom. Mag. p. 134. Xenoph. Mem. I, 711. Καίτοι γε οὐδεπώποτε ὑπέσχετο διδάσκαλος εἶναι τούτου. Ubi [I, 1, 13.] pro μέγιστον legendum μέγιστα φρονοῦντας, et infra [§. 14.] θείων οὐδέν. Firmat Euseb. Praep. XV, 62. eiusque cod. Ioannens. Denique [§. 11.] ἁπάντων, non πάντων, uti mss. Pithoei. Noster p. 318. [V, 45] illud alterum maluit [sed necessario]. Isocrates Paneg. 103, 42. divisim exhibet οὐδὲ πώποτ' ἐβίωσαν. Sic μηδὲ μίαν idem III, 48. et similia." WASS. Add. Lob. ad Phryn. p. 458.

5. Πλεονεκτεῖν τε. Τέ om. D. I. In fine huius verborum ambitus Bekk. in minn. exempll. cum Gr. οὖσιν. Cf. Farr. discr. script. Pro ἄρχειν C. ἄρχοις.

Πέφυκε — τὸ ἐπιόν. „Stob. Serm. LII. p. 364." DUK.

Ἀνθρώπειον. D. ἀνθρώποιον.

Εἴκοντος. Gr. Dan. εἰκότος, sed in Gr. emend. ex εἴκοντος.

Φυλάσσεσθαι — τὸ ἐπιόν. Φυλάξασθαι τὸ ἐπιόν paulo alio modo habes Phalar. Epist. 115.

6. Προσκοποῦμεν. H. σκοποῦμεν, cum προ s. v. al. man. (Male idem σκοπ. ex Cass. affert Bekk.)

Μηδέ. Aug. Bar. Mosqu. μήδε. Gr. μήτε. m. Ar. Chr. μὴ δέ.

Πρεσβύτατον. F. C. Reg. (G.) πρεσβύτερον, sed Reg. (G.) supra rec. man. τατον.

τὸ κοινῶς φοβερὸν ἅπαντας εὖ θέσθαι, ἁμαρτάνομεν."

(Τὰ μὲν τῆς ξυμβάσεως καὶ καθ' ὅλον τῆς εἰρήνης ἀγαθα, τὸ δὲ ἀστάθμητον τοῦ πολέμου.)

7. „Τάχιστα δ' ἂν ἀπαλλαγὴ αὐτοῦ γένοιτο, εἰ πρὸς ἀλλήλους ξυμβαίημεν· οὐ γὰρ ἀπὸ τῆς αὐτῶν ὁρμῶνται Ἀθηναῖοι, ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. 8. καὶ οὕτως οὐ πόλεμος πολέμῳ, εἰρήνη δὲ * διαφοραὶ *

ξα'. 1. Τὸ κοινῶς φοβερὸν ἅπαντας εὖ θέσθαι] κοινῶς φοβερὸν ἡ δούλωσις ἡ παρὰ τῶν Ἀθηναίων ἐπιβουλευομένη πᾶσιν ὁμοίως. [ὡς καὶ Ἱπποκράτης· δύο πόνων ἅμα γινομένων ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον. (Κασσ. Αὐγ.)] — 3. Τάχιστα δ' ἂν ἀπαλλαγὴ — —] εἰ πρὸς ἀλλήλους εἰρηνεύσαιμεν, τάχιστα ἂν ἡ τῶν Ἀθηναίων ἐπιβουλὴ ἀδεεστέρα ἔσται. καὶ τὴν αἰτίαν ἐπιφέρει, διότι οὐχὶ ἀπὸ τῆς ἰδίας γῆς ὁρμῶνται πρὸς ἡμᾶς, (οὐ γὰρ εἰσιν ἀστυγείτονες,) ἀλλ' ἐκ τῆς τῶν ἐπικαλεσαμένων. καὶ εἰ τοῦτο ποιήσομεν οὕτως, οὐκέτι πόλεμος πόλεμον διαδέξεται, ἀλλ' εἰρήνη τὴν διαφοράν. σκόπει δὲ πῶς τὸν πόλεμον εὐφήμως διαφοράν καλεῖ. — Αὐτοῦ] τοῦ κοινῶς φοβεροῦ [δηλαδή]. — 5. Τῶν ἐπικαλεσαμένων] ἤγουν τῶν Χαλκιδέων. (λ. Αὐγ.) — 6. Οὕτως] οὕτως, ὡς εἶπεν, ἤτοι εἰ πρὸς ἀλλήλους ξυμβαίημεν.

Κοινῶς. F. *κοινόν.*

Ἅπαντας. Marg. Steph. *ἅπαντα.* Et in m. ς eras.

7. *Ἀπαλλαγὴ αὐτοῦ.* C. Reg. (G.) *αὐτοῦ ἀπαλλάγή.*

Οὐ γὰρ etc. „Parentheseos signa, quibus [in Lips. ed.] haec verba usque ad *ἐπικαλ.* inclusa sunt, sustuli. Sententia enim non tam interiecta ceteris putanda est, quam pro [mali removendi facilitatis] argumento habenda." HAACK.

Αὐτῶν Cass. Aug. Cl. Pal. Gr. m. Ar. Chr. Bar. Ald. Flor. Bas. et haud dubie plures. Cf. Farr. discr. script. Vulgo (Haack. Bekk. Goell.) *αὖτ.*

Ἀθηναῖοι. Reg. (G.) *οἱ Ἀθην.*

8. *Οὕτως οὐ.* D. E. Vind. Chr. Dan. *οὕτως ὁ.* Ar. *οὕτως οὐχ ὁ.* Vind. *οὐ* ante *πολέμῳ* addit.

Διαφοραί Aug. F. It. Vat. H. B. J. m. (qui tam hic quam post *πολ.* puncto interpungit,) Ar. Chr. Bekk. Goell. In Vind. *αἱ διαφοραί.* Reg. *διαφορᾷ.* Vulgo *διαφορά.* „Neutrum pluralis cum Abresch. Gottleberus ad duo nomina pertinere falso opinatur; nam haec duo nomina particulis *οὐ — δέ* disiuncta sunt. Sed vera lectio est *διάφορα*, quam reposuit Schaeferus [et Haack ipse.] Neutrum pluralis verbo plurali iungi, ubi scriptor aliud nomen masculini vel feminini generis in mente habet, docetur [I. 1. p. 98.] Thucydidis menti obversabatur nomen *διαφοραί.*" HAACK. Haec nomina rursus confunduntur IV, 86. V, 40. 45.

Digitized by Google

ἀπραγμόνως παύονται, οἵ τ' ἐπίκληροι, εὐπρεπῶς ἄδι-
274. κοι ἐλθόντες, εὐλόγως ἄπρακτοι ἀπίασι."

ξβ'. „Καὶ τὸ μὲν πρὸς τοὺς Ἀθηναίους τοσοῦτον ἀγαθὸν εὖ βουλευομένοις εὑρίσκεται. 2. τὴν δὲ ὑπὸ πάντων ὁμολογουμένην ἄριστον εἶναι εἰρήνην πῶς οὐ χρὴ καὶ ἐν ἡμῖν αὐτοῖς ποιήσασθαι; ἢ δοκεῖτε, εἴ τῳ τι ἔστιν ἀγαθὸν, ἢ εἴ τῳ τὰ ἐναντία, οὐχ ἡσυχία μᾶλλον, ἢ πόλεμος, τὸ μὲν παύσαι ἂν ἑκατέρῳ, τὸ δὲ ξυνδιασώσαι, καὶ τὰς τιμὰς καὶ λαμπρότητας ἀκινδυνοτέρας ἔχειν τὴν εἰρήνην, ἄλλα τε ὅσα ἐν μήκει λόγων ἄν τις διέλθοι, ὥσπερ περὶ τοῦ πολεμεῖν; ἃ χρὴ σκεψαμένους

ξα'. 1. *Οἵ τ' ἐπίκληροι*] οἱ Ἀθηναῖοι δηλονότι. — *Εὐπρεπῶς ἄδικοι ἐλθόντες*] οἱ Ἀθηναῖοι μετὰ προφάσεως εὐπρεποῦς ἐλθόντες, ὡς δῆθεν συμμαχοῦντες τοῖς ἐνθάδε Χαλκιδεῦσιν, εὐλόγως ἄπρακτοι ἀπελεύσονται, διαλλαγέντων ἡμῶν. — *** Ἄδικοι] Ἀφηίτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος. (Κασσ. Ἀνγ.) — 2. *Εὐλόγως*] εὐλόγως φησὶ διὰ τὸ ξυμβῆναι.

Παύονται. „Quod Stephanus scribit Vallam legisse *παύσονται*, id non aliunde suspicari potuit, quam quod hoc vertit *sedabitur*. Potuit Valla putare praesens *παύονται* hic habere significationem futuri, de quo usu praesentis quaedam adnotata sunt ad II, 44." DUK. Cf. I. 1. p. 159. et 274. Statim ante Haack. plene interpungebatur.

Οἵ τ' — ἐλθόντες. „Thom. Mag. in *ἐπίκληροι*." WASS. Pro *οἵ* F. *εἰ*.

Ἀπίασι. F. *ἐπίασι*.

Cap. LXII. *Τοσοῦτον ἀγαθόν.* Haec vulgo (et apud Haack.) male virgulis includuntur, quanquam non appositionem efficiunt, sed ad praedicatum pertinent.

2. *Τὴν δὲ — εἶναι εἰρήνην.* Priscian. p. 1099. [p. 84. ed. Krehl.] tamquam ex l. I. Thucyd., ubi vulgo *ἐχήνει* pro *εἰρήνην*, quod Putch. ex libris restituit.

Δοκεῖτε. In *δοκεῖ τε* nonnulli solvere docebunt adnotanda. Male Reisk. *δοκεῖ γε*, Gotteb. *δοκεῖ δέ*, Bauer. *δοκεῖ τι* coniiciebat.

Ἢ εἴ τῳ. Gr. *ἢ τῷ*. D. *ηη τῳ*. Antea *ἔστιν* accentu retracto primus exhibuit Bekk. Deinde post *τὸ μὲν* pessime vulgo virgula interpungebatur.

Παῦσαι — ξυνδιασώσαι Heilm. (qui superius *ὅτι* inserturus erat,) Bekk. Goell. Vulgo (et Haack.) cum libris *παῦσαι — ξυνδιασῶσαι*. Cf. adnot. Pal., ut passim, *ξυνδιασῷσαι*. cf. c. 60.

Λαμπρότητας. Cl. Gr. *τὰς λαμπρότ.*

Ἀκινδυνοτέρας Aug. Reg. (G.) cod. Bas. Haak. Bekk. Goell. Vulgo *ἀκινδυνωτέρας*, cui in Pal. *ω* superscr. Idem vitium redit c. 92. Cf. Schaef. Mell. critt. p. 9. et Schneid. ad Xen. Anab. I, 9, 6. D. I. *ἀκινδύνως*.

Λόγων. Vat. *λέγων*.

Διέλθοι. Vat. H. *διεξέλθοι*.

Digitized by Google

μὴ τοὺς ἐμοὺς λόγους ὑπεριδεῖν, τὴν δὲ αὐτοῦ τινὰ σωτηρίαν μᾶλλον ἀπ' αὐτῶν προϊδεῖν. 3. καὶ εἴ τις βεβαίως τι ἢ τῷ δικαίῳ ἢ βίᾳ πράξειν οἴεται, τῷ παρ' ἐλπίδα μὴ χαλεπῶς σφαλλέσθω, γνοὺς ὅτι πλείους ἤδη καὶ τιμωρίαις μετιόντες τοὺς ἀδικοῦντας, καὶ ἐλπίσαντες ἕτεροι δυνάμει τινὶ πλεονεκτήσειν, οἱ μὲν οὐχ ὅσον οὐκ ἠμύναντο, ἀλλ' οὐδ' ἐσώθησαν, τοῖς δ', ἀντὶ τοῦ πλέον ἔχειν, προσκαταλιπεῖν τὰ αὐτῶν ξυνέβη. 4. τιμωρία γὰρ οὐκ εὐτυχεῖ δικαίως, ὅτι καὶ ἀδικεῖται· οὐ-

ξβ'. 2. *Καὶ εἴ τις βεβαίως — —] ἢ διάνοια· εἴ τις βεβαίως τε καὶ πάντῃ πάντως οἴεται πράξειν, καὶ κρατήσειν τῶν ἐναντίων, ἤτοι διὰ τὸ δικαίως αὐτοῖς ἐπίεναι νομίζειν, ἢ διὰ τὸ ἰσχυρὸς οἴεσθαι τυγχάνειν, μὴ χαλεπαινέτω, εἰ παρὰ τὴν ἰδίαν οἴησίν τε καὶ ἐλπίδα σφαλλόμενος ἐλέγχεται ὑπ' ἐμοῦ, ἐνθυμηθεὶς ὅτι πολλοί, δικαίως τιμωρήσασθαι τοὺς ἀδικήσαντας διανοηθέντες, οὐ μόνον οὐκ ἠμύναντο αὐτούς, ἀλλὰ καὶ αὐτοὶ προσαπώλοντο, καὶ ἕτεροι, δι' ἰσχὺν ἐλπίσαντες πλεονεκτήσειν τῶν πέλας, πρὸς τῷ μὴ σχεῖν πλέον, καὶ τὰ αὐτῶν προσαπώλεσαν. διὰ τούτων δὲ τὸ μὴ δεῖν αὐτοὺς ἐλεγχομένους χαλεπαίνειν συνάγεται. — 3. Βίᾳ] ἰσχύϊ. (λ. Ἀνγ.) — 6. Οἱ μέν] οἱ μετιόντες σὺν δίκῃ τοὺς ἀδικοῦντας. (λ. Ἀνγ.) — Οὐχ ὅσον οὐκ ἠμύναντο] ἤγουν οὐ μόνον οὐκ ἠμύναντο. (λ. Ἀνγ.) — 8. Προσκαταλιπεῖν] προσζημιωθῆναι. (λ Ἀνγ.) — Τιμωρία γὰρ οὐκ εὐτυχεῖ δικαίως —] οὐχ, ὅτι ἀδικεῖται, εὐτυχεῖ δικαίως· οὐ γάρ, ἐπειδὴ ὁ τιμωρούμενος προηδίκηται, διὰ τοῦτο ἐπεξιὼν εὐτυχήσει. δίκαιον μὲν γὰρ τὸν ἀδικηθέντα εὐτυχῆσαι παρὰ τὴν εἰς πραξιν τῆς τιμωρίας, οὐ μὴν καὶ ἀποβαῖνον οὕτως. οὐδὲ ὁ ἰσχυρὸς, φησὶ, διὰ τὸ ἐλπίζειν ἐκ τῆς δυνάμεως κρατήσειν, διὰ τοῦτο καὶ τὸ βέβαιον ἔχει.*

Αὐτοῦ Cass. Aug. Cl. Pal. Gr. Ar. Chr. Bar. Ald. Flor. Bas. et haud dubie plures pro vulg. (Haack. Bekk. Goell.) αὑτοῦ. Cf. Farr. discr. script.

3. *Εἴ τις βεβαίως τι.* Ar. Chr. Dan. *εἴ τι βεβ. τις.* Mox pro *βίᾳ πράξειν* F., si Gail. recte intelligimus, *διὰ πρᾶξιν.* Pro *χαλεπ. σφαλλ.* Scholiasten aliter legisse coniicit Goell. Etiam in *καί* post *ἤδη* fortasse haereas, vel virgulam ei praemittas. Sed vid. not.

Τινί. F. *πολλῇ*, sed *τινί s. πολλ.* ead. man. Idem *πλεονεκτησαν*, nisi fallunt Gail. typothetae.

Ἐσώθησαν. G. *ἐσώσθησαν.* Pal. rursus *ἐσῴθ.*

Τοῖς. D. I. E. Vind. m. Ar. Chr. *τούς*, sed in m. correct.

Ἀντί. Mosqu. *ἄν τί.*

Προσκαταλιπεῖν. „Graev. *προκατ.* Caeteri et Schol. cum editis. Vid. Ind.“ WASS.

Αὐτῶν Cass. Aug. Cl. Pal. Gr. m. Ar. Chr. Bar. Ald. Flor. Bas. Vulgo (Haack. Bekk. Goell.) *αὑτ.* Cf. § 2.

4. *Εὐτυχεῖ.* Quae sequuntur, imitatur Dio Cass. Vid. I. 1. p. 368.

Digitized by Google

δὲ ἰσχὺς βέβαιον, διότι καὶ εὔελπι. τὸ δὲ ἀστάθμητον τοῦ μέλλοντος ὡς ἐπὶ πλεῖστον κρατεῖ, πάντων τε σφαλερώτατον ὄν, ὅμως καὶ χρησιμώτατον φαίνεται· ἐξ ἴσου γὰρ δεδιότες, προμηθείᾳ μᾶλλον ἐπ' ἀλλήλους ἐρεθόμεθα."

(*Παραινέσεις ἐς σπονδάς, ὧν ἡ ὠφέλεια ἔτι βραχεῖ κεφαλαίῳ ἀποδείκνυται.*)

ξγ'. „Καὶ νῦν τοῦ ἀφανοῦς τε τούτου διὰ τὸ ἀτέκμαρτον δέος, καὶ διὰ τὸ ἤδη φοβεροὺς παρόντας Ἀθηναίους, κατ' ἀμφότερα ἐκπλαγέντες, καὶ τὸ ἐλλιπὲς τῆς γνώμης ὧν ἕκαστός τι[ς] ᾠήθημεν πράξειν ταῖς κω-

ξβ'. 1. *Τὸ δὲ ἀστάθμητον — —*] *τὸ δὲ ἄστατον τῆς τύχης καὶ τὸ ἄδηλον ὡς ἐπιτοπλεῖστον πέφυκε κρατεῖν. ἔστι γὰρ πολλάκις νικῆσαι καὶ ἀπὸ ἰδίας ἀρετῆς, ἐκτὸς τύχης.* — 2. *Κρατεῖ*] *τὴν ἰσχὺν ἔχει.* (λ. *Λύγ.*) — 4. *Προμηθείᾳ*] *προγνώσει, σκέψει.* (λ. *Λύγ.*)

ξγ'. 6. *Καὶ νῦν τοῦ ἀφανοῦς τε τούτου — —*] *ἡ διάνοια· καὶ νῦν τῆς μὲν πρὸς ἀλλήλους διαφορᾶς ἐπιλαθώμεθα δι' ἀμφότερα, διά τε* [*δηλαδὴ*] *τὸ ἄδηλον τυγχάνειν, εἰ πεισόμεθά τι ὑπ' ἀλλήλων, καὶ διὰ τὸ τοὺς Ἀθηναίους ἤδη φοβεροὺς ἡμῖν* [*εἶναι*] *παρόντας, ἱκανὰ νομίσαντες ἀκεῖα τῆς ἀποτροπῆς ταῦτα.* — 8. *Καὶ τὸ ἐλλιπὲς τῆς γνώμης*] *καὶ τοῦτο, φησὶν, ἐνθυμηθέντες, ὅτι ἃ*

Διότι. Reg. (G.) ὅτι.

Εὔελπι. Cass. Aug. Pal. Mosqu. εὔελπις. Vulgatae Dio Cass. patrocinatur.

Ὡς om. Mosqu.

Πάντων τε. Chr. *πάνων δέ.* Tum C. σφαλλερώτ.

Ὅμως καί. Gr. *καὶ ὅμως καί.*

Φαίνεται. m. *φαίνηται.*

Προμηθείᾳ. Cass. Aug. Pal. It. Vat. et ex emend. Gr. *προμηθίᾳ.* Cf. de Art. crit. p. 154. (ubi Cass. et Aug. mentio, ut apud Bekk., excidit.)

Cap. LXIII. *Ἀφανοῦς τε, Τέ* om. D. I.

Ἀθηναίους. Post hoc vocabulum Bekk. et Goell. recte virgulam posuerunt, quum ἀμφότερα sint *διὰ τὸ — καὶ διὰ τὸ —*. De reliqua structura vid. I. 1. p. 150., ne cum Reisk. *καὶ διὰ τούς* coniicias.

Ὧν. H. ὡς, sed cum γρ. ὧν s. ὡς.

Ἕκαστός τις. Pro *τίς* Cass. Aug. Pal. Vat. H. D. I. Chr. Bar. Ald. Flor. Bas. marg. Steph. Kistem. Bekk. Goell. *αἱ.* Nobis tamen paulo aptius dici videtur *consiliorum defectus in iis, quae nos exsecuturos esse unusquisque speraramus*, quam *in iis, quorum aliquid nos* etc.

Ὠιήθημεν. Cass. Aug. It. ᾠήθη *μέν*, sed *μέν* hic non aptum.

Πράξειν. m. πράξαι. Dan. πρᾶξαι. Alteratrum etiam E. In D. I. de. Post *πράξειν* virgula ante Haack, male aberat, quanquam ante *ὧν* ponebatur, ut hoc ex *κωλύμαις* penderet. Sed aut utrobique aut attractionis in *τὸ ἐλλιπὲς τῆς γν. ὧν* causa neutro loco interpungendum.

Ταῖς κωλύμαις. *Ταῖς* om. cod. Bas.

Digitized by Google

τούτοις ταύταις ἱκανῶς νομίσαντες ἀρχθῆναι, τοὺς ἐφεστῶτας πολεμίους ἐκ τῆς χώρας ἀποπέμπωμεν· καὶ αὐτοὶ μάλιστα μὲν ἐς ἄῤῥιδιον ξυμβῶμεν, εἰ δὲ μή, χρόνου ὡς πλεῖστον σπεισάμενοι, τὰς ἰδίας διαφορὰς ἐς αὖθις 275. ἀναβαλώμεθα. 2. τὸ ξύμπαν τε δὴ γνῶμεν, πειθόμενοι 5 μὲν ἐμοί, πόλιν ἔχοντες ἕκαστος ἐλευθέραν, ἀφ' ἧς αὐτοκράτορες ὄντες, τὸν εὖ καὶ κακῶς δρῶντα ἐξ ἴσου ἀρετῇ ἀμυνούμεθα· ἢν δὲ ἀπιστήσαντες ἄλλοις ὑπακούσωμεν, οὐ περὶ τοῦ τιμωρήσασθαί τινα, ἀλλὰ, καὶ

προεδοκήσαμεν πρᾶξαι (τοντέστι κρυπτῆναι κατὰ τὸν πόλεμον) ἐλλιπῶς ἐγένετο, καὶ οὐ κατὰ τὰς ἡμετέρας γνώμας ἀπέβη· ταῦτα οὖν αὐτὰ, μὴ κατὰ τὴν ἡμετέραν γνώμην γενόμενα, ἱκανὰ κωλύματα ἡμῶν καὶ ἐμπόδια γεγενῆσθαι νομίσωμεν, καὶ τούτοις εἰρχθέντες εἰς τὸ μὴ προβῆναι ἡμῖν τὰ πράγματα ὡς ἠβουλόμεθα, τοὺς ἐπικειμένους ἡμῖν πολεμίους ἀπράκτους ἀποπεμψώμεθα.

ξγ'. 5. Τὸ ξύμπαν τε δὴ γνῶμεν] τὸ σύνολον δὲ εἰδέναι, φησὶ, χρὴ ὅτι, πεισθέντες [μὲν] ἐμοὶ, τὰς πατρίδας ἐλευθέρας οἰκήσομεν, ἀφ' ἂν ὁρμώμενοι, καὶ τὰ ἐξῆς. — 6. Πόλιν ἔχοντες ἕκαστος] τὴν ἰδίαν. (λ. Κασσ. Αὐγ.) — Αὐτοκράτορες] δεσπόται τῆς ἑαυτῶν πόλεως. (λ. Κασσ. Αὐγ.) — 8. Ἀμυνούμεθα] τὸ ἀμυνούμεθα ἐπὶ καλοῦ. ἐνταῦθα γὰρ ἐπὶ τῶν δύο σημασιῶν ἔλαβεν αὐτὸ, καὶ ἐπὶ καλοῦ καὶ ἐπὶ κακοῦ. — Ἀπιστήσαντες] τοῖς ἐμοῖς λόγοις δηλονότι. — 9. Οὐ περὶ τοῦ τιμωρήσασθαί τινα] λείπει τὸ,

Ταύταις om. Mosqu.

Νομίσαντες. Mosqu. νομίζοντες.

Εἰρχθῆναι. Bekk. et Goell. rursus, hic etiam Reg. et Gr. addicentibus, εἴρχθ. Cf. de Art. crit. p. 152. et Buttm. Ind. verb. anom.

Ἀποπέμπωμεν. Cass. F. Pal. It. Vat. D. male ἀποπέμπομεν.

Ἀναβαλώμεθα. E. ἀναβαλλώμεθα. D. ἀναλαβώμεθα, secundum ᾱ s. v.

2. Καὶ κακῶς. E. Mosqu. Ar. Chr. Dan. ἢ κακῶς. „At noster [scriptor] copula in hanc rem alibi usus est." WASS.

Κακῶς. H. καλῶς.

Ἀμυνούμεθα. Mosqu. ἀμυνόμεθα. Plenam interpunctionem hic non debebat servare Haack.

Δὲ ἀπιστήσαντες. Pal. διαπιστήσαντες. D. I. E. Ar. ἀποστήσαντες. Chr. Dan. et in marg. Ar. ἀποστάντες.

Ἄλλοις. Aug. Ar. ἀλλήλοις. Dan. ἀλλήλων. Reg. teste Duk. ἀλλήλοις, ἄλλους. Sed Gail. ex G. αλλοις affert, et initio ἀλλήλοις ἀκούσωμεν scriptum fuisse, deinde correctionibus αλλοις ὑπακούσ. effectum esse asseverat. Chr. ἀλλήλων, ἄλλους. Ar. in marg. ἀλλήλων, ἄλλοις, quam scripturam recepto ἀποστάντες commodissimam putabat Kistem. Verum non solum libri refragantur, sed praecedenti πειθόμ. nunc oppositum est ἀπιστήσ.

Τοῦ τιμωρῆσασθαι. Τὸ τιμωρ. coniiciebat Heilm. Sed vid. I. 1. p. 194. et Buttm. Gr. §. 137. p. 440. ed. 10. Mox post ἀλλά comma posuit Haack., post καί ed. Lips. et Bened., neutro loco Bekk. et Goell.

Digitized by Google

ἄγαν εἰ τύχοιμεν, φίλοι μὲν ἂν τοῖς ἐχθίστοις, διάφοροι δὲ οἷς οὐ χρή, καὶ ἀνάγκην * γιγνοίμεθα *.

(Ὅτι οἱ Συρακόσιοι πρόθυμοί εἰσι ξυμβῆναι· τοὺς δὲ ἄλλους τὴν αὐτὴν προθυμίαν ἔχειν καλόν τε εἶναι καὶ ξύμφορον.)

ξδ'. „Καὶ ἐγὼ μὲν, ἅπερ καὶ ἀρχόμενος εἶπον, πόλιν τε μεγίστην παρεχόμενος, καὶ ἐπιὼν τῷ μᾶλλον ἢ ἀμυνούμενος, ἀξιῶ † προειδομένους † αὐτῶν ξυγχωρεῖν, καὶ μὴ τοὺς ἐναντίους οὕτω κακῶς δρᾶν, ὥστε † αὐτοὺς † τὰ πλείω βλάπτεσθαι, μηδὲ μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι τῆς τε οἰκείας γνώμης ὁμοίως αὐτοκρά-

ὁ ἀγὼν ἡμῖν ἔσται, ἀλλὰ περὶ τοῦ δουλωθῆναι. τοῦτο γὰρ ἤθικῶς ἀποπέκοπται.

ξγ'. 1. *Εἰ τύχοιμεν*] ἀπὸ κοινοῦ τὸ εἰμωρήσασθαί τινα. — *Τοῖς ἐχθίστοις*] τοῖς Ἀθηναίοις. (λ. Κασσ.) — 3. *Οἷς οὐ χρή*] τοῖς Σικελιώταις. (λ. Κασσ.)

ξδ'. 4. *Πόλιν τε μεγίστην παρεχόμενος*] ἀντὶ τοῦ ἐκ μεγίστης πόλεως ὁρμώμενος. — *Καὶ ἐπιὼν τῷ μᾶλλον*] καὶ δυνάμενος [δηλονότι] ἄλλῳ ἐπιέναι. δῆλον δὲ ὡς οὐχ ἁπλῶς περὶ ἑαυτοῦ μόνον λέγει τοῦτο, ἀλλὰ κοινῶς περὶ τῆς πόλεως τῶν Συρακουσίων. — ** *Ἐπιὼν τῷ*] *Ὁμηρος· οὔτε σοὶ οὔτε τῷ ἄλλῳ. (Αὐγ.) — 5. *Προειδομένους αὐτῶν*] ἤτοι προγόντες τὰ πράγματα, ἢ προνοοῦντες ἑαυτῶν, ἵνα ὁ νοῦς ἢ τοιοῦτος, συμβῶμεν προνοήσαντες ἡμῶν αὐτῶν. — 7. *Μηδὲ μωρίᾳ φιλονεικῶν ἡγεῖσθαι* — —] οὐδὲ ἀξιῶ διὰ μωρίαν φιλονεικῶν ἡγεῖσθαι καὶ νομίζειν τῆς τε ἰδίας γνώμης αὐτοκράτωρ εἶναι καὶ αὐτεξούσιος, καὶ τῆς τύχης, ἧς τινος οὐκ ἄρχω ἄνθρωπος ὤν.

Διάφοροι. Dan. καὶ διάφοροι. Ar. Chr. καὶ διαφοροί.

Γιγνοίμεθα. Vulgo (et Haack.) male *γιγνώμεθα*. Vid. 1. 1. p. 138. sq. Ex Cass. Aug. F. Pal. It. Vat. Reg. (G.) Gr. Vind. m. Ar. Chr. Bar. Ald. Flor. Bas. *γιγνόμεθα* recepit Bekk., quod tamen ob praeced. ἄν aeque vitiosum est. Vid. p. 135. Nam exceptionem, quam *οὐκ οἶδ' ἂν εἰ πείσαιμι* apud Thiersch. Gr. §. 334. 11. faciunt, huc pertinere haud facile existimaveris. Quocirca Goeller nobis auctoribus optativum reposuit.

Cap. LXIV. *Εἶπον* om. Mosqu. *Ἐπιὼν τῳ.* Pal. *ἐπιὼν τῷ.* C. *ἐπιών τε.* D. I. *ἐπιὼν τά.*

Ἀμυνούμενος Cass. Aug. F. Pal. It. Vat. Gr. B. I. E. Bar. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Goell. Vulgo *ἀμυνόμενος*.

Προειδομένους — αὐτούς. „Quidni *προειδόμενος — αὐτός?*" BEKK. Reiskii coniectura est, quam iure recepisse videtur Goell., quem vide. Cf. tamen adnot. *Προϊδ.* si desideres, (nam tacent de nostro grammaticae,) adi Luci. Toxar. 39. Aristid. I. p. 149. (s. apud Phot. II. p. 403.) sed etiam Schaef. Appar. ad Dem. II. p. 645.

Αὐτῶν. Reg. *αὐτ.*

Μωρίᾳ φιλονεικῶν. Valla: *contentionis insania.* „Legit *φιλονεικιῶν.*" STEPH.

Digitized by Google

τῶν εἶναι, καὶ ἧς αὐτὴ ἄρχω τύχης, ἀλλ' ὅσον εἰκὸς ἡσσᾶσθαι. 2. καὶ τοὺς ἄλλους δικαιῶ ταὐτὸ μοι ποιῆσαι, ὑφ' ὑμῶν αὐτῶν καὶ μὴ ὑπὸ τῶν πολεμίων τοῦτο παθεῖν. 3. οὐδὲν γὰρ αἰσχρὸν οἰκείους οἰκείων ἡσσᾶσθαι, ἢ Δωριέα τινὰ Δωριέως, ἢ Χαλκιδέα τῶν ξυγγενῶν, τὸ δὲ ξύμπαν, γείτονας ὄντας, καὶ ξυνοίκους μιᾶς χώρας καὶ περιῤῥύτου, καὶ ὄνομα ἓν κεκλημένους Σικελιώτας· οἳ πολεμήσομέν τε, οἶμαι, ὅτ' ἂν ξυμβῇ, καὶ ξυγχωρησόμεθά γε πάλιν καθ' ἡμᾶς αὐτούς, λόγοις κοινοῖς χρώμενοι· 4. τοὺς δὲ ἀλλοφύλους ἐπελθόντας ἀῤῥόοι ἀεί, ἢν σωφρονῶμεν, ἀμυνούμεθα, εἴπερ καὶ, καθ' ἑκάστους

ξδ'. 7. *Καὶ περιῤῥύτου*] τοῦτο οὐ παρέργως τέθεικεν, ἀλλ' ἐμφῆναι βουλόμενος ὅτι οὐκ ἔστιν ἡμῖν εἰς τοὺς ἄλλους κοινωνία, διὰ τὸ νησιώτας εἶναι. — 8. *Ὅτ' ἂν ξυμβῇ*] ὅταν καιρὸς γένηται. — *Ξυγχωρησόμεθα*] φιλιωθησόμεθα. (λ. Ἀνγ.) — 9. *Λόγοις κοινοῖς*] λόγοις συμβατικοῖς. — 10. *Τοὺς δὲ ἀλλοφύλους*] Κεφ. τοὺς Ἀθηναίους. καὶ ἐν τῇ πρώτῃ „ἀλλοφύλους ἅμα ἡγησάμενοι." — 11. *Εἴπερ καὶ καθ' ἑκάστους — —*] εἴπερ καὶ, ὠνειναντοῦν βλαπτομένων ἐν Σικελίᾳ, τὸ πᾶν ἔθνος ἀσθενέστερον γενόμενον κινδυνεύει. (λ. Ἀνγ.)

2. *Ταὐτό.* Reg. (G.) ταῦτα. (*ταὐτά?*) Mox vulgo (et apud Haack.) inepte post *αὐτῶν*, non post *ποιῆσαι* interpunxerunt, et *ὑφ' ὑμῶν αὐτ.* vertebatur *sponte*, quod Graece est *ἀφ' ὑμ. αὐτ.* Correxit Bekk.

3. *Οὐδέν.* Reg. (G.) E. *οὐδέ.*

Οἰκείους οἰκείων. Gr. *οἰκείων οἰκείους.*

Τινά. Cl. Mosqu. *τινός.*

Μιᾶς χώρας καὶ περιῤῥ. „Demetr. §. 113. [p. 49. Schneid.] *γῆς ὄντας μιᾶς καὶ περιῤῥύτου.* ubi nostrum vocem Homericam usu sibi propriam fecisse ait. Mss. omnes *χώρας.* Puto respexisse [?] Herodotum, qui I, 174. *ἐούσης τε πάσης γῆς Κνιδίης, πλὴν ὀλίγης, περιῤῥοῦν. Πάφον περιῤῥύτην* Aleman [fr. 30. p. 50. Welk. GOELL.] dicit" WASS. Cf. I. 1. p. 255.

Ὄνομα ἓν κεκλημένους. Dio Cass. II. p. 1005. haec imitans *Ἓν ὄνομα καινὸν κεκτημένους* dicit. Neque tamen *κεκλημ.* sollicitandum. Vid. Matth. Gr. §. 414. 2. b. Statim cum Haack. minus plene interpunximus. Idem fecimus post *χρώμενοι*, ut omnia futura, quae sequuntur, ad *οἵ* referantur.

Ξυγχωρησόμεθα. Vind. *ξυγχωρησάμεθα.*

Πάλιν. Ar. *μᾶλλον*, sed nostrum in marg.

4. *Ἀεί*, quod vulgo deest, inserunt Cass. Aug. Cl. Vat. F. D. I. E. Ar. Chr. Dan. Vall. Haack. Bekk. Goell. *Αἰεί* pro eo habent Pal. H. C. Reg. (G.) Gr. B. Ald. Flor. Bas. Cf. I. 1. p. 211. „*Ἀεί* admittendum suadet sequens *τὸ λοιπόν.*" WASS.

Ἢν σωφρονῶμεν. Cass. Aug. Pal. *ἢν σωφρονοῦμεν.* Gr. *εἰ σωφρονοῦμεν*, ut c. 60. et 61. ac III, 44. VI, 11., sed nostrum I, 86.

Digitized by Google

βλαπτόμενοι, ξύμπαντες κινδυνεύομεν· ἐμμενόντων δὲ οὐδέποτε τὸ λοιπὸν ἐπαξόμεθα, οὐδὲ ἀλλακτάς. 5. τάδε γὰρ ποιοῦντες, ἔν τε τῷ παρόντι δυοῖν ἁμαρτοῖν οὐ στερήσομεν τὴν Σικελίαν, Ἀθηναίων τε ἀπαλλαγῆναι καὶ οἰκείου πολέμου, καὶ ἐς τὸ ἔπειτα καθ' ἡμᾶς αὐτοὺς ἐλευθέραν νεμούμεθα καὶ ὑπὸ ἄλλων ἧσσον ἐπιβουλευομένην."

(*Σπονδαὶ τῶν Σικελιωτῶν. οἱ τῶν Ἀθηναίων ἡγεμόνες ἀποπλέουσιν, ἐφ' ᾧ ὁ δῆμος μάλα ἀγανακτεῖ.*)

ξέ. Τοιαῦτα τοῦ Ἑρμοκράτους εἰπόντος, πεισθόμενοι οἱ Σικελιῶται αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς ξυνηνέχθησαν γνώμῃ, ὥστε ἀπαλλάσσεσθαι τοῦ πολέμου, ἔχοντες ἃ ἕκαστοι ἔχουσι, τοῖς δὲ Καμαριναίοις Μοργαντίνην εἶναι, ἀργύριον τακτὸν τοῖς Συρακοσίοις ἀποδοῦσιν. 2. οἱ δὲ τῶν Ἀθηναίων ξύμμαχοι, παρακαλέ-

276.

ξδ'. 5. *Οἰκείου*] συγγενικοῦ. (λ. *Αὐγ.*)

ξέ'. 8. *Πεισθόμενοι*] πεισθέντες. (λ. *Αὐγ.*) — 9. *Αὐτοὶ μὲν κατὰ σφᾶς αὐτοὺς ξυνην.*] ὡμονόησαν ἀλλήλοις καθ' ἑαυτούς, μὴ κοινολογησάμενοι τοὺς λόγους τοῖς Ἀθηναίοις. — 10. *Γνώμῃ*] σκέψει. (λ. *Αὐγ.*) — 11. *Μοργαντίνην εἶναι*] ἀντὶ τοῦ ἀποδοθῆναι· ἔστι δὲ Σικελικὸν πόλισμα. — 12. *Τακτόν*] ὡρισμένον. (λ. *Αὐγ.*)

Κινδυνεύομεν. Chr, κινδυνεύσομεν.

Οὐδέποτε. Cass. οὐδέπω τε.

4. *Τάδε γάρ. Γάρ* de. Mosqu.

Ποιοῦντες. Dan. ποθοῦντες.

Ἔν τε. Τέ om. D.

Δυοῖν. Ar. Chr. Dan. δυεῖν. At vid. I. 1. p. 224.

Στερήσομεν. B. στερησόμεθα. Mox post *πολέμου* ante Haack. pessime punctum erat.

Cap. LXV. *Πεισθόμενοι.* F. πειθόμ.

Κατὰ σφᾶς. Mosqu. κατὰ τὸ σφᾶς.

Ξυνηνέχθησαν. D. I. ξυνήχθησαν.

Ἀπαλλάσσεσθαι. Mosqu. ἀπαλλάξεσθαι.

Ἃ ἕκαστοι. I. ἕκαστοι ἅ.

Μοργαντίνην. Prius ν in H. s. v. al. man., et I. sine correct. *Μοργατίνην.* Difficultatem in hoc nomine latentem I. 2. p. 508. indicavimus. Num Motucae seu Motychae agri, de quo Mannert Geogr. Sic. p. 342., nomen hic latet?

Συρακοσίοις m. Bekk. Goell. et haud dubie plures. Vid. script. disor. ad III, 86. Vulgo (et Haack.) Συρακουσ.

Digitized by Google

σαντες αὐτῶν τοὺς ἐν τέλει ὄντας, εἶπον ὅτι ξυμβήσονται, καὶ αἱ σπονδαὶ ἔσονται κἀκείνοις κοιναί. ἐπαινεσάντων δὲ αὐτῶν, ἐποιοῦντο τὴν ὁμολογίαν· καὶ αἱ νῆες τῶν Ἀθηναίων ἀπέπλευσαν μετὰ ταῦτα ἐκ Σικελίας. 3. ἐλθόντας δὲ τοὺς στρατηγοὺς οἱ ἐν τῇ πόλει Ἀθηναῖοι τοὺς μὲν φυγῇ ἐζημίωσαν, Πυθόδωρον καὶ Σοφοκλέα, τὸν δὲ τρίτον, Εὐρυμέδοντα, χρήματα ἔπραξαντο, ὡς, ἐξὸν αὐτοῖς τὰ ἐν Σικελίᾳ καταστρέψασθαι, δώροις πεισθέντες ἀποχωρήσειαν. 4. οὕτω, τῇ [τε] παρούσῃ εὐτυχίᾳ χρώμενοι, ἠξίουν σφίσι μηδὲν ἐναντιοῦσθαι, ἀλλὰ καὶ τὰ δυνατὰ ἐν ἴσῳ καὶ τὰ ἀπορώτερα μεγάλῃ τε ὁμοίως καὶ ἐνθεεστέρᾳ παρασκευῇ κατεργάζεσθαι. αἰτία δ' ἦν ἡ παρὰ λόγον τῶν πλειόνων εὐπραγία, αὐτοῖς ὑποτιθεῖσα ἰσχὺν τῆς ἐλπίδος.

ξέ. 1. *Αὐτῶν*] τῶν Ἀθηναίων δηλονότι. — *Τοὺς ἐν τέλει ὄντας*] τοὺς περὶ Πυθόδωρον. — *Εἶπον ὅτι ξυμβήσονται*] ὡς ἂν εἰ ἔλεγεν, ὅτι οὐδὲν δέονται αὐτῶν εἰς ξυμμαχίαν ἔτι, καθὸ ἐσπείσαντο εἰς ἑαυτοὺς πάντες οἱ Σικελιῶται. τὸ δὲ παρακαλέσαντες ἀντὶ τοῦ εἰς ἑαυτοὺς καλέσαντες. — 2. *Κἀκείνοις κοιναί*] οἷον τοῖς Ἀθηναίοις, ἵνα, ἐάν τις βουληθῇ ἀπὸ Σικελίας πλεῦσαι κατ' αὐτῶν, συμβαλλόμενος Πελοποννησίοις, κωλύωσιν αὐτόν. — *Κἀκείνοις*] τοῖς συμμάχοις. (λ. Αὐγ.) — 3. *Αὐτῶν*] τῶν στρατηγῶν τῶν Ἀθηναίων. — 8. *Καταστρέψασθαι*] δουλῶσαι. (λ. Αὐγ.) — 11. *Καὶ τὰ ἀπορώτερα*] ἀδύνατα. (λ. Αὐγ.) — 12. *Κατεργάζεσθαι*] νικᾶν. (λ. Αὐγ.) — 13. *Αἰτία δ' ἦν — —*] *αἰτία δ' ἦν τοῦ ταῦτα νομίζειν ἢ ἐν τοῖς πλείστοις πράγμασιν εὐπραγία παρὰ προς-*

2. *Καὶ αἱ σπονδαὶ ἔσονται* om. B.

Μετὰ ταῦτα ἐκ. Cl. *μ. τ. ἀπῆλθον ἐκ*, dubium utrum omisso an servato *ἀπέπλευσαν*.

3. *Εὐρυμέδοντα.* D. L. male *Εὐθυμέδοντα*.

Ἐν Σικελίᾳ. Ar. Dan. *ἐν τῇ Σικ.*

Πεισθέντες. D. *πεισθέντας, ē s. ā.*

Ἀποχωρήσειαν. D. *ἀπεχώρησαν.*

4. *Τέ* inserunt Cass. Aug. Cl. lt. Vat. H. Gr. B. D. I. E. m. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. „Quum magno numero libri *τέ* inserant, haec particula non potest pro librariorum errore haberi, licet ea omissa orationi nihil deesse videatur. Benedictus, ut assolet, effinxit *γέ*. Sensus est: *ita, et praesenti felicitate usi, postulabant.*" HAACK. Sed Bekk. et Goell. rursus eiecerunt, et nos quoque abesse malimus.

Ἀπορώτερα Ar. Chr. Dan. marg. Steph. *ἀπορώτατα.*

Παρὰ λόγον. Cass. Aug. Pal. Gr. *παραλόγων.* I. E. Ar. Chr. Dan. *παραλόγως.* At vid. Krüg. ad Dion. p. 267.

Τῶν πλειόνων om. E.

Digitized by Google

(δ. Ἀθηναίων στρατιὰ ἐπὶ Μεγαρέας, ἐν ᾗ Νίσαιαν μὲν καὶ τὰ μακρὰ τείχη αἱροῦσιν, αὐτὰ δὲ τὰ Μέγαρα ὁ Βρασίδας σώζει. ξς' — οδ'. α) Τὰ πρὸ τῆς Βρασίδου ἀφίξεως πραχθέντα. — ο'. Μεγαρέων τινῶν κρύφιοι λόγοι πρὸς Ἀθηναίους. ξς'.)

ξς'. Τοῦ δ' αὐτοῦ θέρους Μεγαρῆς οἱ ἐν τῇ πόλει, πιεζόμενοι ὑπό τε Ἀθηναίων τῷ πολέμῳ, ἀεὶ κατὰ ἔτος ἕκαστον δὶς ἐσβαλλόντων παμστρατιᾷ ἐς τὴν χώραν, καὶ ὑπὸ τῶν σφετέρων φυγάδων τῶν ἐκ Πηγῶν, οἳ, στασιασάντων ἐκπεσόντες ὑπὸ τοῦ πλήθους, χαλεποὶ ἦσαν λῃστεύοντες, ἐποιοῦντο λόγους ἐν ἀλλήλοις ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας μὴ ἀμφοτέρωθεν τὴν πόλιν φθείρειν. 2. οἱ δὲ φίλοι τῶν ἔξω, τὸν θροῦν

δοκίαν τοῖς Ἀθηναίοις, ἢ ἐλπίδας ἰσχυρὰς παρεῖχε τοῦ πάντα κατεργάζεσθαι δύνασθαι.

ξς'. 1. Τοῦ δ' αὐτοῦ θέρους] μετάβασις. — 7. Ὡς χρὴ δεξαμένους τοὺς φεύγοντας — —] ὁ νοῦς τοιοῦτός ἐστιν· οἱ μὲν πλείονες τῶν Μεγαρέων ἐβούλοντο σπείσασθαι πρὸς τοὺς φυγάδας αὐτῶν· οἱ δὲ τοῦ δήμου προστάται, νομίζοντες ἀδύνατόν τι πρᾶγμα τοῦτο ἔσεσθαι, διὰ τὸ μὴ δύνασθαι καρτερεῖν (ὅ ἐστι συμπολιτεύεσθαι) τοὺς δημοτικοὺς μετὰ τῶν φυγάδων διὰ τὰ κακὰ τὰ μέλλοντα ἔσεσθαι παρὰ τῶν φυγάδων, οὗτοι ταῦτα δείσαντες λόγους προσφέρουσιν. — 8. Τῶν ἔξω] τῶν φυγάδων. (λ. Αὐγ.) — Τὸν θροῦν] τὸν σύλλογον τὸν γιγνόμενον περὶ τῶν φυγάδων, τοῦ δεῖν δέξασθαι αὐτούς.

Cap. LXVI. *Μεγαρῆς* Pal. Bekk. Goell. In C. G. *Μεγαρῆς*. Reliqui *Μεγαρεῖς*. Cf. I. 1. p. 221. cum Farr. discr. script. Verba *οἱ ἐν τῇ πόλει* non expressit Valla.

Πιεζόμενοι post *ἀεί* demum ponit Cl.

Τῷ πολέμῳ. Ante Bauer. virgula male ante haec collocabatur. Statim Pal. *αἰεί*. Cf. I. 1. p. 211.

Ἐσβαλλόντων. „Sic reposui e Cl. et Gr. pro *ἐμβαλόντων*, quod antea legebatur. Cf. III, 80. 89. 105." WASS. „*Ἐσβαλλόντων* etiam Reg. et Cass." DUK. Nec aliter, si quid ex silentio recentiorum collatorum colligi potest, Aug. Pal. It. Vat. et plerique Parr. *Ἐμβαλόντων* unus B. et ed. Bas. habet, F. *ἐκβαλόντων*, cod. Bas. (Cam.) marg. Steph. *ἐσβαλόντων*, Ar. *ἐμβαλλόντων*, Chr. *ἐμβάντων*. *Ἐμβάλλειν* apud Thucyd. de irruptione in agrum hostilem non dicitur.

Ἐκπεσόντες. D. *ἐκπεσόντων*.

Λόγους. Reg. (G.) *λόγον*.

2. *Θροῦν*. Vind. *ῥοῦν*. „Lexicon ms. biblioth. Coislin. Montfauc. p. 483. [Bekk. Anecdd. p. 99.] sine interpretatione. Scholiastes editus hic exponit *ἄλογον*, corrupte, sine dubio. Cass. [et Aug.] melius *σύλλογον*, quae vox ut plurimum quidem circulos et coetus sermones inter se serentium, sed nonnunquam etiam ipsos sermones notat. Vid. Graev. ad Luci. Revivisc. p. 391. Rursus ita Thuc. V, 7. et 30.

Digitized by Google

αἰσθόμενοι, φανερῶς μᾶλλον ἢ πρότερον καὶ αὐτοὶ ἠξίουν τούτου τοῦ λόγου ἔχεσθαι. 3. γνόντες δὲ οἱ τοῦ δήμου προστάται οὐ δυνατὸν τὸν δῆμον ἐσόμενον ὑπὸ τῶν κακῶν μετὰ σφῶν καρτερεῖν, ποιοῦνται λόγους, δείσαντες, πρὸς τοὺς τῶν Ἀθηναίων στρατηγούς, Ἱπ- 5
ποκράτην τε τὸν Ἀρίφρονος καὶ Δημοσθένην τὸν Ἀλκισθένους, βουλόμενοι ἐνδοῦναι τὴν πόλιν, καὶ νομίζοντες ἐλάσσω σφίσι τὸν κίνδυνον, ἢ τοὺς ἐκπεσόντας ὑπὸ σφῶν κατελθεῖν. 4. ξυνέβησάν τε πρῶτα μὲν τὰ μακρὰ τείχη ἑλεῖν Ἀθηναίους, (ἦν δὲ σταδίων μάλιστα 10
ὀκτὼ ἀπὸ τῆς πόλεως ἐπὶ τὴν Νίσαιαν τὸν λιμένα αὐτῶν,) ὅπως μὴ ἐπιβοηθήσωσιν ἐκ τῆς Νισαίας οἱ Πελοποννήσιοι, ἐν ᾗ αὐτοὶ μόνοι ἐφρούρουν βεβαιότητος ἕνεκα τῶν Μεγάρων· ἔπειτα δὲ καὶ τὴν ἄνω πόλιν πειρᾶσθαι ἐνδοῦναι· ῥᾷον δ' ἤδη ἔμελλον προσχωρήσειν, 15
τούτου γεγενημένου.

(Ἱπποκράτης καὶ Δημοσθένης, ἐνέδραν ποιησάμενοι, δόλῳ τῶν προδοτῶν τὰ μακρὰ τείχη ἐξελθόντες αἱροῦσιν — ξη'. §. γ'.)

ξζ'. Οἱ οὖν Ἀθηναῖοι, ἐπειδὴ ἀπό τε τῶν ἔργων καὶ τῶν λόγων παρεσκεύαστο ἀμφοτέροις, ὑπὸ νύκτα 277.

ξς'. 7. Ἐνδοῦναι] αὐτοῖς δηλονότι. (λ. Αὐγ.) — 13. Αὐτοὶ μόνοι] ἤτοι ἐκτὸς τῶν ἄλλων ξυμμάχων, ὧν εἶχον ἔξωθεν τῆς Πελοποννήσου. ἢ μόνοι λέγει [ἀντὶ τοῦ] ἐκτὸς [τῶν] Μεγαρέων. ἄνω δὲ πόλιν αὐτὰ τὰ Μέγαρα καλεῖ. — 14. Τὴν ἄνω πόλιν] τὴν ἀκρόπολιν. (λ. Αὐγ.)

[et saepius,]" DUK. Bekk. in Schol. simplex λόγον reposuit.

Μᾶλλον. Mosqu. μάλιστα.

3. Δήμου. Reg. (G.) Μήδου, errore frequenti.

4. Πρῶτα. I. πρῶτον. Virgulam noh, ut vulgo post μέν, sed saltem post τέ ponendam esse vidit Haack., verum rectius om.

Ὀκτώ. Secus Strabo. Vid. I. 2. p. 235. et 589.

Νίσαιαν. D. I. Νίταιαν.

Αὐτοὶ μόνοι. C. Reg. (G.) μόνοι αὐτοί.

Μεγάρων. D. I. Μεγαρέων. Plenam interpunctionem primus sustulit Haack.

Ῥᾷον. Mosqu. ῥᾴδιον.

Προσχωρήσειν. C. Reg. (G.) παραχωρήσειν.

Cap. LXVII. Καὶ τῶν λόγων de. Dan.

Digitized by Google

πλεύσαντες ἐς Μίνωαν τὴν Μεγαρέων νῆσον ὁπλίταις ἑξακοσίοις, ὧν Ἱπποκράτης ἦρχεν, ἐν ὁρύγματι ἐκαθέζοντο ὅθεν * ἐπλίνθευον * τὰ τείχη, καὶ ἀπεῖχεν οὐ πολύ. 2. οἱ δὲ μετὰ τοῦ Δημοσθένους τοῦ ἑτέρου στρατηγοῦ, Πλαταιῆς τε ψιλοὶ καὶ ἕτεροι περίπολοι, ἐνήβρευσαν ἐς † τὸν Ἐννάλιον †, ὃ ἐστιν ἔλασσον ἄπωθεν. καὶ ἦσθετο οὐδεὶς, εἰ μὴ οἱ ἄνδρες οἷς ἐπιμελὲς ἦν εἰδέναι, τὴν νύκτα ταύτην. 3. καὶ ἐπειδὴ ἕως ἔμελλε γίγνεσθαι, οἱ προδιδόντες τῶν Μεγαρέων οὗτοι τοιόνδε

ξζ'. 8. *Ἐπλίνθευον τὰ τείχη*] πλίνθους λαμβάνοντες ἐτείχιζον. (λ. Αὐγ.) — *Ἀπεῖχεν οὐ πολύ*] οὐκ ἀπεῖχε, φησὶ, τῶν Μεγάρων ἡ Μίνωα, ἢ αὐτὸ τὸ ὄρυγμα τὸ ἐν τῇ Μινῴᾳ. — 5. *Περίπολοι*] τῶν φυλάκων οἱ μὲν ἱδρυμένοι καλοῦνται, οἱ δὲ περίπολοι· ἱδρυμένοι μὲν [οὖν εἰσὶν] οἱ ἀεὶ παρακαθεζόμενοι καὶ πολιορκοῦντες, περίπολοι δὲ οἱ περιερχόμενοι καὶ περιπολοῦντες τὰ φρούρια ἐν τῷ φυλάττειν. — 6. *Ἔλασσον ἄπωθεν*] ἔλασσον ἀπέχοντες ἢπερ οἱ ἐν τῷ ὀρύγματι καθήμενοι. πρὸς τὸ ἀπεῖχεν οὐ πολὺ τὸ ἔλασσον ἄπωθεν. — 7. *Ἡσθετο οὐδείς*] τῶν Μεγαρέων δηλονότι. (λ. Αὐγ.) — 8. *Ἕως*] ἡμέρα. (λ. Αὐγ.) — 9. *Οἱ προδιδόντες* — —] οἱ προδιδόντες [δηλαδὴ] τοῖς Ἀθηναίοις τὰ Μέγαρα πλοῖον κατέφερον

Μίνωαν Cass. Aug. Reg. Gr. Vulgo (Haack. Bekk. Goell.) *Μινῴαν*. Pal. *Μινῴαν*. Ald. Flor. *Μινῶαν*. (Ed. Vind. *Μινῶων*.) Cf. I. 2. p. 235. et script. discr. ad III, 51. sed etiam Goettl. de Acc. p. 44.

Μεγαρέων. Gr. *Μεγάρων*, sed cum emend. superscr.

Ἐκαθέζοντο, C. *ἐκαθέζετο*.

Ἐπλίνθευον. Cass. Aug. (sed hic e corr.) F. Vind. Ar. Chr. Dan. *ἐπλινθεύοντο*, quod paulo alia vi legitur II, 78.

2. *Τοῦ Δημοσθένους*. *Τοῦ* om. Gr. At vid. Krüg. de Authent. Anab. p. 61. et nos ad Xen. Anab. VI, 4, 13. Affuerunt modo 66, 4. *ἐπὶ τὴν Νίσαιαν τὸν λιμένα*.

Πλαταιῆς Pal. Bekk. Goell. Vulgo (et Haack.) *Πλαταιῆς*. Plerique libri *Πλαταιεῖς*. Vind. *Πλατεεῖς*. Vid. I. 1. p. 221. cum Farr. discr. script.

Περίπολοι. Gr. (non, ut Bekk. scribit, Dan.) *πολλοί*. At vid. adnot. Comma, quod vulgo (et apud Haack.) post *φιλ.* est, huc transposuimus.

Τὸν Ἐννάλιον. F. *τὴν* (?) *Ἐννάλιον*. Mosqu. *τὸ Ἐνάλιον*. Cum Reisk. legendum videtur *τὸ Ἐννάλιον* sive (cl. Lob. ad Phryn. p. 370.) *Ἐνναλιεῖον*. Haackius *τὸν Ἐνναλίου* aliquando conficiebat. Vulgatam ex more veterum deum pro dei templo ponendi excusat Goell., quem cf. ad I, 128. Sed nisi dubia verba *παρὰ τοῦ Νίσου* IV, 118. huc referas, nusquam alibi ita loquitur Thuc., et hic saltem ὅς sequi debebat.

Ἄπωθεν. It. Vat. Vind. Mosqu. Bekk. Goell. *ἄποθεν*, fortasse recte. Cf. Lob. ad Phryn. p. 9. et adnot. ad II, 81.

Εἰδέναι om. F. *Εἰδυναι* habet B. Virgulam addidit Bekk.

3. *Τῶν Μεγαρέων*. Mosqu. *οὗτοι τῶν Μεγ.*

Digitized by Google

ἐπολιόρκησαν· ἀκάτιον ἀμφηρικόν, ὡς λῃσταί, ἐκ πολλοῦ τεθεραπευκότες τὴν ἄνοιξιν τῶν πυλῶν, εἰώθεσαν ἐπὶ ἀμάξῃ, πείθοντες τὸν ἄρχοντα, διὰ τῆς τάφρου κατακομίζειν τῆς νυκτὸς ἐπὶ τὴν θάλασσαν, καὶ ἐκπλεῖν· καὶ πρὶν ἡμέραν εἶναι, πάλιν αὐτὸ τῇ ἀμάξῃ κομίσαντες ἐς τὸ τεῖχος, κατὰ τὰς πύλας ἐσῆγον, ὅπως τοῖς ἐκ τῆς Μινώας Ἀθηναίοις ἀφανὴς δὴ εἴη ἡ φυλακή, μὴ ὄντος ἐν τῷ λιμένι πλοίου φανεροῦ μηδενός. 4. καὶ τότε πρὸς ταῖς πύλαις ἤδη ἦν ἡ ἄμαξα, καὶ ἀνοιχθεὶ-

ἑκάστης νυκτὸς ἐπὶ θάλατταν, τεθεραπευκότες τὸν ἐπὶ τῶν πυλῶν ἄρχοντα, ὅπως αὐτοὺς μὴ κωλύῃ, ὡς δῆθεν ἐπὶ λῃστείας ἐκπλέοντας [τῶν] Ἀθηναίων τῶν ἐν [τῇ] Μινώᾳ φυλαττόντων· καὶ αὖθις πρὸ ἡμέρας ἀνέφερον αὐτὸ εἰς τὸ τεῖχος, ὅπως ἀφανὲς δῆθεν ᾖ τοῖς Ἀθηναίοις, τί χρὴ φυλάττεσθαι. οὐ γὰρ ὄντος οὐδενὸς ἐν τῷ Μεγαρικῷ λιμένι πλοίου φανεροῦ, διὰ τὸ ἐντὸς τειχῶν μεθ' ἡμέραν κρύπτεσθαι τὸ ἀκάτιον, ἄπορον ἦν γνῶναι τοῖς Ἀθηναίοις, ὑφ' ὧντινων λῃστεύονται.

ξζ'. 1. Ἀκάτιον ἀμφηρικόν] πλοιάριον ἑκατέρωθεν ἐρεσσόμενον, ἐν ᾧ ἕκαστος τῶν ἐλαυνόντων δικωπίᾳ ἐρέττει. — 9. Τότε] ὅτε προεδίδοντο τὰ Μέγαρα. (λ. Αὐγ.)

Ἀμφηρικόν. „Suidas h. v. ἀκάτιον — ἀμάξῃ, habet πυλῶν, ἐκόμιζον τὸ πλοῖον ἀμάξῃ. Posteriora sunt ipsius lexicographi verba. Huc spectant Poll. et Hesych. in ἀμφηρικόν." WASS. „Vide Bayfium de re navali p. 91. ed. Frob. an. 1541." HUDS.

Ἐκ πολλοῦ — πυλῶν. Haec difficiliora verba Valla non expressit. Aliquid in iis corruptum esse ex Schol. coniicias. Vid. tamen adnot.

Εἰώθεσαν. Ar. Chr. Ald. Flor. ἐνέθεσαν. Ed. Bas. ἀνέθεσαν. Dan. ἀνέθησαν. „Suid. in ἐωθώς, ἐώθεσαν." WASS. „Suidas ita in Thucydide esse dicit, sed numerum libri non addit." DUK. Vid. ad VI, 58. Sed falluntur grammatici.

Ἀμάξῃ. Mosqu. ἁμάξῃ. Cf. de Art. crit. p. 152., ubi in nostro loco haec forma non erat Pal. tribuenda, de quo saltem tacet collator. G. aut hic aut paulo post ἁμάξει, sed ῃ s. ῑ al. man.

Κατακομίζειν. D. I. κομίζειν.

Τὴν θάλασσαν. Τήν om. Reg. (de G. tamen tacet Gail.)

Ἐς τὸ τεῖχος. Aut ἐς hic valet ad, aut virgula ante haec transponenda.

Τὰς πύλας. Τάς om. C. G. cod. Bas. Gr. „Recte. Mox [§. 5.] τοὺς κατὰ πύλας φύλακας." WASS. Sed vel ibi incerta scriptura, et etiamsi articuli omissionem ferendam putes, paucis certe libris hic non obtemperandum.

Μινώας. Aug. Ald. Flor. Bas. Μινῴας. cf. §. 1.

Ἀθηναίοις om. D.

Ἀφανής. Cass. ἀφανεῖς.

Εἴη ἡ. Gr. ἦδη.

Ὄντος. Mosqu. ὄντως.

Πλοίου. B. πλείου.

Φανεροῦ. I. φανερός, in marg. al. man. φανερῶς.

4. Ἤδη ἦν Cass. Aug. It. Vat.

Digitized by Google

σῶν κατὰ τὸ εἰωθὸς ὡς τῷ ἀκατίῳ, οἱ Ἀθηναῖοι (ἐγέγνετο γὰρ ἀπὸ ξυνθήματος τὰ τοιοῦτον) ἰδόντες, ὅσον δρόμῳ ἐκ τῆς ἐνέδρας, βουλόμενοι φθάσαι πρὶν ξυγκλῃσθῆναι πάλιν τὰς πύλας, καὶ ἕως ἔτι ἡ ἄμαξα ἐν
5 αὐταῖς ἦν, κώλυμα οὖσα προσθεῖναι· καὶ αὐτοῖς ἅμα καὶ οἱ ξυμπράσσοντες Μεγαρῆς τοὺς κατὰ τὰς πύλας φύλακας κτείνουσι. 5. καὶ πρῶτον μὲν οἱ περὶ τὸν Δημοσθένην Πλαταιῆς τε καὶ περίπολοι ἐξέδραμον, οὗ νῦν τὸ τροπαῖόν ἐστι, καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν (ἦσθον-

ξζ'. 1. *Ὡς τῷ ἀκατίῳ*] *ὡς τοῦ ἀκατίου μέλλοντος εἰσπομίζεσθαι.* — 2. *Ἀπὸ ξυνθήματος*] *τῶν Μεγαρέων δηλονότι.* (*λ. Αὐγ.*) — 5. *Κώλυμα οὖσα προσθεῖναι*] *ἀντὶ τοῦ κωλύουσα συγκλεισθῆναι.* — 9. *Καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν* —] *ὑπερβατόν.* *τὸ δὲ ἑξῆς, καὶ εὐθὺς ἐντὸς τῶν πυλῶν μαχόμενοι τοὺς προσβοηθοῦντας οἱ Πλαταιῆς ἐκράτησαν. τοὺς δὲ προσβοηθοῦντας λέγει περὶ ὧν ἔφη διὰ μέσον, ἤσθοντο γὰρ οἱ ἐγγύτατα Πελοποννήσιοι.*

H. F. C. Reg. (G.) cod. Bas. Gr. D. I. E. Mosqu. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo *ἦν ἤδη*. Reiskius pro *ἤδη* coniicit *ἤδε*. Sed *ἤδη* cohaeret cum proximo *καί* (cf. Bornem. ad Xen. Anab. IV, 2, 12.), unde post *ἅμαξα* punctum cum Bekk. in comma mutavimus.

Τῷ ἀκατίῳ. Vind. *τὸ ἀκάτιον*.

Ἐγίγνετο — ξυνθήματος. „Thom. Mag. in *σύνθημα*, et exponit *ἀπὸ συμφωνίας*." DUK.

Ξυγκλῃσθῆναι Pal. Cf. I. 1. p. 213. Vulgo *ξυγκλεισθῆναι*. Cass. *ξυγκληθῆναι*. Aug. quidem *ξυγκλεισθ.*, sed man. rec. superscr. *ξυγκληθῆναι*. D. *ξυγκλεισθεῖναι*, cum *ῃ* s. alt. *ει*. B. *ξυγκεισθῆναι*.

Πύλας. Vulgarem interpunctionem, ex qua hic colon, post *προσθεῖναι* autem comma ponitur, Haackius male retinuit, quanquam *αὐτοῖς* reposito *καί*, quod praecedit, in vulgari distinctione supervacaneum esset. Sed ob alias quoque causas Bekkeri interpunctio tenenda. Illud *καί* autem, quod ante *ἕως* est, uncis recte liberavit Haack.

Αὐτοῖς Cass. Aug. Cl. It. Vat. H. F. C. Reg. (G.) Gr. B. D. I. E. Vind. Ar. Chr. Dan. Ald. Flor. Bas. marg. Steph. Vall. Haack. Bekk. Goell. Vulgo *αὐτοί*.

Μεγαρῆς rursus Pal. Bekk. Goel. In Aug. C. Reg. (G.) *Μεγαρεῖς*. Reliqui *Μεγαρεῖς*. Cf. c. 56.

Τὰς πύλας. Articulum inserunt Cass. Aug. (sed hic a man. rec.) Cl. F. m. Ar. Chr. Dan. Haack. „Est enim necessarius, et ubique in hoc cap. vocabulo *πύλαι* apponitur." HAACK. Non secuti sunt Bekk. et Goell. Sed *κατὰ πύλας* aut *in singulis portis* significaret, aut (ut II, 4. V, 7.) *in aliqua porta*.

Κτείνουσι. Chr. *ἀποκτείνουσι*.

5. *Πλαταιῆς* hic et paulo post Pal. Bekk. Goell. Vulgo (et Haack.) *Πλαταιῆς*. Plerique libri *Πλαταιεῖς*. Cf. 67, 2.

Περίπολοι. C. *περίπολλοι*.

Τροπαῖον. Gr. *τρόπαιον*. Cf. I. 1. p. 214.

Digitized by Google

τὸ γὰρ οἱ ἐγγύτατα Πελοποννήσιοι) μαχόμενοι τοὺς προσβοηθοῦντας οἱ Πλαταιῆς ἐκράτησαν, καὶ τοῖς τῶν Ἀθηναίων ὁπλίταις ἐπιφερομένοις βεβαίους τὰς πύλας παρέσχον.

ξῆ'. Ἔπειτα δὲ καὶ τῶν Ἀθηναίων ἤδη ὁ ἀεὶ ἐν- 5
τὸς γιγνόμενος χωρεῖ ἐπὶ τὸ τεῖχος. 2. καὶ οἱ Πελοποννήσιοι φρουροὶ τὸ μὲν πρῶτον ἀντισχόντες ἠμύνοντο ὀλίγοι, καὶ ἀπέθανόν τινες αὐτῶν· οἱ δὲ πλείους ἐς 278.
φυγὴν κατέστησαν, φοβηθέντες, ἐν νυκτί τε πολεμίων προσπεπτωκότων, καὶ τῶν προδιδόντων Μεγαρέων ἀν- 10
τιμαχομένων, νομίσαντες τοὺς ἅπαντας σφᾶς Μεγαρέας προδεδωκέναι. 3. ξυνέπεσε γὰρ καὶ τὸν τῶν Ἀθηναίων

ξξ'. 3. Ἐπιφερομένοις] τοῖς ἐπερχομένοις. (λ. Ἀὐγ.)
ξῆ'. 7. Ἀντισχόντες] ἤγουν ἀντιστάντες. (λ. Ἀὐγ.) — 11. Σφᾶς] ἤγουν τοὺς Πελοποννησίους. (λ. Ἀὐγ.) — 12. Ξυνέπεσε] συνέβη.

Ὁπλίταις om. Reg. (G.)

Βεβαίους. C. Reg. (G.) βεβαίως, quod male commendat Bauer; nam παρέχειν hic *faciendi* vim habere apparet.

Cap. LXVIII. Δὲ s. v. habet G. Caeterum haec enunciatio perperam novum caput incipit, cuius optimum initium esset §. 4.

Ὁ ἀεί. Ὁ om. Dan.

Ἀεὶ Cass. Aug. F. H. Gr. D. I. E. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo αἰεί. Cf. I. 1. p. 211.

Χωρεῖ. Cl. F. D. I. Vind. Ar. Chr. Dan. marg. Steph. ἐχώρει. m. ἐχωρεῖ. Imperfectum male praefert Kistem., quod idem tempus sequatur ac praecedat. Cf. I. 1. p. 274.

2. Φρουροί. D. I. οἱ φρουροί.

Ἠμύνοντο. F. It. Vat. H. m. ἠμύναντο, non omnino male, sed minus tamen commode. Cf. ad c. 115. Post αὐτῶν vulgo punctum, apud Bekk. comma.

Φοβηθέντες. Virgula post hoc participium ante Bauerum aberat, qui genitivos nostram interpunctionem requirere vidit, nisi cum Bekk. praecedentem quoque virgulam delere mavis.

Νομίσαντες. „Hoc participium pendet a φοβηθέντες. Timoris enim Peloponnesiorum duae causae memorantur, primum quod noctu hostes accesserint, tum quod ipsi, quum proditores ex Megarensibus contra pugnantes vidissent, omnes Megarenses in proditionem conspiresse arbitrati sint. Post καί igitur interpungatur necesse est, ut haec copula ad νομίσαντες referri possit. Similis locus est infra c. 69. [§. 3.]." HAACK. Non paruerunt Bekk. et Goell., ac genitivi consequentiae et nominativus participii an copulentur a Thucydide, dubium est. Vid. ad III, 84. Locum proximi capitis nihil probare apparet. Fortasse τέ post νυκτί hyperbaton facit, ut φοβηθ. τε — καὶ νομίσ. proprie cohaereant. Vid. I. 1. p. 300. sq.

3. Τὸν τῶν. Τόν om. Aug. (non Mosqu., ut Bekk. vult.)

Digitized by Google

κήρυκα ἀφ' ἑαυτοῦ γνώμης πηρῦξαι τὸν βουλόμενον ἰέναι Μεγαρέων μετὰ Ἀθηναίων θησόμενον τὰ ὅπλα· οἱ δ' ὡς ἤκουσαν, οὐκέτι ἀνέμενον, ἀλλὰ τῷ ὄντι νομίσαντες κοινῇ πολεμεῖσθαι, κατέφυγον ἐς τὴν Νίσαιαν.

(Οἱ προδόται καὶ τὴν πόλιν τῶν Μεγαρέων ἐπιχειροῦσιν ἐνδοῦναι, ὅπερ οὐκ ἀποβαίνει.)

4. Ἅμα δὲ ἕῳ, ἑαλωκότων ἤδη τῶν τειχῶν, καὶ τῶν ἐν τῇ πόλει Μεγαρέων θορυβουμένων, οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες καὶ ἄλλοι μετ' αὐτῶν, πλῆθος ὃ ξυνῄδει, ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας, καὶ ἐπεξιέναι ἐς μάχην. 5. ξυνέκειτο δὲ αὐτοῖς, τῶν πυλῶν ἀνοιχθεισῶν, ἐςπίπτειν τοὺς Ἀθηναίους· αὐτοὶ δὲ διάδηλοι ἔμελλον ἔσεσθαι· λίπα γὰρ ἀλείψεσθαι, ὅπως μὴ ἀδικῶνται. ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο τῆς

ξη'. 2. Θησόμενον τὰ ὅπλα] ἤγουν ἀποθησόμενον. (λ. Κασσ. Αὐγ.) — 3. Οἱ δ'] ἤγουν οἱ Πελοποννήσιοι. (λ. Αὐγ.) — 6. Οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες] ἤγουν οἱ συνθέμενοι τοῖς Ἀθηναίοις. (λ. Αὐγ.) — 9. Ξυνέκειτο δὲ αὐτοῖς] ἤγουν συμφωνία ἦν. (λ. Αὐγ.) — 10. Ἐςπίπτειν] μετὰ βάρους εἰςέρχεσθαι. (λ. Αὐγ.) — 11. Μὴ ἀδικῶνται] ἤγουν μὴ βλάπτωνται. (λ. Αὐγ.) — 12. Ἀσφάλεια δὲ αὐτοῖς μᾶλλον ἐγίγνετο] ἀντὶ τοῦ, ἐν ἀσφαλείᾳ δὲ μᾶλλον ἔμελλον ἔσεσθαι ἀνοίξαντες τὰς πύλας.

Κηρῦξαι Bekk. Goell. Libri κηρύξαι. Cf. de Art. crit. p. 151.

4. Ἅμα. In C. ἅ eras, et μα om. Post ἕῳ virgulam addidit ed. Lips.

Οἱ πρὸς τοὺς Ἀθηναίους πράξαντες. „Suid. [et Phavor.] in πράξαντες· Θουκυδίδης· οἱ δὲ μετ' Ἀθηναίων πράξαντες (τουτέστι βουλευθέντες) ἔφασαν χρῆναι ἀνοίγειν τὰς πύλας. ἔμελλον δὲ ἀνοιχθεισῶν εἰςπίπτειν τοῖς Ἀθηναίοις. Portus ibi ex coniectura συνεισπίπτειν. Aliter mss." WASS. „Probat coniecturam Porti in notis ad Suid. Kusterus. Utrumque fugit, ubi apud Thucyd. legerentur quae ibi habet Suidas; quod si scivissent, facile vidissent haec male a Suida descripta, vel a librariis corrupta, nec locum coniecturae esse." DUK.

Ἄλλοι μετ' αὐτῶν, πλῆθος ὃ ξυνῄδει. Mosqu. ἄλλο et ξυνείδει. „Possunt haec intelligi et defendi, si per appositionem accipias. Tamen Abreschii [et Reisk.] coniectura ἄλλο μετ' αὐτῶν πλῆθος, ὃ ξυν. tam facilis et cuivis obvia est, ut, si vel uno et altero probato codice niteretur, non dubitarem eam recipere." HAAK.

Ἔφασαν. Dan. ἔφθασαν.

5. Λίπα — ἀδικῶνται Suid. in λίπα. Pal. λιπαρά. At vid. adnot. ad I, 6.

Ἀλείψεσθαι. m. Dan. ἀλείψασθαι.

ἀνοίξεως· καὶ γὰρ οἱ ἀπὸ τῆς Ἐλευσῖνος κατὰ τὸ ξυγκείμενον τετρακισχίλιοι ὁπλῖται τῶν Ἀθηναίων καὶ ἱππῆς ἑξακόσιοι [οἱ] τὴν νύκτα πορευόμενοι παρῆσαν. 6. ἀληλιμμένων δὲ αὐτῶν, καὶ ὄντων ἤδη περὶ τὰς πύλας, καταγορεύει τις ξυνειδὼς τοῖς ἑτέροις τὸ ἐπιβούλευμα· καὶ οἳ, ξυστραφέντες, ἀθρόοι ἦλθον, καὶ οὐκ ἔφασαν χρῆναι οὔτε ἐπεξιέναι, (οὐδὲ γὰρ πρότερόν πω τοῦτο, ἰσχύοντες μᾶλλον, τολμῆσαι,) † οὔτε † ἐς κίν-

ξη΄. 4. Ἀληλιμμένων δὲ αὐτῶν] ἤγουν τῶν προδοτῶν. (λ. Αὐγ.) — 5. Καταγορεύει] καταγγέλλει. (λ. Κασσ. Αὐγ.) — Τοῖς ἑτέροις] τοῖς μὴ εἰδόσι. (λ. Κασσ. Αὐγ.) — 6. Ξυστραφέντες] συσπειραθέντες. (λ. Κασσ. Αὐγ.) — 7. Ἐπεξιέναι] κατὰ τῶν Ἀθηναίων. (λ. Κασσ. Αὐγ.)

Κατά. E. καὶ κατά. Statim Mosqu. ὁπλῖται.

Ἱππῆς Pal. Bekk. Goell. In Aug. C. Reg. (G.) ἱππῆς. Vulgo (et Haack.) ἱππεῖς. Cf. I. 1. p. 221 et 475.

Οἱ τήν. Οἱ om. Cl. D. I. Ar. Chr. Dan. (de quibus falsissima narrat Bekk.) probante Reisk. Nec valde aptus videtur articulus, quo addito verba significant *ii equites, qui nocte iter faciebant, advenerant*, quum exspectemus *equites nocturno itinere advenerant.*

6. *Ἀληλιμμένων.* Pal. ἀληλειμμένων. Cf. Buttm. Gr. max. §. 85. 2. cum adnot. 3. B. ἀληλιμένων, atque etiam in I. unum μ s. v. al. man.

Ὄντων ἤδη. C. Reg. (G.) Chr. ἤδη ὄντων.

Περί. Chr. ἐπί.

Ἑτέροις. Pal. It. Vat. H. ἑταίροις, noto errore. cf. VIII, 48. al.

Καὶ οἳ, ξυστραφέντες, ἀθρόοι ἦλθον. Ita Haack. Vulgo deest comma post οἳ, quod qui addidit Bauer, of male sine accentu scripsit. Vid. script. discr. c. 83. *Καὶ οἱ ξυστραφέντες ἀθρόοι ἦλθον* dant Bekk. et Goell.

Καὶ οὐκ. Καί om. Mosqu.

Οὔτε ἐπεξιέναι. Gr. οὐκέτι ἐπεξιέναι. C. Mosqu. οὔτε ἐπιξιέναι.

Οὔτε ἐς. Bekkerus commate post καταγ. collocato οὐδέ mavult pro οὔτε, et sane ἐπεξιέναι atque ἐς κίνδυνον καταγαγεῖν non videntur distinguenda, ut alterum sine altero cogitetur, sed hoc potius ex illo prodire eique adnectendum esse. Obstat tamen altera ex parte, quod εἴ τε — ἔσεσθαι non ex οὐκ ἔφασαν, sed ex solo ἔφασαν pendent, nec id post οὐκ ἔφασαν οὔτε ἐπεξ. ad alterum membrum sine negatione referri posse arbitramur; sed in tertio structura mutari recte potest. Praeterea interpositis οὐδὲ τολμῆσαι alterum οὐδέ minus apte cum ἐπεξ. iungeretur. Quare non id periculum intelligimus, quod ex ipsa eruptione oriatur, sed quod urbs, si Atheniensium amici invita altera factione eruptionem facturi sint, ex seditione subitura sit.

Digitized by Google

δυνον φανερὸν τὴν πόλιν καταγαγεῖν· εἴ τε μὴ πείσεταί τις, αὐτοῦ τὴν μάχην ἔσεσθαι. ἐδήλουν δὲ οὐδὲν ὅτι ἔσασι τὰ πρασσόμενα, ἀλλὰ ὡς τὰ βέλτιστα βουλεύοντες ἰσχυρίζοντο, καὶ ἅμα περὶ τὰς πύλας παρέμενον φυλάσσοντες· ὥςτε οὐκ ἐγένετο τοῖς ἐπιβουλεύουσι πρᾶξαι ὃ ἔμελλον.

(Ἡ Νίσαια περιτειχισθεῖσα ὁμολογίᾳ παραδίδοται. τὰ μακρὰ τείχη ἀποῤῥήγνυται ἀπὸ τῶν Μεγάρων.)

ξθ'. Γνόντες δὲ οἱ τῶν Ἀθηναίων στρατηγοὶ ὅτι ἐναντίωμά τι ἐγένετο, καὶ τὴν πόλιν βίᾳ οὐχ οἷοί τε ἔσονται λαβεῖν, τὴν Νίσαιαν εὐθὺς περιετείχιζον, νομίζοντες, εἰ, πρὶν ἐπιβοηθῆσαί τινας, ἐξέλοιεν, θᾶσσον ἂν καὶ τὰ Μέγαρα προςχωρῆσαι. 2. παρεγένετο δὲ σίδηρός τε ἐκ τῶν Ἀθηνῶν ταχὺ, καὶ λιθουργοὶ, καὶ

ξη'. 1. Εἴ τε μὴ πείσεταί τις, αὐτοῦ τὴν μάχην ἔσεσθαι] εἴτε μὴ πείσονται οἱ ἀντιστασιῶται, τὴν μάχην ἔσεσθαι οὐ πρὸς τοὺς Ἀθηναίους, ἀλλὰ πρὸς ἀλλήλους τοῖς Μεγαρεῦσιν. (λ. Κασσ.) — 2. Ἐδήλουν δὲ οὐδέν] ἀντὶ τοῦ οὐδὲ ὅλως ἐδήλουν. (λ. Κασσ.)

ξθ'. 7. Οἱ τῶν Ἀθηναίων στρατηγοί] οἱ ἐκτὸς ἔτι ὄντες τῶν Μεγάρων καὶ μήπω εἰςελθόντες. — 11. Σίδηρός τε] λιθουργός. (λ. Κασσ. Αὐγ.)

Φανερόν. Ar. Chr. φανεράν.

Εἴ τε. Ante Haack., qui Abreschio paruit, male coniunctim εἴτε. Cf. Krüg. l. l. p. 268.

Πείσεται. D. I. πείθεται.

Οὐδέν. Pal. C. Reg. cod. Bas. Gr. οὐδέ. E. οὐχ, sed s. v. literis rubris. Libraril temere haeserunt in οὐδέν pro οὐ posito. Cf. Ind. Xen. Anab.

Ἴσασι. Gr. εἴσασι.

Ἀλλὰ ὡς plene Cass. Aug. H. D. I. E. m. Ar. Chr. Dan. et haud dubie plures pro vulg. (Haack. Bekk. Goell.) ἀλλ' ὡς. Cf. Farr. discr. script.

Ἰσχυρίζοντο — φυλάσσοντες om. Mosqu.

Περί. Reg. (G.) παρά, sed rec. man. emendatum in περί. Mox Pal. πράξαι.

Cap. LXIX. Βίᾳ post ἔσονται collocant C. Reg. (G.)

Οἷοι. Vind. οἷον.

Νομίζοντες. G. νομίσαντες, cum ζῶν s. σᾶν al. man.

Καὶ τά. Chr. Dan. καὶ κατά.

2. Παρεγένετο — ἐπιτήδειᾳ. Hanc totam enunciationem Bekk. in parenthesim redegit.

Λιθουργοί. Valla tectores. „Videtur legisse πλινθουργοί." STEPH. Inde hoc in marg. Steph. venit, haud dubie temere. Infra V, 82. τέκτονες καὶ λιθουργοί memorantur. Moeris: Λιθουργοὺς Θουκυδίδης, λιθοκόπους Ἀντιφῶν. Cf. Hemsterhus. ad Luci. Somn. I. p. 202. Lehm.

Digitized by Google

ἄλλα ἐπιτήδεια. ἀρξάμενοι δ' ἀπὸ τοῦ τείχους ὃ εἶχον, καὶ διοικοδομήσαντες τὸ πρὸς Μεγαρέας, ἀπ' ἐκείνου ἑκατέρωθεν ἐς θάλασσαν τῆς Νισαίας, τάφρον τε καὶ τείχη διελσμένη ἡ στρατιὰ, ἔκ τε τοῦ προαστείου λίθοις 279.
καὶ πλίνθοις χρώμενοι, καὶ κόπτοντες τὰ δένδρα καὶ ὅ ὕλην, ἀπεστανρουν, εἴ πη δέοιτό τι· καὶ αἱ οἰκίαι τοῦ προαστείου, ἐπάλξεις λαμβάνουσαι, αὐταὶ ὑπῆρχον ἔρυμα. 3. καὶ ταύτην μὲν τὴν ἡμέραν ὅλην εἰργάζοντο· τῇ δὲ ὑστεραίᾳ περὶ δείλην τὸ τεῖχος ὅσον οὐκ ἀπετετέλεστο, καὶ οἱ ἐν τῇ Νισαίᾳ, δείσαντες, αἴτου τε ἀπο- 10

ξθ'. 6. *Τλην*] ἄλλην δηλονότι. (λ. Κασσ. Αὐγ.) — *Ἀπεστανρουν*] χαρακώματα ἐποίουν. (λ. Κασσ. Αὐγ.) — 9. *Ὅσον οὐκ ἀπετετέλεστο*] ἀντὶ τοῦ παρὰ μικρὸν ἀπετελέσθη. — 10. *Οἱ ἐν τῇ Νισαίᾳ*] οἱ Πελοποννήσιοι δηλονότι. (λ. Κασσ. Αὐγ.)

Τἄλλα. D. Ar. *τὰ ἄλλα*. At vid. I. 1. p. 215. Mosqu. *τ' ἄλλα*, et ita cap. extr. *Τἄλλα* Bekk.

Διοικοδομήσαντες. Gr. *οἰκοδομήσαντες*. Mosqu. *διοικομήσαντες*, sed *δο* superscr. man. 2.

Ἔκ τε. *Τέ* de. Ar. Dan.

Προαστείου. Cass. *προαστίου* hic et paulo post. Cf. script. discr. ad III, 102.

Λίθοις — δέοιτό τι. „Suidas in ἀπεστανρουν." WASS. „Suidas habet *λίθοις δὲ καὶ πλίνθοις*, et *καὶ ὕλην ἐπιφέροντες, ἀπεστανρουν*." DUK., quem vid. etiam in adnot., ubi aliquid vitii hic latere probabile esse videbimus. Fuitne *ὕλη*, quod ad *ἀπεστανρουν* referatur? *Καὶ πλίνθοις* in E. omissa erant, verum restituta sunt. C. *ἀπεστρανρουν* scribit.

Εἴ πη. Cass. Aug. *εἴ πῃ*. Cf. de Art. crit. p. 149. G. Reg. (G.) *εἴ ποι*. F. E. *εἴ που*.

Αὐταί Cass. Aug. Cl. Pal. It. Vat. Chr. Reisk. Haack. Bekk. Goell. Male vulgo *αὗται*. I. *αὐτάς*. Valla *hae ipsae*.

3. *Τῇ δέ* plene Cass. Aug. Pal. F. C. Reg. (G.) Gr. I. E. m. In D. *τῇ τε*. Vulgo (Haack. Bekk. Goell.) *τῇ δ'*.

Περί. Chr. Dan. Flor. *παρά*.

Τὸ τεῖχος. Pal. B. Ald. Bas. Flor. *τοῦ τείχους τοσοῦτον*. „*Τὸ τεῖχος* nimis frigide [dictum] pro celeritate et magnitudine operis. Legendum potius cum vetuste exousis *τοῦ τείχους τοσοῦτον*. Isocrates, *εἰς τοσοῦτο μίσους κατέστησαν*. Aristophan. Nub. 830. *εἰς τοσοῦτο τῶν μανιῶν ἐλήλυθας*. Noster VII, 2. *παρὰ τοσοῦτον ἦλθον κινδύνου*, et alibi *παρὰ τὸ τοιοῦτον* et *ἐν τούτῳ τυχῆς εἰσίν*, et p. 85. [I, 49.] *ξυνέπεσον ἐς τοῦτο ἀνάγκης*, et 199. [III, 49.] *παρὰ τοσοῦτον ἡ Μ. ἦλθε τοῦ κινδύνου*." WASS. Haec exempla dissimilia esse et hic *τοσοῦτον* interpretibus sequenti *ὅσον* offensis deberi quis non videt! Caeterum post *τεῖχος* interpungunt Ar. Chr. *Τεῖχον* E., nisi fallit Gail.

Ὅσον οὐκ ἀπετετέλεστο. Agnoscunt Suid. et Phot. in *ὀσονούπω*, quod *σχεδόν* interpretantur. *Ὅσον οὔπω* pro *ὅσον οὐκ* habet E. (vid. ad I, 36.), *ἀπετετέλεστο*

Digitized by Google

εἰς, (ἐφ' ἡμέραν γὰρ ἐκ τῆς ἄνω πόλεως ἐχρῶντο,) καὶ τοὺς Πελοποννησίους ὑπονοήσαντες ταχὺ ἐπιβοηθήσειν, τούς τε Μεγαρέας πολεμίους ἡγούμενοι, ξυνέβησαν τοῖς Ἀθηναίοις ἐφ' ᾧτε μὲν ἕκαστον ἀργυρίου ἀπολυθῆναι, ὅπλα παραδόντας, τοῖς † τε † Λακεδαιμονίοις, τῷ τε ἄρχοντι καὶ εἴ τις ἄλλος ἐνῆν, χρῆσθαι Ἀθηναίους ὅ τι ἂν βούλωνται. 4. ἐπὶ τούτοις ὁμολογήσαντες ἐξῆλθον. καὶ οἱ Ἀθηναῖοι τὰ μακρὰ τείχη ἀπορρήξαντες ἀπὸ τῆς τῶν Μεγαρέων πόλεως, καὶ τὴν Νίσαιαν παραλαβόντες, τἆλλα παρεσκευάζοντο.

(β'. Ἡ Βρασίδου ἄφιξις τὰ τῶν Μεγαρέων ἐπανορθοῖ. ο' — οδ'. Βρασίδας τότε ἐπὶ Θρᾴκης στρατείαν παρασκευαζόμενος βοηθεῖ.)

ο'. Βρασίδας δὲ ὁ Τέλλιδος, Λακεδαιμόνιος, κατὰ τοῦτον τὸν χρόνον ἐτύγχανε περὶ Σικυῶνα καὶ Κύρινθον ὢν, ἐπὶ Θρᾴκης * στρατείαν * παρασκευαζόμενος.

ξθ'. 1. Ἐχρῶντο] σὺν δηλονότι. (λ. Κασσ. Αὐγ.) — 6. Τῷ τε ἄρχοντι] ἦγουν τῷ ἄρχοντι τῶν Λακεδαιμονίων. (λ. Αὐγ.) — 7. Ὁμολογήσαντες] ἦγουν συμφωνήσαντες. (λ. Αὐγ.)

pro ἀπετετέλεστο Aug. Mosqu. Ar. Chr. Ald. Bas. (vid. I. 1. p. 228.), ἐτετέλεστο E.

Ἐκ in marg. al. man. I.

Ἐπιβοηθήσειν. Gr. ἐπιβοηθεῖν, quod temere optimum vocat Wass., quanquam, si maiorem auctoritatem haberet, excusari posset.

Ξυνέβησαν — παραδόντας. „Suidas: Ῥητὸν· ὡρισμένον, φανερόν. Θουκυδίδης· Συνέβησαν — παραδόντας." DUK. E. Dan. ἀργύριον. Reg. (G.) Gr. παραδόντες, sed in hoc emendatum. D. παραδιδόντες, sed ᾱ s. ῑ ead. man.

Τοῖς τε. Imo τοῖς δέ. Vid. I. 1. p. 277. Quod nobis placuit, tacite reposuit Bekk., quem secutus est Goell.

Τῖς ἄλλος ἐνῆν. Hinc in D. lacuna ad καὶ οἱ Ἀθην.

Ἂν s. v. G. Tum ed. Bas. βούλωνται.

4. Τῶν Μεγαρέων. Τῶν om. Gl.

Cap. LXX. Βρασίδας δέ. I. Ἐρασίδας τε. Alterum ς in Βρασίδας Mosqu. a man. 2. habet.

Ὁ Τέλλιδος. Ὁ om. C. Mosqu. Pro Τέλλιδος D. I. Τέλλιος, Mosqu. Ἔλιδος. At vid. II, 25. al.

Ἐτύγχανε. I. ἐτύγχανε γάρ. Mox Pal. Σικύωνα.

Ἐπὶ Θρᾴκης. Ar. Chr. καὶ ἐπὶ Θ.

Στρατείαν. Vulgo στρατιάν. „Στρατείαν malit Ar. Portus, ut infra [c. 74.]" HUDS. Quum ἐπὶ Θρᾴκης, *Thraciam versus*, cum στρατιάν non bene congruat, et infra Thucydides aperte huc respiciens dicat τὴν ἐπὶ Θρᾴκης στρατείαν παρεσκευά-

Digitized by Google

καὶ ὡς ἤσθετο τῶν τειχῶν τὴν ἅλωσιν, δείσας περὶ τοῖς ἐν τῇ Νισαίᾳ Πελοποννησίοις, καὶ μὴ τὰ Μέγαρα ληφθῇ, πέμπει ἐς τε τοὺς Βοιωτοὺς, κελεύων κατὰ τάχος στρατιᾷ ἀπαντῆσαι ἐπὶ Τριποδίσκιον, (ἔστι δὲ κώμη τῆς Μεγαρίδος, ὄνομα τοῦτο ἔχουσα, ὑπὸ τῷ ὄρει τῷ Γερανίᾳ,) καὶ αὐτὸς ἔχων ἦλθεν ἑπτακοσίους μὲν καὶ διχιλίους Κορινθίων ὁπλίτας, Φλιασίων δὲ τετρακοσίους, Σικυωνίων δὲ ἑξακοσίους, καὶ τοὺς μεθ' ἑαυτοῦ, ὅσοι ἦδη ξυνειλεγμένοι ἦσαν, οἰόμενος τὴν Νίσαιαν ἔτι καταλήψεσθαι ἀνάλωτον. 2. ὡς δὲ ἐπύθετο, (ἔτυχε γὰρ νυκτὸς ἐπὶ τὸν Τριποδίσκιον ἐξελθὼν,) ἀπολέξας τριακοσίους τοῦ στρατοῦ, πρὶν ἔκπυστος γενέσθαι, προσῆλθε τῇ τῶν Μεγαρέων πόλει, λαθὼν τοὺς Ἀθηναίους, ὄντας περὶ τὴν θάλασσαν, βουλόμενος μὲν τῷ λόγῳ, καὶ ἅμα, εἰ δύναιτο, ἔργῳ τῆς Νισαίας πειρᾶσαι,

c. 14. *Τῷ λόγῳ*] *ἀντὶ τοῦ τῇ φήμῃ* (*λ. Ἀν.*)

ζεν, ἵναπερ καὶ τὸ πρῶτον ὥρμητο, στρατείαν recepit Haack, Non paruerunt Bekk. et Goell.

Στρατιᾷ. „Forsan *πανστρατιᾷ*, ut infra. [c. 72.]" ABM. PORT. Hoc tantum abest ut verum sit, ut ille ipse locus Brasidam non omnes arcessivisse doceat. Antea Gr. *Πελλοποννησ.*

Τριποδίσκιον Cass. Aug. Cl. Pal. (qui *Τριπόδισκον*,) Vat. H, F, Reg. (G.) cod. Bas. I. Vind. m. Haack. Bekk. Goell. In Gr. *τὸ Τριποδίσκιον*. Vulgo *Τριποδίσκον*. „Usitatius est *ἐπὶ Τριποδίσκον*, quod hic habent plerique iique optimi libri. Infra c. 77. *ἡτοιμάζετο ὡς ἐπὶ τὰς Σίφας, ὅταν δέῃ, ἀπαντησόμενος*. Sic *ἀπαντᾶν ἐπὶ τὸ δικαστήριον* et alia huiusmodi. Alibi cum *εἰς* dicit Thucydides, III, 95. *ἀπαντῆσαι τοῖς Ἀθηναίοις ἐς τὴν μεσόγειον*." DUK. Cf. adnot. ad c. 89. et Ind. in *ἀπαντ.*

Γερανίᾳ Cass. Aug. F. Pal. Mosqu., Vulgo (Haack. Bekk. Goell.) *Γερανείᾳ*. Cf. script. discr. ad I, 105. Virgulam post *Μεγαρ.* addidit Bauer.

Ἔχων ἦλθεν. F. *ἦλθεν ἔχων*.

Διχιλίους. In C. *δις* s. v.

Σικυωνίων δὲ ἑξακοσίους om. D. I. E. Vind. Chr. Dan., E. tamen ead. man. supplet. *Καὶ Σικυωνίων ἑξακ.* praebet Ar.

Καὶ τοὺς. *Καί* om. Ar.

Ἑαυτοῦ Cass. Cl. F. C. Reg. (G.) D. I. E. m. Ar. Chr. Vulgo (Haack. Bekk. Goell.) *αὐτοῦ*, Mosqu. *αὐτεῦ* et antea *μετ'*.

2. *Ἐπύθετο* s. v. al. man. B.

Ἔτυχε. Cl. *ἐτύγχανε*.

Ἀπολέξας — στρατοῦ om. C. Reg.

Μεγαρέων. Gr. *Μεγάρων*.

Μὲν τῷ λόγῳ. Prisciani cod. Mon. apud Speng. p. 648. *τῷ μὲν λόγῳ*. C. *δὲ τῷ λόγῳ*. I. *μὲν τῷ ἔργῳ* in marg. al. man.

Πειρᾶσαι Pal. Bekk. Goell. Vulgo (et Haack.) *πειράσει*. Cf. script. discr. ad II, 77. „*Πειρᾶ-*

αἱ δὲ μέγιστον, τὴν τῶν Μεγαρέων πόλιν ἐςελθὼν βεβαιώσαθαι. καὶ ἠξίου δέξαθαι σφᾶς, λέγων ἐν ἐλπίδι εἶναι ἀναλαβεῖν Νίσαιαν.

(Οἱ Μεγαρῆς οὐ δέχονται αὐτὸν ἐς τὴν πόλιν.)

οα'. Αἱ δὲ τῶν Μεγαρέων στάσεις φοβούμεναι, οἱ μὲν, μὴ, τοὺς φεύγοντας σφίσιν ἐςαγαγὼν, αὐτοὺς
280. ἐκβάλῃ, οἱ δὲ, μὴ αὐτὸ τοῦτο ὁ δῆμος δείσας ἐπίθηται σφίσι, καὶ ἡ πόλις, ἐν μάχῃ καθ' αὑτὴν οὖσα, ἐγγὺς ἐφεδρευόντων Ἀθηναίων ἀπόληται, οὐκ ἐδέξαντο, ἀλλ' ἀμφοτέροις ἐδόκει ἡσυχάσασι τὸ μέλλον περιϊδεῖν. 2. ἤλπιζον γὰρ καὶ μάχην ἑκάτεροι ἔσεσθαι τῶν τε Ἀθηναίων καὶ τῶν προςβοηθησάντων, καὶ οὕτω σφίσιν ἀσφαλεστέρως ἔχειν, * οἷς * τις εἴη εὔνους, κρατήσασι

ο'. 2. Σφᾶς] ἤγουν τοὺς περὶ αὐτόν. (λ. Αὐγ.)
οα'. 4. Αἱ δὲ τῶν Μεγαρέων στάσεις] οἱ στασιάσαντες. (λ. Αὐγ.) — 7. Σφίσι] τοῖς Μεγαρεῦσιν. (λ. Αὐγ.) — 8. Οὐκ ἐδέξαντο] τὸν Βρασίδαν. (λ. Αὐγ.) — 9. Περιϊδεῖν] περισκοπῆσαι. — 11. Σφίσιν] τοῖς Μεγαρεῦσιν. (λ. Αὐγ.)

σθαι Priscian. l. XVIII. p. 1198, 30." WASS. Sic E. „Haec inter se permutantur. Vid. [script. discr. ad] IV, 25. Hic omnes libri [praeter unum] consentiunt [et apud Priscian. cod. πιραισαι in πειρᾶσαι mutavit Krehl.] Quod apud Priscian. corrupte editur κοινα τι δυνατι [cod. Mon. ἀνα τι δυναται] ex hoc loco emendandum est καὶ ἅμα, εἰ δύναιτο." DUK.

Ἐςελθών F. E. Haack. Goell. Vulgo (et Bekk.) εἰςελθών. Cf. I. 1. p. 212. cum Farr. discr. script.

Ἐν ἐλπίδι — Νίσαιαν. „Thom. Mag. in βούλομαι." WASS. „Quem exscripsit Phavor. in προςδοκίαν." GOELL.

Cap. LXXI. Μεγαρέων quum ex Mosqu. sine causa offeratur, in eo fortasse Μεγάρων legitur.

Ἐκβάλῃ. Mosqu. ἐκβαλεῖ. De hoc et de ἀπολεῖται cf. script. discr. ad I. 36. Antea in φεύγοντας syllabae οντας in E. al. man. scriptae.

Οἱ δέ. F. εἰ δέ.

Αὐτὸ τοῦτο. I. τὸ αὐτὸ τοῦτο.

Ἐπίθηται. Cass. Aug. Pal. Bekk. Goell. ἐπιθῆται. At vid. I. 1. p. 229. et Ephemm. Hall. a. 1826. p. 520.

Αὑτήν. Cl. ἑαυτήν.

φασκευῇ μὲν ὡπλισμένοι οὔτε τότε παρῆσαν, οὔτε ἐγένοντο τῇ πόλει· οἵπερ δὲ ξυνεξέβαλον, ὄντες πολλαπλάσιοι τῶν ἐναντίων, ἄοπλοί τε πολλοὶ ἠκολούθησαν, ἅτε παντστρατιᾷ ξέπασι τῶν παρόντων καὶ ἀστῶν γευο-
5 μένης, καὶ ὡς τὸ πρῶτον ὥρμησαν ἐπ' οἴκου, οὐ παρεμένοντο, ὅτι μὴ ὀλίγοι. 2. καθεστώτων δὲ ἐς τὴν τάξιν, καὶ ἤδη μελλόντων ξυνιέναι, Ἱπποκράτης ὁ στρατηγὸς, ἐπιπαριὼν τὸ στρατόπεδον τῶν Ἀθηναίων, παρεκελεύετό τε καὶ ἔλεγε τοιάδε.

(*Παρακέλευσις Ἱπποκράτους.*)

10 ιδ'. „Ὦ Ἀθηναῖοι, δι' ὀλίγου μὲν ἡ παραίνεσις γίγνεται, τὸ ἴσον δὲ πρός * τε * τοὺς ἀγαθοὺς ἄνδρας δύναται, καὶ ὑπόμνησιν μᾶλλον ἔχει ἢ ἐπικέλευσιν. 2. παραστῆ δὲ μηδενὶ ὑμῶν ὡς ἐν τῇ ἀλλοτρίᾳ, οὐ προς-

ιδ'. 7. *Μελλόντων ξυνιέναι*] ἑκατέρων τῶν στρατῶν. (λ. Αὐγ.)

ιε'. 10. *Δι' ὀλίγου*] λόγου δηλονότι· [** ἢ ἐν βραχεῖ χρόνῳ. τὸ ἴσον δὲ ἔχει τοῖς πολλοῖς λόγοις, καὶ ὑπομιμνήσκειν μᾶλλον ἢ παρακέκλευσθαι δύνασθαι. (*Κασσ. Αὐγ.*)]

Ἐγένοντο τῇ Cass. Aug. Cl. Pal. It. Vat. H. C. Cam. Gr. D. I. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo ἐγένοντο ἐν τῇ. Cf. 92, 6.

Ξυνεξέβαλον. Cod. Bas. ξυνέβαλον. F. D. E. συνέβαλον.

Ἄοπλοί τε. Hino ad καὶ ὡς τὸ πρ. lacuna in C., suppl. marg. al. man.

Παντστρατιᾷ. Pal. παντστρατιᾷ, qui unus casus huius vocabuli sane alibi legitur. Cf. Lexx. Grr. Sed hic reliquorum verborum natura dativum non ferr.

Ἐπ' οἴκου. Pessime Reisk. ἀπ' οἴκου. Respicitur ad 90, 4.

Οὐ. E. οὔτε.

2. Τὴν τάξιν. Τήν emittere putatur Cl., sed incertum est.

Καὶ ἤδη Cass. Aug. Cl. Pal. It. Vat. H. C. Reg. (G.) cod. Bas. Gr. D. I. E. m. Ar. Chr. Haack. Bekk. Goell. Vulgo ἤδη καί, cum commate post ἤδη, non post τάξιν. F. καί om.

Παρεκελεύετο. Gr. παρεκέλευε, sed recte adscript. το.

Τί s. v. al. man. habet E., om. Mosqu.

Cap. XCV. Ὦ Ἀθηναῖοι. Ὦ om. I.

Ἴσον. Pal. ἶσον. At vid. I. 1. p. 214.

Πρός τε. Nobis cum Reisk. πρός γε placet. Vulgatam traiectione particulae τέ tuetur Haack., cuius exempla vid. I. 1. p. 300. sq. et in Ind. verb., quanquam hic nec Elmsleio ad Eur. Heracl. 622. nec Schaefero ad Poet. gnom. 73. et ad Demosth. I. p. 191. probetur.

Ἔχει. E. ἔχειν.

2. Ἡμῶν. D. ἡμῶν. Mox in προσῆκον quis credat viros do-

Digitized by Google

ἦκον, τοσόνδε κίνδυνον ἀναῤῥιπτοῦμεν. ἐν γὰρ τῇ τούτων ὑπὲρ τῆς ἡμετέρας ὁ ἀγὼν ἔσται· καὶ ἢν νικήσωμεν, οὐ μή ποτε ὑμῖν Πελοποννήσιοι ἐς τὴν χώραν ἄνευ τῆς τῶνδε ἵππου ἐσβάλωσιν· ἐν δὲ μιᾷ μάχῃ τήνδε τε προσκτᾶσθε, καὶ ἐκείνην μᾶλλον ἐλευθεροῦτε. 3. χωρήσατε οὖν ἀξίως ἐς αὐτοὺς τῆς τε πόλεως, ἣν ἕκαστος πατρίδα ἔχων πρώτην ἐν τοῖς Ἕλλησιν ἀγάλλεται, καὶ τῶν πατέρων, οἳ, τούσδε μάχῃ κρατοῦντες μετὰ Μυρω- 5

ιδ. Βιβλ. νίδου ἐν Οἰνοφύτοις, τὴν Βοιωτίαν ποτὲ ἔσχον."
α'. κεφ.

ρή'. (Τὰ στρατόπεδα ἐς χεῖρας εἶσι, καὶ πρῶτον μὲν τὸ εὐώνυμον τῶν Βοιωτῶν ἡσσᾶται ὑπὸ τῶν Ἀθηναίων, τὸ δὲ δεξιὸν κρατεῖ· ἔπειτα δὲ φυγὴ γίγνεται παντὸς τοῦ στρατεύματος τῶν Ἀθηναίων.)

ϟε'. Τοιαῦτα τοῦ Ἱπποκράτους παρακελευομένου, καὶ μέχρι μὲν μέσου τοῦ στρατοπέδου ἐπελθόντος, τὸ δὲ πλέον οὐκέτι φθάσαντος, οἱ Βοιωτοί, παρακελευσα- 10

ϟε'. 1. Ἀναῤῥιπτοῦμεν] ῥιψοκινδύνως λαμβάνομεν. (λ. Ἀϋγ.) [ἀντὶ τοῦ, οὐ προσηκόντως τοσόνδε κίνδυνον ἀναδεχόμεθα. (Κασσ. Ἀϋγ.)] — Ἐν γὰρ τῇ τούτων] γῇ δηλονότι. (λ. Ἀϋγ.) — 5. Χωρήσατε οὖν —] τὸ ἐξῆς, χωρήσατε οὖν ἐς αὐτοὺς ἀξίως τῆς πόλεως. — 6. Ἐς αὐτούς] τοὺς ἐναντίους. (λ. Ἀϋγ.) — 7. Καὶ τῶν πατέρων] ἀπὸ κοινοῦ τὸ ἀξίως.

ϟς'. 11. Τὸ δὲ πλέον] τοῦ στρατοῦ. (λ. Ἀϋγ.) — 12. Φθάσαντος] νῦν ἀντὶ τοῦ καταλαβόντος.

ctos haesisse! Cf. Matth. Gr. §. 564., quocum virgulas addidimus.

Τοσόνδε. Mosqu. *τοσοῦτον.* „Thom. Mag. p. 783. [ex Thuc.] citat *τοσόν δὲ κίνδυνον ἀνερῥιπτοῦντο*, nescio an ex hoc loco. Vid. adnot. c. 85." GOELL.

Γὰρ τῇ. Gr. *τῇ γάρ.*

Ἡμετέρας Cass. Aug. Cl. F. Pal. It. Vat. Reg. (G.) Gr. D. E. Vind. Ar. Chr. Bar. Ald. Flor. Bas. Vall. Haack. Bekk. Goell. Vulgo *ὑμετέρας.*

Οὐ μή ποτε. C. D. I. *οὐδέ ποτε*, quod etiamsi *οὐδέποτε* scribas, non fert coniunctivus *ἐσβάλωσιν.*

Τμῖν. E. Mosqu. *ἡμῖν.* Sed „variat saepe auctor in eadem periodo haec pronomina." HAACK.

Ἐσβάλωσιν. C. Ar. Chr. *ἐσβάλλωσιν.* Reg. (G.) *ἐσβαίωσιν*, et in Reg. rec. man. *βάλουσι.* Mosqu. *ἐσβάλουσι*, quod licet in *ἐσβαλοῦσι* mutaveris, Elmsleii saltem sectatores improbabunt.

Τήνδε τε. Τέ om Ar. Statim Mosqu. *προσκτᾶσθαι.* Deinde Vind. *ἐλευθεροῦτο.*

3. *Χωρήσατε.* C. *χρήσατε.*

Τῆς τε. Τέ om. Mosqu.

Τῶν πατέρων. Τῶν om. C. Cap. XCVI. *Μέσου τοῦ.* Mosqu. *τοῦ μέσου.* At vid. Buttm. Gr. §. 111. adnot. 3.

Τὸ δὲ — φθάσαντας om. B.

Παρακελευσαμένου. H. Vat. *παρακελευσάμενοι.*

Digitized by Google

μένου καὶ σφίσιν ὡς διὰ ταχέων καὶ ἐνταῦθα Παγώνδου, παιωνίσαντες ἐπῆεσαν ἀπὸ τοῦ λόφου. ἀντεπῆεσαν δὲ καὶ οἱ Ἀθηναῖοι, καὶ προσέμιξαν δρόμῳ. 2. καὶ ἑκατέρων τῶν στρατοπέδων τὰ ἔσχατα οὐκ ἦλθεν ἐς χεῖρας, 5. ἀλλὰ τὸ αὐτὸ ἔπαθε· ῥύακες γὰρ ἐκώλυσαν. τὸ δὲ ἄλλο 295. καρτερᾷ μάχῃ καὶ ὠθισμῷ ἀσπίδων ξυνεστήκει. 3. καὶ τὸ μὲν εὐώνυμον τῶν Βοιωτῶν καὶ μέχρι μέσου ἡσσᾶτο ὑπὸ τῶν Ἀθηναίων, καὶ ἐπίεσαν τούς τε ἄλλους ταύτῃ

ϛ'. 3. *Προσέμιξαν δρόμῳ*] αὐτοῖς δηλονότι † προσχόντες †. (*λ. Αὐγ.*) — 4. *Οὐκ ἦλθεν ἐς χεῖρας*] ἤγγυν οὐ συνέμιξεν. (*λ. Κασσ. Αὐγ.*) — 5. *Ἀλλὰ τὸ αὐτὸ ἔπαθεν*] ἑκατέρων δηλονότι τὰ ἔσχατα. (*λ. Αὐγ.*) — *Ῥύακες*] ῥεύματα * ὑδρηγά *. (*λ. Κασσ. Αὐγ.*) — 6. ** *Ξυνεστήκει*] ἑκατέρωθεν ἐστὼς ἐμάχετο. (*Κασσ. Αὐγ.*) — 8. *Καὶ ἐπῆεσαν*] οἱ Ἀθηναῖοι. (*λ. Κασσ. Αὐγ.*)

Καὶ σφίσι. Καί om. Mosqu.

Παιωνίσαντες Cass. (in quo tamen rec. man. ō s. ē posuit,) Aug. It. Vat. F. C. Reg. (G.) Cam. Gr. B. D. E. Vind. m. Ar. Chr. Vall. Haack. Bekk. Goell. et, ut videtur, etiam Cl., nisi quod D. E. *ποιονίσαντες*, C. *παιονήσαντες* praebent, in Aug. corrector *παιαν* ex *παιων* fecit, quod *παιανίσαντες* habent Ar. Chr. Cf. I. 1. p. 212. Vulgo *παιωνίσαντος* (cod. Bas. ab emend. *παιαν.*) cum distinctione post *ταχέων* et *παιων.*, non post *Παγώνδου*. „Apertum est legendum esse *παιωνίσαντες*. Distinctio non suo loco posita causam praebuit corrumpendae scripturae. *Παιωνίσαντες* est in maxima parte mss. torum, et post *Παγώνδου* distinctionem habent unus cod. Hudsoni et Gr. Valla quoque vel ita in suo exemplari invenit, vel coniecturam secutus sic legendum putavit; nam vertit: *Boeoti, adhortante eos hic quoque Pagonda perpaucis, paeana modulati.* Eum sine causa deseruerunt Portus et alii." DUK. „Verba *καὶ ἐνταῦθα* respiciunt ad c. 91., ubi *προσκαλέσας ἑκάστους κατὰ λόχους* Pagondas dicebatur." HAACK.

Ἐπῆεσαν bis ponit G. In D. *ἀπῆεσαν*. Mox Mosqu. *ἀντεπίεσαν*.

Οἱ Ἀθηναῖοι. Οἱ om. Gr.

2. *Ἑκατέρων τῶν στρατοπέδων*. F. *ἑκατέρῳ τω στρατοπέδω*. In *τὰ ἔσχατα* temere haeret Lindav. Vid. adnot.

Ἦλθεν. C. G. cod. Bas. Gr. D. E. Vind. m. Ar. Chr. *ἦλθον*. Sed sequitur *ἔπαθε*, pro quo *ἔπαθεν* Cass. Aug. Pal. C. et in minn. exempll. Bekk. Cf. Farr. discr. script.

Ἐκώλυσαν. Gr. *ἐκώλυεν*, per se non male, sed *σαν* super *ον*.

Τὸ δὲ ἄλλο. Gr. *τῷ δὲ ἄλλῳ*. Unde *τῷ δὲ ἄλλῳ καρτερᾷ μάχῃ* fortasse Thucydidem scripsisse temere suspicatur Bened.

Ξυνεστήκει. Mosqu. *ξυνεστήκεσι*. Cf. I. 1. p. 228.

3. *Τῶν Βοιωτῶν*. *Τῶν* om. I.

Μέσου. Vulgo *τοῦ μέσου*, sed *τοῦ* om. Cass. Aug. Cl. Pal. It. Vat. H. F. C. Reg. (G.) cod. Bas. Gr. I. Mosqu. m. Ar. Chr. Dan. Bekk. Goell. Cf. I. 1. p. 195.

Ἐπίεσαν Aug. Cl. Pal. It. H. D. I. E. (nisi quod in hoc al.

Digitized by Google

καὶ οὐχ ἥκιστα τοὺς Θεσπιέας. ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν παρατεταγμένων, καὶ κυκλωθέντων ἐν ὀλίγῳ, οἵπερ διεφθάρησαν Θεσπιέων, ἐν χερσὶν ἀμυνόμενοι κατεκόπησαν. καί τινες καὶ τῶν Ἀθηναίων, διὰ τὴν κύκλωσιν ταραχθέντες, ἠγνόησάν τε καὶ ἀπέκτειναν ἀλλήλους. 4. τὸ μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν Βοιωτῶν, καὶ πρὸς τὸ μαχόμενον κατέφυγε. τὸ δὲ δεξιὸν, ἧ οἱ Θηβαῖοι ἦσαν, ἐκράτει τῶν Ἀθηναίων, καὶ ὠσάμενοι κατὰ βραχὺ τὸ πρῶτον ἐπηκολούθουν. 5. καὶ ξυνέβη, Παγώνδου περιπέμψαντος δύο τέλη τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον, ὡς ἐπόνει τὸ εὐώνυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως, τὸ νικῶν τῶν Ἀθηναίων κέρας, νομίσαν ἄλλο στράτευμα ἐπίεναι, ἐς φόβον καταστῆναι. 6. καὶ ἀμφοτέρωθεν ἤδη, ὑπό τε τοῦ

ϛ'. 2. *Αὐτοῖς*] τοῖς Ἀθηναίοις. (λ. Κασσ. Ἀὐγ.) — *Κυκλωθέντων ἐν ὀλίγῳ*] ὑπὸ τῶν Ἀθηναίων ἐν ὀλίγῳ τόπῳ. (λ. Κασσ. Ἀὐγ.) — 7. *Πρὸς τὸ μαχόμενον*] μέρος τῶν Βοιωτῶν τὸ ἔτι μάχην ὑπομένον. (λ. Ἀὐγ.) §. πρὸς τὸ οἰκεῖον καὶ μὴ ἡττημένον. (Κασσ. Ἀὐγ.) — 8. *Ἐκράτει*] κρεῖττον ἦν (λ. Κασσ. Ἀὐγ.) — *Ὠσάμενοι*] τοὺς Ἀθηναίους δηλονότι. (λ. Κασσ. Ἀὐγ.) — 9. *Ξυνέβη — —*] τὸ ἑξῆς, ξυνέβη ἐς φόβον καταστῆναι. — 12. *Ὑπερφανέντων*] τῶν ἱππέων τῶν Βοιωτῶν δηλονότι. (λ. Ἀὐγ.)

man. post τ aliud τ inseruit,) Vind. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo *ἐκφέσαν*, sed in Cass. η ex alia litera factum. „Aptior hic lectio *ἐκίεσαν* a *πιέζειν*. Sane *ἐκιέναι* hic langueat, quum iam *vicisse* dicat Athenienses.“ BAU. Add. I. 1. p. 132.

Παρατεταγμένων. B. *πεπραγμένων*.

Καὶ κυκλωθέντων. *Καί* om. Dan.

Ἀμυνόμενοι. Dan. *ἀμυνούμενοι*.

4. *Μὲν οὖν*. *Οὖν* om. I. Statim Mosqu. *ταύτην*.

Πρὸς τό. D. I. *τὸ πρὸς τό*. Mox H. et Bekk. in minn. exempll. *κατέφυγεν*.

Θηβαῖοι. Gr. *Ἀθηναῖοι*, sed emendatum in marg. Cf. de hoc vitio VI, 95. Post *Ἀθηναίων* ante Bekk. punctum erat. Mox utrum post *βραχύ*, ut vulgo, an post *ὠσάμ.* interpungendum sit, dubitatur. Cf. adnot.

5. *Περιπέμψαντος δύο τέλη*. Cod. Bas. *περιτρέψαντος δ. τ.* C. Reg. (G.) *δύο τέλη περιπέμψ.*, ut Herodicus apud Athen. qui ad finem usque cap. consulendus. Vid. adnot.

Τῶν ἱππέων om. C. et Dukero teste Reg., agnoscit Herodicus (et Gailio auctore G.).

Ἐκ τοῦ. Reg. (G.) *αὐτοῦ*.

Αἰφνιδίως. D. *αἰφνηδίως*. Mox *κέρας* bis ponit C.

Καταστῆναι. In Gr. emendat. ex *κατεστάναι*.

Digitized by Google

τοιούτου καὶ ὑπὸ τῶν Θηβαίων ἐφεπομένων καὶ παραῤῥηγνύντων, φυγὴ καθειστήκει παντὸς τοῦ στρατοῦ τῶν Ἀθηναίων. 7. καὶ οἱ μὲν πρὸς τὸ Δήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν, οἱ δὲ ἐπὶ τοῦ Ὠρωποῦ, ἄλλοι δὲ πρὸς Πάρνηθα τὸ ὄρος, οἱ δὲ, ὡς ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας. 8. Βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππῆς, οἵ τε αὐτῶν, καὶ οἱ Λοκροὶ, βεβοηθηκότες ἄρτι τῆς τροπῆς γιγνομένης. νυκτὸς δὲ ἐπιλαβούσης τὸ ἔργον, ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη. 9. καὶ τῇ ὑστεραίᾳ οἵ τε ἐκ τοῦ Ὠρωποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου, φυλακὴν ἐγκαταλιπόντες, (εἶχον γὰρ αὐτὸ ὅμως ἔτι,) ἀπεκομίσθησαν κατὰ θάλασσαν ἐπ' οἴκου.

(Οἱ νικήσαντες τῷ Δηλίῳ μέλλουσι προςβαλεῖν. κηρύγματα ἑκατέρων. οἱ Βοιωτοὶ προαγορεύουσι τοὺς Ἀθηναίους ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τοὺς νεκρούς.).

ϟζ'. Καὶ οἱ Βοιωτοὶ, τροπαῖον στήσαντες, καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκροὺς, τούς τε τῶν πολεμίων σκυλεύσαντες, καὶ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν ἐς

ϟϛ'. 3. Οἱ μέν] τινὲς τῶν Ἀθηναίων. (λ. Αὐγ.) — 7. Αὐτῶν] τῶν Βοιωτῶν. (λ. Αὐγ.) — 8. Ἐπιλαβούσης τὸ ἔργον] κωλυσάσης τὸν πόλεμον. (λ. Αὐγ.) — 11. Φυλακήν] δηλονότι τῶν πολεμίων νεκρῶν, ἵνα μὴ ἀσπόνδους αὐτοὺς ἀνέλωνται οἱ Ἀθηναῖοι. (Κασσ. Αὐγ.) — Φυλακὴν ἐγκαταλιπόντες] ἐν τῷ Δηλίῳ. (λ. Κασσ. Αὐγ.)

ϟζ'. 14. Ἀνελόμενοι] ἀνελόντες. (λ. Κασσ. Αὐγ.)

6. Καθειστήκει Cass. Aug. It. Vat. H. F. C. Reg. (G.) Gr. I. E. Mosqu. Ar. Chr. Haack. Bekk. Goell. Vulgo aeque bene καθεστήκει. Cf. §. 2.

7. Δήλιόν τε. Τέ om. C.

Οἱ δέ. Mosqu. οὐδέ. Post Ὠρ. ante Haack, punctum.

Πάρνηθα. Aug. Σπάρνηθα. C. Πάρνηθον. D. I. Πάρνιθα. At vid. I. 2. p. 260.

8. Βοιωτοὶ δέ. Δέ om. F.

Οἱ ἱππῆς, οἵ τε αὐτῶν Cass. Aug. Pal. It. Vat. C. Reg. (G.) cod. Bas. Gr. E. Ar. Chr. Dan. Haack. Bekk. Goell., nisi quod in his omnibus praeter Pal. Bekk. Goell. et fortasse It. Vat. cod. Bas. ἱππεῖς exaratur. Valla: *equites tum ipsorum tum Locrensium.* Herodicus οἱ ἱππεῖς οἵ τε ἑαυτῶν καὶ Λοκρῶν. Vulgo οἵ τε ἱππῆς αὐτῶν. D. οἱ ἱππεῖς sine τέ et αὐτῶν. Virgulam post ἱππῆς nos addidimus.

Γιγνομένης. C. γενομένης.

Διεσώθη. Pal. διεσῴθη. Vid. de Art. crit. p. 150.

Cap. XCVII. Τροπαῖον. Pal. rursus τρόπαιον. Cf. I. 1. p. 214.

Digitized by Google

καὶ οὐχ ἥκιστα τοὺς Θεσπιέας. ὑποχωρησάντων γὰρ αὐτοῖς τῶν παρατεταγμένων, καὶ κυκλωθέντων ἐν ὀλίγῳ, οἵπερ διεφθάρησαν Θεσπιέων, ἐν χερσὶν ἀμυνόμενοι κατεκόπησαν. καί τινες καὶ τῶν Ἀθηναίων, διὰ τὴν κύκλωσιν ταραχθέντες, ἠγνόησάν τε καὶ ἀπέκτειναν ἀλλήλους. 4. τὸ μὲν οὖν ταύτῃ ἡσσᾶτο τῶν Βοιωτῶν, καὶ πρὸς τὸ μαχόμενον κατέφυγε. τὸ δὲ δεξιὸν, ᾗ οἱ Θηβαῖοι ἦσαν, ἐκράτει τῶν Ἀθηναίων, καὶ ὠσάμενοι κατὰ βραχὺ τὸ πρῶτον ἐπηκολούθουν. 5. καὶ ξυνέβη, Παγώνδου περιπέμψαντος δύο τέλη τῶν ἱππέων ἐκ τοῦ ἀφανοῦς περὶ τὸν λόφον, ὡς ἐπόνει τὸ εὐώνυμον αὐτῶν, καὶ ὑπερφανέντων αἰφνιδίως, τὸ νικῶν τῶν Ἀθηναίων κέρας, νομίσαν ἄλλο στράτευμα ἐπίεναι, ἐς φόβον καταστῆναι. 6. καὶ ἀμφοτέρωθεν ἤδη, ὑπό τε τοῦ

ϛ'. 2. *Αὐτοῖς*] τοῖς Ἀθηναίοις. (λ. Κασσ. Ἀὐγ.) — *Κυκλωθέντων ἐν ὀλίγῳ*] ὑπὸ τῶν Ἀθηναίων ἐν ὀλίγῳ τόπῳ. (λ. Κασσ. Ἀὐγ.) — 7. *Πρὸς τὸ μαχόμενον*] μέρος τῶν Βοιωτῶν τὸ ἔτι μάχην ὑπομένον. (λ. Ἀὐγ.) §. πρὸς τὸ οἰκεῖον καὶ μὴ ἡττημένον. (Κασσ. Ἀὐγ.) — 8. *Ἐκράτει*] κρεῖττον ἦν (λ. Κασσ. Ἀὐγ.) — *Ὠσάμενοι*] τοὺς Ἀθηναίους δηλονότι. (λ. Κασσ. Ἀὐγ.) — 9. *Ξυνέβη — —*] τὸ ἑξῆς, ξυνέβη ἐς φόβον καταστῆναι. — 12. *Ὑπερφανέντων*] τῶν ἱππέων τῶν Βοιωτῶν δηλονότι. (λ. Ἀὐγ.)

man. post ϛ aliud ϛ inseruit,) Vind. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo *ἐπῆεσαν*, sed in Cass. ῆ ex alia litera factum. „Aptior hic lectio *ἐπίεσαν* a *πιέζειν*. Sane *ἐπίεναι* hic langueat, quum iam *vicisse* dicat Athenienses.“ BAU. Add. I. 1. p. 132.

Παρατεταγμένων. B. *πεπραγμένων*.

Καὶ κυκλωθέντων. *Καί* om. Dan.

Ἀμυνόμενοι. Dan. *ἀμυνούμενοι*.

4. *Μὲν οὖν*. *Οὖν* om. I. Statim Mosqu. *ταύτην*.

Πρὸς τό. D. I. *τὸ πρὸς τό*. Mox H. et Bekk. in minn. exempll. *κατέφυγεν*.

Θηβαῖοι. Gr. *Ἀθηναῖοι*, sed emendatum in marg. Cf. de hoc vitio VI, 95. Post *Ἀθηναίων* ante Bekk. punctum erat. Mox utrum post *βραχύ*, ut vulgo, an post *ὠσάμ.* interpungendum sit, dubitatur. Cf. adnot.

5. *Περιπέμψαντος δύο τέλη*. Cod. Bas. *περιτρέψαντος δ. τ.* C. Reg. (G.) *δύο τέλη περιπέμψ.*, ut Herodicus apud Athen. qui ad finem usque cap. consulendus. Vid. adnot.

Τῶν ἱππέων om. C. et Dukero teste Reg., agnoscit Herodicus (et Gailio auctore G.).

Ἐκ τοῦ. Reg. (G.) *αὐτοῦ*.

Αἰφνιδίως. D. *αἰφνηδίως*. Mox *κέρας* bis ponit C.

Καταστῆναι. In Gr. emendat. ex *κατεστάναι*.

Digitized by Google

τοιούτου καὶ ὑπὸ τῶν Θηβαίων ἐφεπομένων καὶ παραῤῥηγνύντων, φυγὴ καθειστήκει παντὸς τοῦ στρατοῦ τῶν Ἀθηναίων. 7. καὶ οἱ μὲν πρὸς τὸ Δήλιόν τε καὶ τὴν θάλασσαν ὥρμησαν, οἱ δὲ ἐπὶ τοῦ Ὠρωποῦ, ἄλλοι δὲ πρὸς Πάρνηθα τὸ ὄρος, οἱ δὲ, ὡς ἕκαστοί τινα εἶχον ἐλπίδα σωτηρίας. 8. Βοιωτοὶ δὲ ἐφεπόμενοι ἔκτεινον, καὶ μάλιστα οἱ ἱππῆς, οἵ τε αὐτῶν, καὶ οἱ Λοκροὶ, βεβοηθηκότες ἄρτι τῆς τροπῆς γιγνομένης. νυκτὸς δὲ ἐπιλαβούσης τὸ ἔργον, ῥᾷον τὸ πλῆθος τῶν φευγόντων διεσώθη. 9. καὶ τῇ ὑστεραίᾳ οἵ τε ἐκ τοῦ Ὠρωποῦ καὶ οἱ ἐκ τοῦ Δηλίου, φυλακὴν ἐγκαταλιπόντες, (εἶχον γὰρ αὐτὸ ὅμως ἔτι,) ἀπεκομίσθησαν κατὰ θάλασσαν ἐπ' οἴκου.

(Οἱ νικήσαντες τῷ Δηλίῳ μέλλουσι προσβαλεῖν. κηρύγματα ἑκατέρων. οἱ Βοιωτοὶ προαγορεύουσι τοὺς Ἀθηναίους ἐκ τοῦ ἱεροῦ ἀπιόντας ἀποφέρεσθαι τοὺς νεκρούς.)

ϟζ'. Καὶ οἱ Βοιωτοὶ, τροπαῖον στήσαντες, καὶ τοὺς ἑαυτῶν ἀνελόμενοι νεκροὺς, τούς τε τῶν πολεμίων σκυλεύσαντες, καὶ φυλακὴν καταλιπόντες, ἀνεχώρησαν ἐς

ϟϛ'. 3. Οἱ μέν] τινὲς τῶν Ἀθηναίων. (λ. Αὐγ.) — 7. Αὐτῶν] τῶν Βοιωτῶν. (λ. Αὐγ.) — 8. Ἐπιλαβούσης τὸ ἔργον] κωλυσάσης τὸν πόλεμον. (λ. Αὐγ.) — 11. Φυλακήν] δηλονότι τῶν πολεμίων νεκρῶν, ἵνα μὴ ἀσπόνδους αὐτοὺς ἀνέλωνται οἱ Ἀθηναῖοι. (Κασσ. Αὐγ.) — Φυλακὴν ἐγκαταλιπόντες] ἐν τῷ Δηλίῳ. (λ. Κασσ. Αὐγ.)

ϟζ'. 14. Ἀνελόμενοι] ἀνελόντες. (λ. Κασσ. Αὐγ.)

6. Καθειστήκει Cass. Aug. It. Vat. H. F. C. Reg. (G.) Gr. I. E. Mosqu. Ar. Chr. Haack. Bekk. Goell. Vulgo aeque bene καθεστήκει. Cf. §. 2.

7. Δήλιόν τε. Τέ om. C.

Οἱ δέ. Mosqu. οὐδέ. Post Ὠρ. ante Haack, punctum.

Πάρνηθα. Aug. Σπάρνηθα. C. Πάρνηθον. D. I. Πάρνιθα. At vid. I. 2. p. 260.

8. Βοιωτοὶ δέ. Δέ om. F.

Οἱ ἱππῆς, οἵ τε αὐτῶν Cass. Aug. Pal. It. Vat. C. Reg. (G.) cod. Bas. Gr. E. Ar. Chr. Dan. Haack. Bekk. Goell., nisi quod in his omnibus praeter Pal. Bekk. Goell. et fortasse It. Vat. cod. Bas. ἱππεῖς exaratur. Valla: *equites tum ipsorum tum Locrensium.* Herodicus οἱ ἱππεῖς οἵ τε ἑαυτῶν καὶ Λοκρῶν. Vulgo οἵ τε ἱππῆς αὐτῶν. D. οἱ ἱππεῖς sine τέ et αὐτῶν. Virgulam post ἱππῆς nos addidimus.

Γιγνομένης. C. γενομένης.

Διεσώθη. Pal. διεσῴθη. Vid. de Art. crit. p. 150.

Cap. XCVII. Τροπαῖον. Pal. rursus τρόπαιον. Cf. I. 1. p. 214.

Digitized by Google

τὴν Τάναγραν, καὶ τῷ Δηλίῳ ἐπεβούλευον, ὡς προσβαλοῦντες. 2. ἐκ δὲ τῶν Ἀθηναίων κήρυξ πορευόμενος ἐπὶ τοὺς νεκρούς, ἅπαντᾷ κήρυκι Βοιωτῷ, ὃς, αὐτὸν ἀποστρέψας, καὶ εἰπὼν ὅτι οὐδὲν πράξει πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ πάλιν, κατιστὰς ἐπὶ Ἀθηναίους, ἔλεγε τὰ παρὰ τῶν Βοιωτῶν, ὅτι οὐ δικαίως δράσειαν παραβαίνοντες τὰ νόμιμα τῶν Ἑλλήνων· 3. πᾶσι γὰρ εἶναι καθεστηκὸς, ἰόντας ἐπὶ τὴν ἀλλήλων, ἱερῶν τῶν ἐνόντων ἀπέχεσθαι· Ἀθηναίους δὲ Δήλιον τειχισαντας ἐνοικεῖν, καὶ ὅσα ἄνθρωποι ἐν βεβήλῳ δρῶσι, πάντα γίγνεσθαι αὐτόθι, ὕδωρ τε, ὃ ἦν ἄψαυστον σφίσι πλὴν πρὸς τὰ ἱερὰ χέρνιβι χρῆσθαι, ἀνασπάσαντας ὑδρεύεσθαι. 4. ὥςτε ὑπέρ τε τοῦ θεοῦ καὶ ἑαυτῶν Βοιωτοὺς 296.

ἡζ. 1. Ἐπεβούλευον] ἐσκέπτοντο. (λ. Κασσ. Αὐγ.) — 3. Ἐπὶ τοὺς νεκρούς] ἐπὶ τῇ ἀναιρέσει τῶν νεκρῶν. — 4. * * Πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ] πρὶν, φησὶ, ἐπανέλθῃ ἀπὸ τῶν Ἀθηναίων αὐτός. (Κασσ. Αὐγ.) — 6. Δράσειαν] ἔδρασαν. (λ. Κασσ. Αὐγ.) — Παραβαίνοντες] ἀθετοῦντες. (λ. Κασσ. Αὐγ.) — 7. Τὰ νόμιμα] ἤγουν τοὺς νόμους. (λ. Κασσ. Αὐγ.) — 8. Καθεστηκός] ἔννομον. (λ. Κασσ. Αὐγ.) — Ἰόντας ἐπὶ τὴν ἀλλήλων] ἤγουν εἰςβάλλοντας πολεμικῶς κατὰ τῆς ἀλλήλων γῆς. (λ. Αὐγ.) — 11. Αὐτόθι] ἐν τῷ ἱερῷ. (λ. Αὐγ.) — Πλὴν — χρῆσθαι] ἄνευ τοῦ χρῆσθαι. — Πλὴν — χέρνιβι χρῆσθαι] ἤγουν οὐ οὐκ ἦν θεμιτὸν ψαῦσαι αὐτοὺς, ἤγουν τοὺς Θηβαίους, εἰ μὴ ὅτε τὰς χεῖρας καθαίροιεν δι' αὐτοῦ, δηλονότι τοῦ ὕδατος, μέλλοντες τῶν θυμάτων ἅψεσθαι. (λ. Αὐγ.) — 12. Ἀνασπάσαντας] ἀνιμησαμένους. ἤγουν ἐξ αὐτοῦ τοῦ ὕδατος ἀνιμωμένους πρὸς τὰς κοινὰς χρείας χρῆσθαι. (λ. Αὐγ.)

Τῷ Δηλίῳ. Τῷ om. Reg. (G.) Post Τάναγραν ante Haack. punctum erat. Omnis autem haec paragr. ad anteced. cap. referenda erat.

2. Κήρυξ. Pal. κῆρυξ. Ita fortasse etiam Mosqu., ex quo nostrum temere affertur. Cf. de Art. crit. p. 151.

Ἅπαντᾷ κήρυκι. B. ἅπαντα κήρυκα.

Βοιωτῷ. F. cod. Bas. Mosqu. Dan. Βοιωτῶν.

Ἀναχωρήσῃ. Gr. ἀναχωρήσει.

Ἐπὶ Ἀθηναίους Cass. Aug. It. Vat. H. Bekk. Goell. Vulgo (et Haack.) ἐπὶ τοὺς Ἀθηναίους.

Τὰ παρά. Τά om. C. G. D. I. Sed Dukero teste Reg. παρά om.

Παραβαίνοντες. D. παραβαίνοντας, sed ε s. α al. man. Tum post Ἑλλήνων, ἀπέχεσθαι, αὐτόθι, ὑδρεύεσθαι vulgo plene interpungitur, Bekk. post ἀπεχ. et αὐτ. virgulas posuit.

3. Δήλιον. Vat. H. καὶ Δήλιον.

Τειχίσαντας. D. I. τειχίσαντες.

Ἄνθρωποι. Mosqu. ἄλλοι. Mox ad βεβήλῳ respiciunt Bekk. Anecdd. p. 228.

Ἱερά s. v. al. man. E. Tum D. χύρνιβι, E. χέρνιβα.

Ὑδρεύεσθαι. I. ἰδρεύεσθαι. Mosqu. ὑδρεύεσθε.

4. Τοῦ θεοῦ. Τοῦ om. Cl.

Digitized by Google

ἐπικαλουμένους τοὺς ὁμωχέτας δαίμονας καὶ τὸν Ἀπόλλω, προαγορεύειν αὐτοὺς, ἐκ τοῦ ἱεροῦ ἀπιόντας, ἀποφέρεσθαι τὰ σφέτερα αὐτῶν.

(Ἀπόκρισις τῶν Ἀθηναίων.)

ϟη. Τοσαῦτα τοῦ κήρυκος εἰπόντος, οἱ Ἀθηναῖοι, πέμψαντες παρὰ τοὺς Βοιωτοὺς ἑαυτῶν κήρυκα, τοῦ μὲν ἱεροῦ οὔτε ἀδικῆσαι ἔφασαν οὐδὲν, οὔτε τοῦ λοιποῦ ἑκόντες βλάψειν· οὐδὲ γὰρ τὴν ἀρχὴν ἐξελθεῖν ἐπὶ τοῦτο, ἀλλ' ἵνα ἐξ αὐτοῦ τοὺς ἀδικοῦντας μᾶλλον σφᾶς ἀμύνωνται. 2. τὸν δὲ νόμον τοῖς Ἕλλησιν εἶναι, ὧν ἂν ᾖ τὸ κράτος τῆς γῆς ἑκάστης, ἥν τε πλέονος, ἥν τε βραχυτέρας, τούτων καὶ τὰ ἱερὰ ἀεὶ γίγνεσθαι, τρόποις θεραπευόμενα οἷς ἂν πρὸς τοῖς εἰωθόσι καὶ δύνωνται. 3. καὶ γὰρ Βοιωτοὺς καὶ τοὺς πολλοὺς τῶν ἄλλων, ὅσοι

ϟζ. 1. *Τοὺς ὁμωχέτας*] ὁμωχέται οἱ συμμετέχοντες τῶν αὐτῶν ναῶν καὶ τῶν αὐτῶν ἱερῶν. — 2. † *Αὐτούς*] τοὺς Βοιωτούς. (λ. Αὐγ.) † — *Ἀκιόντας*] τοὺς Ἀθηναίους. (λ. Αὐγ.)

ϟη. 6. *Οὔτε ἀδικῆσαι ἔφασαν οὐδέν*] ἤγουν οὐδὲν παραλυμήνασθαι. (λ. Κασσ. Αὐγ.) — 7. *Ἐπὶ τοῦτο*] ἐπὶ τῷ ἀδικῆσαι τὸ ἱερόν. (λ. Αὐγ.) — 8. *Τοὺς ἀδικοῦντας*] ἤγουν τοὺς Θηβαίους. (λ. Αὐγ.) — *Σφᾶς*] τοὺς Ἀθηναίους. (λ. Κασσ. Αὐγ.)

Ἐπικαλουμένους. E. καλουμ. Idem statim om. *τούς*.

Ὁμωχέτας. „Ex Hesych. ὁμοχέτας legendum [at vid. ibi Intt.], ex Suid. ὁμοχαίτας." HUDS. „Suidas habet quidem ὁμοχαίτας, sed apud alios quoque per ι in penultima scribi adnotat ibi Kuster. Addit Suidas, *Βοιωτικὴ δὲ ἡ λέξις*." DUK. Photius: *Ὁμοχέτας Θουκυδίδης τοὺς συννάους θεοὺς καὶ ὁμοφοφίους* (l. e. Suid. ὁμωροφίους). Add. Phav. et adnot. ad III, 59.

Προαγορεύειν. E. Mosqu. *προαγορεύειν*.

Ἐκ τοῦ. Chr. *αὐτοῦ*.

Cap. XCVIII. *Οἱ Ἀθηναῖοι*. *Οἱ* om. D. I. E. Ar. Chr. Dan.

Βοιωτούς. Post hoc nomen C. inserit, sed ipse expungit *ἐπικαλουμένους*, quod c. 97. fin. post *Βοιωτούς* legebatur.

Ἑαυτῶν κήρυκα de. Mosqu.

Ἀδικῆσαι ἔφασαν. E. *ἔφασαν ἀδικῆσαι*.

Τοῦ λοιποῦ. Cam. *ἐκ τοῦ λοιποῦ*.

Ἐξελθεῖν. Gr. *ἐπελθεῖν*.

Ἵνα om. Aug. Pal. It. Vat. H. in Aug. tamen recte man. 2. in marg. additum. Cam. *ἢ ἵνα* scribit.

Ἀμύνωνται. It. Vat. I. *ἀμύνονται*.

2. *Ὧν*. Cod. Bas. *ᾧ*. Mosqu. *ὡς*. Idem mox *ἤ* om.

Ἀεί Cass. Aug. H. Reg. (G.) cod. Bas. Gr. D. I. E. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo *αἰεί*. Cf. I. 1. p. 211.

3. *Γάρ* om. F. Proximi *Βοιω-*

Digitized by Google

ἐξαναστήσαντες τινα βίᾳ νέμονται γῆν, ἀλλοτρίοις ἑαυτῶν τὸ πρῶτον ἐπελθόντας, οἰκεῖα νῦν κεκτῆσθαι. 4. καὶ αὐτοὶ εἰ μὲν ἐπὶ πλέον δυνηθῆναι τῆς ἐκείνων κρατῆσαι, τοῦτ' ἂν ἔχειν· νῦν δὲ, ἐν ᾧ μέρει εἰσὶν, ἑκόντες εἶναι ὡς ἐκ σφετέρου οὐκ ἀπιέναι. 5. ὕδωρ τε ἐν τῇ ἀνάγκῃ κεκτῆσθαι, ἣν οὐκ αὐτοὶ ὕβρει προσθέσθαι, ἀλλ' ἐκείνους, πρότερους ἐπὶ τὴν σφετέραν ἐλθόντας, ἀμυνόμενοι βιάζεσθαι χρῆσθαι. 6. πᾶν δ' εἰκὸς εἶναι † τῷ † πολέμῳ καὶ δεινῷ τινι κατειργόμενον ξύγγνωμόν τι γίγνεσθαι καὶ πρὸς τοῦ θεοῦ. καὶ γὰρ τῶν ἀκουσίων ἁμαρτημά-

ἠ. 1. *Ἐξαναστήσαντες*] ἀπελάσαντες, μεταναστήσαντες. (λ. Ἀνγ.) — 5. *Ἐν τῇ ἀνάγκῃ*] ὑπὸ τῆς ἀνάγκης τοῦ καιροῦ. (λ. Κασσ. Ἀνγ.) — 6. *Ἐκείνους*] τοὺς Θηβαίους. (λ. Κασσ. Ἀνγ.) — 7. *Ἐπὶ τὴν σφετέραν*] τὴν τῶν Ἀθηναίων. (λ. Κασσ. Λύγ.) — ** *Βιάζεσθαι*] ἀντὶ τοῦ βιασθῆναι. (Ἀνγ.) — 9. *Ξύγγνωμόν τινα γίγνεσθαι*] ἤγουν ξυγγνώμην λαμβάνειν. (λ. Ἀνγ.)

τούς primae duae literae in G. primo fuerunt πρ.

Τινά. Pal. *τίναι*.

Τὸ πρῶτον. Cam. *τὸ πρότερον*.

4. *Εἰ μέν* in marg. al. man. D.

Δυνηθῆναι Cass. Aug. Cl. Pal. It. Vat. F. C. Reg. cod. Bas. Gr. E. m. Haack. Bekk. Goell. „Mendose." WASS. Fallitur. Vid. Matth. Gr. §. 537. Vulgo *δυνηθεῖεν*. Mox boni libri *νῦν δ'* pro *νῦν δέ*. Cf. Farr. discr. script. Sed ob sequentem distinctionem et opposita incisa minus placet. Verba *ἑκόντες εἶναι* apud Duk. male ad *ἐν ᾧ — εἰσὶν* referuntur.

5. *Προσθέσθαι*. D. *προθέσθαι*.

6. *Τῷ πολέμῳ*. Aug. *τὸ πολέμῳ*, quod placet Bauero, Haack. et Schneid. in Lex. s. *συγγνώμων*, et articulus ante *πολέμῳ* in sententia generali sane minus aptus. Cf. Rost. Gr. §. 98. 3. Sed omnis hic locus multis dubitationibus obnoxius est. Apud Duk. Haack. Bekk. Goell. male virgula posita est post *κατειργόμενον*, in Lips. et ibi et post *εἶναι*. Valla post *πολέμῳ* distinxit, hac exhibita interpretatione: *omnia vero licere bello, et adversitate aliqua circumventis veniam esse quandam etiam apud deos*. Reiskius *κατειργομένῳ* coniiciebat, nescio utrum Vallae interpunctionem probans, an sic, ut simul *πᾶν* in *πάνυ* aut *παντί* mutandum censeret. Nos in adnotationibus plenius de his dicturi interea, ut lectori liberum esset iudicium, omnes virgulas omisimus. Caeterum D. *κατειργασμένον*, quod ne quis probet, et *δεινῷ τινι*, et quodammodo ipsum compositum *κατεργάζεσθαι*, denique natura libri graviter prohibet.

Ξύγγνωμόν τι in Pal. rec. man. superscr. *Ξύγγνωμόν τινα* praebent Cam. (non tamen ex cod. Bas.) caput Schol. et inde marg. Steph.

Ἀκουσίων. It. Vat. H. B. E. *ἀκουσίων*, sed H. recte *ᾱ* s. *ε̄* al. man.

Digitized by Google

τὴν καταφυγὴν εἶναι τοὺς βωμούς, παρανομίαν τε ἐπὶ τοῖς μὴ ἀνάγκῃ καλοῖς ὀνομασθῆναι, καὶ οὐκ ἐπὶ τοῖς ἀπὸ τῶν ξυμφορῶν τι τολμήσασι. 7. τούς τε νεκροὺς πολὺ μειζόνως ἐκείνους ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι ἀσεβεῖν, ἢ τοὺς μὴ ἐθέλοντας ἱεροῖς τὰ μὴ πρέποντα νομίζεσθαι. 8. σαφῶς τε ἐκέλευον σφίσιν εἶναι, μὴ ἀπιοῦσιν ἐκ τῆς Βοιωτῶν γῆς, (οὐ γὰρ ἐν τῇ ἐκείνων ἔτι εἶναι, ἐν ᾗ δὲ δορὶ ἐκτήσαντο,) ἀλλὰ κατὰ τὰ πάτρια τοὺς νεκροὺς † σπένδουσιν † ἀναιρεῖσθαι.

(Ἕτερος λόγος τῶν Βοιωτῶν.)

ιθ'. Οἱ δὲ Βοιωτοὶ ἀπεκρίναντο, εἰ μὲν ἐν τῇ Βοιωτίᾳ εἰσὶν, ἀπιόντας ἐκ τῆς ἑαυτῶν, ἀποφέρεσθαι

ιη'. 3. Ἀπὸ τῶν ξυμφορῶν] ἀπὸ τῶν ἐπιῤῥεόντων δεινῶν. (λ. Ἀνγ.) — Τολμήσασι] τολμηρῶς πράξασι παρὰ τὰ καθεστηκότα. — 4. Ἐκείνους] τοὺς Βοιωτούς. [τοὺς Θηβαίους, ἀξιοῦντας κομίζεσθαι μὲν τὸ ἱερὸν τὸ ἐπὶ Δηλίῳ, ἀνταποδιδόναι δὲ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις, ἀσεβεῖν μᾶλλον ἢπερ τοὺς Ἀθηναίους, μὴ θέλοντας νομίσασθαι τὰ μὴ πρέποντα τοῖς ἱεροῖς, μηδὲ νεκροὺς θεῶν ἀντικαταλλάττεσθαι. (Κασσ. Ἀνγ.)] — 6. Μὴ ἀπιοῦσιν] ἀντὶ τοῦ μὴ ἀπιόντες. (λ. Ἀνγ.) — ** Μὴ ἀπιοῦσιν] ὅτι οὐκ ἀναχωρήσουσιν. (Ἀνγ.)

ιθ'. 11. Ἑαυτῶν] τῶν Βοιωτῶν. (Ἀνγ.)

Καὶ οὐκ ἐπὶ τοῖς ἀπό. Reg. (G.) καὶ μὴ ἀπό, sed deinde ἐπὶ τοῖς int. vers. scripta man. rec.

Τί om. It. Vat. D.

Τολμήσασι. E. Vind. Mosqu. Ar. Chr. Dan. τολμῶσι.

7. Ἀποδιδόναι. H. καταδιδόναι.

Ἀσεβεῖν. Mosqu. Ar. Chr. Dan. inepte εὐσεβεῖν.

Ἐθέλοντας. Post hoc Reg. (G.) addit ὥςπερ τιμήματι. „Sunt ex interpretatione ad praecedd. ἀντὶ ἱερῶν ἀξιοῦντας ἀποδιδόναι, quibus quum adscriptum fuisset ὥςπερ τίμημά τε, id deinde e margine εἰς τὸ κείμενον venit.“ DUK. Pro ἱεροῖς H. ἱερεῖς.

Τὰ μὴ πρέποντα Cass. Schol. Bekk. Goell. In Mosqu. τὰ προσήκοντα. Vulgo sine negatione τὰ πρέποντα, quod frustra defendit Haack. Vid. adnot.

8. Ἀπιοῦσιν. Mosqu. ἀπιέναι κελεύειν.

Βοιωτῶν. C. τῶν Βοιωτῶν. Deinde post γῆς ante Bauer. inepte punctum erat, et proxima parenthesis signis carebant.

Οὐ γὰν ἐν. Mosqu. οὐδὲ γὰρ ἂν ἐν.

Κατὰ τά. Τά om. It.

Σπένδουσιν. Σπένδουσιν coniecimus I. 1. p. 191. Eadem verba nonnulli libri confundunt V, 39. Cf. etiam adnot.

Cap. XCIX. Ἑαυτῶν. Cl. (pro quo Bekk. male Gr. memorat) et Mosqu. αὐτῶν.

Digitized by Google

τὰ σφέτερα· εἰ δὲ ἐν αὖ ἐκείνων, αὐτοὺς γιγνώσκειν τὸ ποιητέον· νομίζοντες τὴν μὲν Ὡρωπίαν, ἐν ᾗ τοὺς νεκροὺς, ἐν μεθορίοις τῆς μάχης γενομένης, κεῖσθαι ξυνέβη, Ἀθηναίων κατὰ τὸ ὑπήκοον εἶναι, καὶ οὐκ ἂν αὐτοὺς βίᾳ σφῶν κρατῆσαι αὐτῶν· (οὐδ' αὖ ἐσπένδοντο δῆθεν ὑπὲρ τῆς ἐκείνων·) τὸ δὲ „ἐκ τῆς ἑαυτῶν" εὐπρεπὲς εἶναι ἀποκρίνασθαι „ἀπιόντας, καὶ ἀπολαβεῖν ἃ ἀπαιτοῦσιν." ὁ δὲ κήρυξ τῶν Ἀθηναίων, ἀκούσας, ἀπῆλθεν ἄπρακτος. 5 297.

(Οἱ Βοιωτοὶ μηχανὴν προσαγαγόντες τὸ Δήλιον αἱροῦσι.)

ρ'. Καὶ οἱ Βοιωτοὶ, εὐθὺς μεταπεμψάμενοι ἔκ τε τοῦ Μηλιέως κόλπου ἀκοντιστὰς καὶ σφενδονήτας, καὶ βεβοηθηκότων αὐτοῖς μετὰ τὴν μάχην Κορινθίων τε διχιλίων ὁπλιτῶν, καὶ τῶν ἐκ Νισαίας ἐξεληλυθότων 10

1. Εἰ δὲ — —] εἰ δὲ δοκοῦσιν οἱ Ἀθηναῖοι ἰδίαν εἶναι τὴν γῆν ἐν ᾗ οἱ νεκροὶ κεῖνται, αὐτοὶ τὸ ποιητέον γιγνωσκέτωσαν. (Κασσ. Αὐγ.) — 2. Νομίζοντες] οἱ Βοιωτοί. (Αὐγ.) — 4. Καὶ οὐκ ἂν — —] καὶ οὐκ ἂν τοὺς Βοιωτοὺς κατισχύσειν τῶν Ἀθηναίων ἐν τῇ Ὡρωπίᾳ, ὥς[τε] τοὺς νεκροὺς κατασχεῖν αὐτῶν. (Κασσ. Αὐγ.) — 5. Οὐδ' αὖ — —] οὐδ' αὖ ἐσπένδοντο προφάσει ὡς δῆθεν Ἀθηναίων οὔσης τῆς γῆς. τί γὰρ καὶ ἔδει περὶ τῶν ἐν τῇ Ἀττικῇ τοῖς Βοιωτοῖς σπένδεσθαι; (Κασσ. Αὐγ.) — 6. Τὸ δὲ — —] εὐπρεπὲς δὲ εἶναι ἀποκρίνασθαι ἐκ τῆς Βοιωτῶν ἀπιόντας τοὺς Ἀθηναίους ἀπολαβεῖν ἅπερ αἰτοῦσιν. (Κασσ. Αὐγ.)

Γιγνώσκειν — τῆς μάχης om. Dan. Post *ποιητέον* ante Haack. inepte punctum erat.

Αὐτούς. Dan. *αὐτός*.

Βίᾳ σφῶν. F. *σφῶν βίᾳ*.

Οὐδ' αὖ. „Ante verba *οὐδ' αὖ — ἐκείνων* et post eadem verba minus plene interpunxi, ne hoc interiecto brevi membro sequentia a partic. *νομίζοντες* divellerentur." HAACK. Nos insuper parenthesis notas posuimus. Prius *ν* verb. *ἐσπένδοντο* in I. s. *πε* al. man. Praeterea C. *τοῖς ἐκείνων*.

Ἑαυτῶν. Cl. rursus *αὐτῶν*.

Ἀπιόντας. Dan. *ἅπαντας*.

Α Aug. man. 2. superscr., Ald. Bas. ed. (non cod. Bas.) om. In B. pro eo *ὅ* s. v.

CAP. C. *Μηλιέως*. Dan. *Μηλίως*, in quo latet *Μηλιῶς*, quod VIII, 3. plerique libri habent. Cf. tamen I. 1. p. 222. et de Art. crit. p. 135.

Σφενδονήτας. Pal. *σφενδονήστας*. D. I. Mosqu. *σφενδονίτας*. Mox post *μάχην* ante Haack. perperam comma, post *τειχίσματι*, ubi Bekk. comma habet, et §. 2. post *αὐλόν* punctum erat.

Digitized by Google

Πελοποννησίων φρουρῶν, καὶ Μεγαρέων ἅμα, ἐστράτευσαν ἐπὶ τὸ Δήλιον, καὶ προσέβαλον τῷ τειχίσματι· ἄλλῳ τε τρόπῳ πειράσαντες, καὶ μηχανὴν προσήγαγον, ἥπερ εἷλεν αὐτὸ, τοιάνδε. 2. κεραίαν μεγάλην δίχα πρίσαντες, ἐκοίλαναν ἅπασαν, καὶ ξυνήρμοσαν πάλιν ἀκριβῶς ὥσπερ αὐλόν· καὶ ἐπ' ἄκραν λέβητά τε ἤρτησαν ἁλύσεσι, καὶ ἀκροφύσιον ἀπὸ τῆς κεραίας σιδηροῦν ἐς αὐτὸν νεῦον καθεῖτο, καὶ ἐσεσιδήρωτο ἐπὶ μέγα καὶ τοῦ ἄλλου ξύλου. 3. προσῆγον δὲ ἐκ πολλοῦ ἁμάξαις τῷ τείχει, ᾗ μάλιστα τῇ ἀμπέλῳ καὶ τοῖς ξύλοις ᾠκοδόμητο· καὶ ὁπότε εἴη ἐγγὺς, φύσας μεγάλας ἐσθέντες ἐς τὸ πρὸς ἑαυτῶν ἄκρον τῆς κεραίας, ἐφύσων. 4. ἡ δὲ πνοὴ, ἰοῦσα στεγανῶς ἐς τὸν λέβητα, ἔχοντα ἄνθρακάς τε ἡμμένους καὶ θεῖον καὶ πίσσαν, φλόγα ἐποίει μεγάλην, καὶ ἧψε τοῦ τείχους, ὥστε μηδένα ἔτι ἐπ' αὐτοῦ μεῖναι, ἀλλὰ ἀπολιπόντας ἐς φυγὴν καταστῆναι, καὶ τὸ τείχισμα τούτῳ τῷ τρόπῳ ἁλῶναι. 5. τῶν δὲ

ϙ΄. 6. Ἀκριβῶς] κατὰ φύσιν. (λ. Αὐγ.) — 8. ** Ἐσεσιδήρωτο] ὥστε ὑπὸ τοῦ πυρὸς μὴ βλάπτεσθαι τὴν κεραίαν. (Κασσ. Αὐγ.) — 13. Στεγανῶς] πυκνὸν εἰσεῖν ὡς στεγανοῦ σώματος. (λ. Αὐγ.)

Ἥπερ εἷλεν. Gr. ἥπερ εἷλον, et εἷλον saltem etiam D. I. E.

2. Ἅπασαν. Cod. Bas. ἀνὰ πᾶσαν.

Πάλιν om. Reg.

Λέβητά τε. Τέ om. Ar. Chr. Dan.

Ἤρτησαν. F. ἤρτυσαν.

Ἀκροφύσιον. Chr. ἀκροφύγιον. Mox B. κερέας.

Ἐς αὐτόν. Cl. ὡς αὐτόν. „Ut alibi noster pro ἐς." WASS. At hic perperam. Vid. not. ad I, 50. Vind. m. ἐς αὐτό.

Ἐσεσιδήρωτο. Vind. ἐσεσιδήρωντο.

Ξύλου. Post hoc τὸ πλέον inserunt Mosqu. Ar. ob non intellectum ἐπὶ μέγα, de quo vid. Schoem. Obss. p. 22.

3. Ἁμάξαις. Reg. (G.) ἁμάξας.

Ἐσθέντες. Cod. Bas. ἐνθέντες. Etiam C. ν̄ s. ϛθ. Gr. θέντες.

4. Πνοή. „Agnoscit Poll. II, 77." WASS.

Ἔχοντα. Reg. (G.) ἔχοντά τε, quod τέ utrum post ἄνθρακας repetatur necne, ignoramus.

Ἀνθρακάς τε. Cod. Bas. ἄνθρακας πυρός (sine τέ).

Ἧψε. F. ἥψαι.

Ἔτι ἐπ' αὐτοῦ Cass. Aug. Pal. It. Vat. H. F. C. Reg. (G.) cod. Bas. I. E. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. In D. ἔτι ἀπ' αὐτοῦ, sed ε̄ s. α̈ ead. man. Vulgo ἀπ' αὐτοῦ ἔτι.

Καταστῆναι. Gr. καταστῆσαι, sed cum emend. supra scr. καταστῆναι.

Τούτῳ τῷ τρόπῳ. Τῷ om. Cass. Aug. Pal. It. H., sed male.

Digitized by Google

φρουρῶν οἱ μὲν ἀπέθανον, διακόσιοι δὲ ἐλήφθησαν· τῶν δὲ ἄλλων τὸ πλῆθος, ἐς τὰς ναῦς ἐσβάν, ἀπεκομίσθη ἐπ' οἶκου.

(Οἱ νεκροὶ ἀποδίδονται. ἀριθμὸς τῶν ἀποθανόντων.)

Νοεμβρ. μην. ρέ. Τοῦ δὲ Δηλίου ἑπτακαιδεκάτῃ ἡμέρᾳ ληφθέντος μετὰ τὴν μάχην, καὶ τοῦ ἀπὸ τῶν Ἀθηναίων κήρυκος, οὐδὲν ἐπισταμένου τῶν γεγενημένων, ἐλθόντος οὐ πολὺ ὕστερον αὖθις περὶ τῶν νεκρῶν, ἀπέδοσαν οἱ Βοιωτοὶ, καὶ οὐκέτι ταὐτὰ ἀπεκρίναντο. 2. ἀπέθανον δὲ Βοιωτῶν μὲν ἐν τῇ μάχῃ ὀλίγῳ ἐλάσσους πεντακοσίων, Ἀθηναίων δὲ ὀλίγῳ ἐλάσσους χιλίων, καὶ Ἱπποκράτης ὁ στρατηγὸς, ψιλῶν δὲ καὶ σκευοφόρων πολὺς ἀριθμός.

(Δημοσθένης ἐς τὴν Σικανίαν ἀπόβασιν ποιεῖται.)

3. Μετὰ δὲ τὴν μάχην ταύτην καὶ ὁ Δημοσθένης ὀλίγῳ ὕστερον, ὡς αὐτῷ τότε πλεύσαντι τὰ περὶ τὰς

Ubi οὗτος sine articulo ponatur, vidimus I. 1. p. 169. quibuscum cf. ad Luci. D. D. IV. item Blume l. l. et Engelh. ad Plat. Lach. init.

5. Ἐσβὰν ἀπεκομίσθη Cass. Aug. Cl. It. Vat. H. C. Reg. (G.) cod. Bas. Gr. D. I. E. Vind. m. Ar. Chr. Dan. Haack. Bekk. Goell., et ἐσβάν etiam Pal. et Cam. Vulgo ἐμβὰν ἀπεκομίσθησαν. Posterius, quod, quanquam alibi πλῆθος cum plurali iungitur (cf. Matth. Gr. §. 301. et adnot. ad I, 106.), hic propter ἐσβάν durius esset, ex c. 96. fin. ortum est. Ἐσβῆναι et ἐμβῆναι, quorum illud praefert Thucydides, sine discrimine dici vidimus III, 80. IV, 25., et hic Aug. in marg. ἐμβάν. Caeterum si οἱ ἄλλοι pariter sint φρουροὶ Δηλίου, post ἐλήφθ., ubi vulgo punctum, comma ponendum. Cf. adnot.

Cap. Cf. Κήρυκος. Virgula ante Haack. abeat.

Ταὐτά. Cass. Gr. ταῦτα, quod aptius iudicare Kistemakerum mirum est. Tum Mosqu. ἀπεκρίνατο.

2. Ψιλῶν. C. ψιλοῦ. „Haec discrepare videntur cum iis, quae leguntur c. 94. extr. ψιλοὶ δὲ — οὐ παρεγένοντο, ὅτι μὴ ὀλίγοι. Sed quum h. l. dicat καὶ σκευοφόρων, quibus adiectis maxime numerum auctum esse credibile sit, non est de lectionis veritate dubitandum." HAACK. Καί ante σκευοφ. om. cod. Bas.

3. Μετὰ δέ. Δέ om. D. Hinc autem novum caput ordiendum erat.

Ταύτην om. D.

Τότε. E. es.

Digitized by Google

Σίφας τῆς προδοσίας περὶ οὐ προυχώρησεν, ἔχων τὸν στρατὸν ἐπὶ τῶν νεῶν, τῶν τε Ἀκαρνάνων καὶ Ἀγραίων
298. καὶ Ἀθηναίων τετρακοσίους ὁπλίτας, ἀπέβασιν ἐποιήσατο ἐς τὴν Σικυωνίαν. 4. καὶ πρὶν πάσας τὰς ναῦς καταπλεῦσαι, βοηθήσαντες οἱ Σικυώνιοι τοὺς ἀποβεβηκότας ἔτρεψαν, καὶ κατεδίωξαν ἐς τὰς ναῦς· καὶ τοὺς μὲν ἀπέκτειναν, τοὺς δὲ ζῶντας ἔλαβον· τροπαῖον δὲ στήσαντες, τοὺς νεκροὺς ὑποσπόνδους ἀπέδοσαν.

(Σιτάλκου θάνατος.)

5. Ἀπέθανε δὲ καὶ Σιτάλκης Ὀδρυσῶν βασιλεὺς ὑπὸ τὰς αὐτὰς ἡμέρας τοῖς ἐπὶ Δηλίῳ, στρατεύσας ἐπὶ Τριβαλλοὺς, καὶ νικηθεὶς μάχῃ. Σεύθης δὲ ὁ † Σπαραδόκου †, ἀδελφιδοῦς ὢν αὐτοῦ, ἐβασίλευσεν Ὀδρυσῶν τε καὶ τῆς ἄλλης Θράκης ἥσπερ καὶ ἐκεῖνος.

(2. Βρασίδας στρατεύει ἐς Ἀμφίπολιν, ἣν αἱρεῖ. ρβ' — ρη'. περὶ τῆς κτίσεως, τοῦ τόκου καὶ τοῦ ὀνόματος ταύτης τῆς πόλεως. ρβ'.)

ρβ'. Τοῦ δ' αὐτοῦ χειμῶνος Βρασίδας, ἔχων τοὺς Ὀλ. πδ'. ἔτ. α'. πρὸ Χρ. υπδ'. τελευτ.

ρα'. 12. *Αὐτοῦ*] τοῦ Σιτάλκου. (λ. Αὐγ.)
ρβ'. 14. *Τοῦ δ' αὐτοῦ χειμῶνος*] μετάβασις.

Προυχώρησεν Cass. Aug. Pal. Vat. F. C. Reg. (G.) Gr. B. D. E. Ar. Chr. Ald. Bas. Haack. Bekk. Goell., nisi quod Cass. *προχώρησεν*, et in Aug. quoque υ a man. 2. add., Pal. et Reg. autem ν ephelc. non agnoscere videntur. Vulgo *προυχώρησαν*. At vid. I. 1. p. 97.

Ἔχων. m. ἔχῶ. (sic!) Tum *νεῶν* in G. obscurius scriptum, ut legas *θεῶν*.

Καὶ Ἀγραίων. E. καὶ τῶν Ἀγρ. cum vacuo spatio trium quatuorve literarum post *τῶν*.

Τετρακοσίους. D. τετρακισχιλίους.

Ἐποιήσατο. I. Ar. Chr. Dan. ἐποιήσαντο.

Ἐς τήν. Gr. *ἐπὶ τήν*. Mox *Συκιών*. Mosqu.

4. *Τροπαῖον*. Pal. τρόπαιον, ut c. 97.

5. *Τοῖς ἐπί*. Mosqu. man. 2. corr. in τῷ ἐπί. Antea Pal. Ὀδρυσῶν.

Τριβαλλούς. Reg. (G.) Mosqu. Ar. Chr. male *Τριβαλούς*.

Σπαραδόκου. Imo *Σπαρδόκου* seu *Σπαρδάκου*, sicut libri II, 101., nisi ibi nostrum cum Steph. restituere vis. *Σπαρδόκου* recepit Haack. In D. *Σπαραδίκου*. Mosqu. *Περσίδου*.

Ἀδελφιδοῦς. It. Reg. ἀδελφιδούς. Mox Vat. ἑαυτοῦ.

Ἐβασίλευσεν. F. *ἐβασίλευεν*. Nostrum significat *rex factus est*, ut II, 15.

Digitized by Google

ἐπὶ Θρᾴκης ξυμμάχους, ἐστράτευσεν ἐς Ἀμφίπολιν τὴν ἐπὶ Στρυμόνι ποταμῷ, Ἀθηναίων ἀποικίαν. 2. τὸ δὲ χωρίον τοῦτο, ἐφ' οὗ νῦν ἡ πόλις ἐστίν, ἐπείρασε μὲν πρότερον καὶ Ἀρισταγόρας ὁ Μιλήσιος, φεύγων βασιλέα Δαρεῖον, κατοικίσαι, ἀλλὰ ὑπὸ Ἠδώνων ἐξεκρούσθη· ἔπειτα δὲ καὶ οἱ Ἀθηναῖοι ἔτεσι δύο καὶ τριάκοντα ὕστερον, ἐποίκους μυρίους σφῶν τε αὐτῶν καὶ τῶν ἄλλων τὸν βουλόμενον πέμψαντες, οἳ διεφθάρησαν ἐν Δραβήσκῳ ὑπὸ Θρᾳκῶν. 3. καὶ αὖθις ἑνὸς δέοντι τριακοστῷ ἔτει ἐλθόντες οἱ Ἀθηναῖοι, Ἅγνωνος τοῦ Νι-

Ὀλ. ο'. ἔτ. γ'. πρὸ Χρ. υϟζ'.
Ὀλ. οη'. ἔτ. δ'. πρὸ Χρ. υξε'.
Ὀλ. πε'. ἔτ. δ'. πρὸ Χρ. υλζ'. ἢ μᾶλλον υλς'.

ρβ'. 3. Ἡ πόλις] ἡ Ἀμφίπολις. (Λ. Αὐγ.) — 4. ** Ἀρισταγόρας] οὗτινος καὶ Ἡρόδοτος μέμνηται πολλάκις. (Κασσ. Αὐγ.) — 5. ** Ἠδώνων] ἀπὸ τῆς Ἤδωνες πλ[άσσεται], καὶ οὐκ ἀπὸ τῆς Ἠδωνοί, ὅθεν ὑποκατιὼν Ἤδωνας ἔφη, καὶ οὐχὶ Ἠδωνούς. (Κασσ. Αὐγ.)

Cap. CII. Ξυμμάχους. Gr. συμμάχους ὥσπερ καὶ ἐκεῖνος ξυμμάχους.

Ἐπὶ Στρυμόνι. „Ἐπιστρυμονια (marg. al. man.) Στρυμμονι I.“ Haec verba Gailii.

2. Μιλήσιος. Pal. Μιλίσιος, ante Μηλίσιος.

Κατοικίσαι. Pal. κατοικῆσαι. Valla *incolere*. Vulgatam confirmat Diod. l. XII. c. 68. Vid. adnot.

Ὑπό. D. E. Ar. Chr. Dan. ἀπό. Vulgato etiam Diod. patrocinatur.

Ἠδώνων. Cass. Chr. Dan. Ἡδώνων, et asperi spiritus vestigia in nonnullis libris redeunt mox et c. 108. At vid. I, 100. II, 99. D. E. Ἠδόνων, nisi, quod probabile videtur, fallunt Gailii typothetae. Mox C. ἐπίκους.

Αὐτῶν Cass. Reg. Mosqu. Ar. Chr. Haack. Goell. Vulgo (et Bekk.) αὐτῶν. Cf. adnot. ad I, 5. Post hoc vocabulum nonnulli virgula interpungunt, ne ad βουλόμ. referatur.

Πέμψαντες. F. μεταπέμψαντες.

Δραβήσκῳ. Cass. Vat. Gr. Ar. Chr. Ald. Bas. Δραβησκῷ. At vid. I. 2. p. 379. et Diod. l. l. Marg. Steph. 2. Θραβησκῷ. Reg. Θεαβησκῷ. (G. Θεασβηκῳ.) In Dan. cum praeced. ἐν in Ἐνδραβησκῶν coaluit.

3. Δέοντι Cass. Cl. Pal. It. Vat. H. Bekk. Goell. et correctus m. Vulgo (et Haack.) δέοντος. „Priscian. p. 1181. δέον legit pro ἑνὸς δέοντος. Noster VIII, 6. καὶ ἑνὸς δέον εἰκοστὸν ἔτος τῷ πολέμῳ ἐτελεύτα. Vid. VII, 53.“ Wass. „In his casus participii plerumque convenit cum casu nominis, ut hic in Cl. et Cass. ἑνὸς δέοντι τριακοστῷ ἔτει. Interdum sine respectu ad casum nominis in genitivo ponitur, ut in ceteris mss. ἑνὸς δέοντος, τριακοστῷ ἔτει, anno trigesimo, *deficiente uno*. Exempla utriusque structurae sunt in Budaei Comment. Ling. Gr. p. 1052.“ Duk. Cf. Matth. Gr. §. 141. adnot. 1.

Ἅγνωνος Bekk. Goell. Vulgo (et Haack.) Ἄγνωνος. Vid. discr. script. ad I, 117. Diodorus *Apiona* memorat. At vid. adnot.

Digitized by Google

πλὸν οἰκιστοῦ ἐκπεμφθέντος, Ἥδωνας ἐξελάσαντες, ἔκτισαν τὸ χωρίον τοῦτο, ὅπερ πρότερον Ἐννέα ὁδοὶ ἐκαλοῦντο. 4. ὡρμῶντο δὲ ἐκ τῆς Ἠϊόνος, ἣν αὐτοὶ εἶχον ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ ἐπιθαλάσσιον, ὃ πέντε καὶ εἴκοσι σταδίους ἀπέχον ἀπὸ τῆς νῦν πόλεως, ἣν Ἀμφίπολιν Ἄγνων ὠνόμασεν, ὅτι, ἐπ' ἀμφότερα περιῤῥέοντος τοῦ Στρυμόνος, διὰ τὸ περιέχειν αὐτὴν, τείχει μακρῷ ἀπολαβὼν ἐκ ποταμοῦ ἐς ποταμὸν, περιφανῆ ἐς θάλασσάν τε καὶ τὴν ἤπειρον ᾤκισεν.

(*Βρασίδας προδοσίᾳ Ἀργιλίων, οἳ ἀπὸ τῶν Ἀθηναίων ἀφίστανται, τὴν γέφυραν τοῦ Στρυμόνος διαβαίνει, καὶ τὰ ἔξω τῶν Ἀμφιπολιτῶν αἱρεῖ.*)

ργ'. Ἐπὶ ταύτην οὖν ὁ Βρασίδας, ἅρας ἐξ Ἀρνῶν τῆς Χαλκιδικῆς, ἐπορεύετο τῷ στρατῷ· καὶ ἀφικόμενος περὶ δείλην ἐπὶ τὸν Αὐλῶνα καὶ † Βρωμίσκον †, ᾗ ἡ

ρβ'. 7. *Διὰ τὸ περιέχειν αὐτήν*] τὸν Στρυμόνα. (λ. Κασσ. Αὐγ.) — 8. *Ἀπολαβών*] ἀποκόψας. (λ. Αὐγ.) — ** *Περιφανῆ* — *ᾤκισεν*] ἐν τοιούτῳ χωρίῳ κατῴκισεν, ὃ καταφανὲς ἔκ τε γῆς καὶ θαλάσσης ἐστί. (Κασσ. Αὐγ.)

Ἥδωνας. Reg. Ar. Chr. Bekk. Goell. Ἡδῶνας, ut II, 99. Gr. Ἥδωνας. Vind. Ἡδωνούς. Cf. I. 2. p. 339.

Ὅπερ. D. E. Vind. Ar. Chr. Dan. ὃ.

Ἐκαλοῦντο Cass. Aug. Cl. Pal. It. Vat. H. F. C. Reg. (G.) Gr. B. D. I. E. Vind. m. Ar. Chr. Dan. Ald. Flor. Bas. Haack. Bekk. Goell. Vulgo ἐκαλεῖτο. Cf. 1. 1. p. 99.

4. Ἠϊόνος. Bekk. Ἱιόνος, et sic etiam in proxx. capp. Cf. script. discr. ad c. 7. Vind. Ἡειόνος.

Ἐπὶ τῷ στόματι τοῦ ποταμοῦ. C. Reg. (G.) τοῦ ποτ. ἐπὶ τῷ στόματι, quod in Praefat. temere probat Wass. In D. ἐπὶ στόματι τοῦ ποταμοῦ.

Περιῤῥέοντος τοῦ Στρυμόνος. „Haec ante oculos habuit Steph. in Ἀμφίπολις, et, ut Iungermannus putat, Poll. IX, 27.“ DUK. D. Ar. Στρυμμόνος.

ὬΙκισεν. Vind. ᾤκησεν.

Cap. CIII. Ἅρας (pro quo Pal. ἄρας) post Καλ. collocat E., in quo Ἄρνης legi male scribit Bekk.

Ἐπί. C. Reg. (G.) περί. Statim Pal. δήλην.

Αὐλῶνα. Aliis minuscula litera exarandum videtur. Cf. I 2. p. 355. sq.

Βρωμίσκον. It. Vat. Bekk. Goell. Βρομίσκον. H. Βρομύσκον. Stephani Βορμίσκον videri esse iam I. 2. p. 352. cum Duk. adnotavimus, et ita scriptum malebat Palmer.

Digitized by Google

Βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν, καὶ δειπνοποιησάμενος, ἐχώρει τὴν νύκτα. 2. χειμὼν δὲ ἦν, καὶ ὑπένειφεν· ᾗ καὶ μᾶλλον ὥρμησε, βουλόμενος λαθεῖν τοὺς ἐν τῇ Ἀμφιπόλει, πλὴν τῶν προδιδόντων. 3. ἦσαν γὰρ Ἀργιλίων τε ἐν αὐτῇ οἰκήτορες, (εἰσὶ δὲ οἱ Ἀργίλιοι Ἀνδρίων ἄποικοι,) καὶ ἄλλοι, οἳ ξυνέπρασσον ταῦτα, οἱ μὲν Περδίκκᾳ πειθόμενοι, οἱ δὲ Χαλκιδεῦσι. 4. μάλιστα δὲ οἱ Ἀργίλιοι, ἐγγύς τε προῳκοῦντες, καὶ ἀεί 299. ποτε τοῖς Ἀθηναίοις ὄντες ὕποπτοι, καὶ ἐπιβουλεύοντες τῷ χωρίῳ, ἐπειδὴ παρέτυχεν ὁ καιρὸς, καὶ Βρασίδας ἦλθεν, ἔπραξάν τε ἐκ πλείονος πρὸς τοὺς ἐμπολιτεύον-

τοῦ κεφαλαί- ργ'. 8. Ἐγγύς τε προῳκοῦντες] τῇ Ἀμφιπόλει. — 10. Παρέτυχε] συνέβη. — 11. Ἐκ πλείονος] καιροῦ δηλονότι. — Πρὸς τοὺς οὐ τού-ἐμπολιτεύοντας] μετέχοντας τῆς πολιτείας τῶν Ἀμφιπολιτῶν. τον τὰ

Βόλβη λίμνη ἐξίησιν ἐς θάλασσαν. „Ἐξίησιν ὁ ποταμὸς εἰς θάλασσαν Attice dici ex h. l. docet Thom. Mag. in ἐκβάλλει.“ DUK. Cf. I. 1. p. 136. E. Βολνη. At vid. I. 2. p. 393.

Δειπνοποιησάμενος. Reg. (G.) D. δεῖπνον ποιησάμενος. Cf. Lob. ad Phryn. p. 260.

2. Ὑπένειφεν Cass. Aug. F. It. Vat. H. Reg. (G.) Gr. I. Vind. Haack. Bekk. Goell. Vulgo ὑπένιφεν. Cf. III. 23. Νείφειν igitur *seram* et alibi *dubiam* formam non recte appellat Passow. Lex.

Καὶ μᾶλλον. *Καί* om. Mosqu.

3. Ἀργιλίων — δὲ οἱ ob repetitum Argiliorum nomen om. Ar. Chr.

Καὶ ἄλλοι Cass. Aug. Cl. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. D. I. E. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo καὶ οἱ ἄλλοι, quod iam Fr. Portus damnabat.

Περδίκκᾳ post πειθόμ. reiicit E. In m. Περδίκκου legitur.

4. Ἀεί ποτε. „Θουκυδίδης τετάρτῳ.“ Bekk. Anecdd. p. 77. Nisi ibi potius ad c. 78. respicitur. Cf. etiam Ind. in ἀεί. Pal. rursus ἀεί. Cf. I. 1. p. 211.

Ἐπειδή. Mosqu. ἐπεὶ δέ.

Παρέτυχεν. G. παρέσχεν, quod potius sine ὁ καιρός diceretur, ut IV, 85.

Καὶ Βρασίδας. Cl. καὶ ὁ Βρασίδας.

Ἔπραξαν Aug. Pal. It. Vat. H. F. C. Reg. (G.) B. D. I. E. Vind. m. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Abresch. Haack. Bekk. Goell. „Non deterius est ἔπραξαν, quod Valla et Acacius secuti sunt, qui hoc potius ad Argilios, qui Argilium urbem vicinam incolebant, quam ad Brasidam pertinere existimarunt. Nec male Acacius haec ἔπραξαν — ἡ πόλις tanquam in parenthesi dicta accepit.“ DUK. Postrema male scripta, ut docent particulae τὲ — καί. Sed etiam apodosin ab ἔπραξάν τε ob naturam sententiae (vid. adnot.) non bene videmur incipere posse, nisi cum Kriegero πράξαντες legimus pro ἔπραξάν τε. Vid. Seebod. Archiv. III. 1. p. 536.

Digitized by Google

τας σφῶν ἐκεῖ, ὅπως ἐνδοθήσεται ἡ πόλις, καὶ τότε δεξάμενοι αὐτὸν τῇ πόλει, καὶ ἀποστάντες τῶν Ἀθηναίων, ἐκείνῃ τῇ νυκτὶ κατέστησαν τὸν στρατὸν † πρόσω † ἐπὶ τὴν γέφυραν τοῦ ποταμοῦ. 5. ἀπέχει δὲ τὸ πόλισμα πλέον τῆς διαβάσεως, καὶ οὐ καθεῖτο τείχη ὥςπερ νῦν, φυλακὴ δέ τις βραχεῖα καθειστήκει· ἣν βιασάμενος ῥᾳδίως ὁ Βρασίδας, ἅμα μὲν τῆς προδοσίας οὔσης, ἅμα δὲ καὶ χειμῶνος ὄντος, καὶ ἀπροςδόκητος προςπεσὼν, διέβη τὴν γέφυραν, καὶ τὰ ἔξω τῶν Ἀμφιπολιτῶν, οἰκούντων κατὰ πᾶν τὸ χωρίον, εὐθὺς εἶχε.

ργ'. 1. Δεξάμενοι] οἱ Ἀργίλιοι. — 2. Τῇ πόλει] τῇ οἰκείᾳ. — 4. Τὸ πόλισμα] ἡ Ἀμφίπολις. — 5. Τῆς διαβάσεως] τῆς γεφύρας. — 8. Προςπεσών] ἤγουν ἐπιπεσών.

σχόλια λ. Αὐγ. ὡςαύτως καὶ τὰ τοῦ ρδ'.

Ἐκείνῃ. Vulgo ἐν ἐκείνῃ, sed ἐν de. Cass. Cl. Pal. It. Vat. H. C. Reg. Gr. B. D. I. E. Vind. m. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Goell. „Delenda est praepositio." WASS. in Praef., cui nescio cur refragetur Schaef. ad Lamb. Bos. p. 701. Sic ταύτῃ τῇ ἡμέρᾳ c. 106. „Cum Acacio illa ἐκείνῃ τῇ νυκτί malim coniungere cum seqq. κατέστησαν τὸν στρατόν quam cum praecedd. ἀποστάντες τῶν Ἀθην." DUK. Paruimus cum Haack.

Πρόσω. Pal. πρὸς ἕω. Cass. in marg. man. rec. γρ. καὶ πρὸ ἕω. „Πρόσω Valla et Portus in versione praeterierunt, Acacius vertit *ad caput* pontis. Mihi consideranda videtur scriptura, quae est in marg. cod. Cass." DUK. Consentit Valcken. ad Hrdt. VIII, 83. „Dixi iam olim ad Dion. p. 199. mihi vehementer probari hanc scripturam [πρὸ ἕω], ut quae doceat, quare Brasidas imprudentibus Amphipolitis exercitum traiecerit." GOELL., qui cum Bekk. recepit. Equidem licet virorum doctissimorum auctoritati libenter parerem, tamen, ut verum fatear, cur a librorum scriptura recedam, idoneam causam non video. Nam temporis notio iam satis inest in ἐκείνῃ τῇ νυκτί, πρόσω autem significat Argilios non satis habuisse Brasidam in suam urbem recipere, sed hac ipsa nocte eum *protinus* seu *ulterius* (*vorwärts*) ad pontem duxisse. Notandum tamen hoc vocabulum, ab Herodoto, Xenophonte aliisque frequentatum, apud Thuc. alibi non exstare.

5. Καθειστήκει. C. Reg. (G.) καθεστήκει. Cf. I. 1. p. 228.

Τὰ ἔξω. Τά om. Chr. Mox εἶχεν H. et Bekk. minn. exempll. Cf. Farr. discr. script.

Digitized by Google

(*Θόρυβος ἐν τῇ πόλει. οἱ ἐναντίοι τοῖς προδιδοῦσι πέμπουσιν ἐπὶ Θουκυδίδην, κελεύοντες βοηθεῖν.*)

ρδ'. Τῆς δὲ διαβάσεως αὐτοῦ ἄφνω τοῖς ἐν τῇ πόλει γεγενημένης, καὶ τῶν ἔξω πολλῶν μὲν ἀλισκομένων, τῶν δὲ καὶ καταφευγόντων ἐς τὸ τεῖχος, οἱ Ἀμφιπολῖται ἐς θόρυβον μέγαν κατέστησαν, ἄλλως τε καὶ ἀλλήλοις ὕποπτοι ὄντες. 2. καὶ λέγεται Βρασίδαν, εἰ ἠθέλησε μὴ ἐφ' ἁρπαγὴν τῷ στρατῷ τραπέσθαι, ἀλλ' εὐθὺς χωρῆσαι πρὸς τὴν πόλιν, δοκεῖν ἂν ἑλεῖν. 3. νῦν δὲ ὁ μὲν, ἰδρύσας τὸν στρατὸν, ἐπὶ τὰ ἔξω ἐπέδραμε, καὶ ὡς οὐδὲν αὐτῷ ἀπὸ τῶν ἔνδον, ὡς προσεδέχετο, ἀπέβαινεν, ἡσύχαζεν. 4. οἱ δὲ ἐναντίοι τοῖς προδιδοῦσι, κρατοῦντες τῷ πλήθει, ὥστε μὴ αὐτίκα τὰς πύλας ἀνοίγεσθαι, πέμπουσι μετὰ Εὐκλέους τοῦ στρατηγοῦ, ὃς ἐκ τῶν Ἀθηναίων παρῆν αὐτοῖς φύλαξ τοῦ χωρίου, ἐπὶ τὸν ἕτερον στρατηγὸν † τὸν † ἐπὶ Θρᾴκης, Θουκυ-

πλὴν οἷν, καὶ τὰ τοῦ ρδ'.

ρδ'. 1. *Διαβάσεως*] διαπεραιώσεως. (λ. Κασσ.) — 6. *Τῷ στρατοῖν δυ'τῷ*] σὺν τῷ στρατῷ. (λ. Κασσ.) — 8. *Ἐπὶ τὰ ἔξω ἐπέδραμεν*] ἠοῖν τε-γουν ἐληΐσατο τὰ ἐκτός. — 11. *Τὰς πύλας*] τῆς Ἀμφιπόλεως. (λ. λευται-Κασσ.) — 13. *Αὐτοῖς*] τοῖς Ἀμφιπολίταις.

Cap. CIV. *Ταῖς ἐν.* F. It. Vat. cod. Bas. D. *τῆς ἐν.* Aug. *τοὺς ἐν*, sed *τοῖς* superscr. man. 2.

Δὲ καί. Καί om. Aug. D. I. E. m. Ar. Chr. Dan. Mox Mosqu. *Ἀμφιπολίται* exarat.

2. *Βρασίδαν.* Vulgo *τὸν Βρασίδαν*, sed *τόν* om. Cass. Aug. Cl. F. It. Vat. H. Gr. D. I. E. m. Ar. Chr. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Goell. Insuper H. D. I. *Βρασίδας* non deterius scribunt.

Ἠθέλησε. E. *ἐθέλησε.* At vid. I. 1. p. 211.

Τραπέσθαι. D. I. E. Vind. m. Ar. Chr. Dan. *τρέπεσθαι*, in m. tamen pusillum atramenti super *ρ* adspersum nostram scripturam significare credas.

Ἂν ἑλεῖν. Aug. Gr. I. *ἀνελεῖν*, in I. tamen nostrum in marg. ab al. man.

3. *Ὡς οὐδέν. Ὡς* om. Cass. (in quo corrector adscripsit,) Aug. Pal. It. Vat. F. C. cod. Bas. Gr., et s. v. habet G. Sed deesse non posse, nisi eius loco *γάρ* post *οὐδέν* inseruerit, facile apparet.

4. *Οἱ δέ. Δέ* pro *δ'* scripsimus cum Cass. Aug. Pal. H. F. C. Reg. (G.) Gr. B. D. I. E. Ar. Chr. „Maiorem, quam ut elidatur, emphasin habet.“ KISTEM.

Ἐκ τῶν. Ἐκ s. v. habet G. Statim si *Ἀθηνῶν* malis, Haackius comparat *ἐκ δὲ τῶν Ἀθηναίων κήρυξ* c. 97. Cf. adnot. ad II, 86. Antea Pal. *Εὐκλεοῦς.*

Τὸν ἐπί. It. Vat. H. Bekk. Goell. *τῶν ἐπί*, quod fortasse

Digitized by Google

δίδην τὸν Ὀλόρου, ὃς τάδε ξυνέγραψεν, ὄντα περὶ Θάσον, (ἔστι δὲ ἡ νῆσος, Παρίων ἀποικία, ἀπέχουσα τῆς Ἀμφιπόλεως ἡμίσεος ἡμέρας μάλιστα πλοῦν,) κελεύοντες σφίσι βοηθεῖν. 5. καὶ ὁ μὲν, ἀκούσας, κατὰ τάχος ἐπὶ ναυσὶν, αἳ ἔτυχον παροῦσαι, ἔπλει, καὶ ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν τὴν Ἀμφίπολιν, πρίν τι ἐνδοῦναι, εἰ δὲ μὴ, τὴν Ἠιόνα προκαταλαβών.

(Βρασίδας, δεδιὼς τὴν βοήθειαν, ξύμβασιν μετρίαν ὑποτείναι.)

ρε'. Ἐν τούτῳ δὲ ὁ Βρασίδας, δεδιὼς καὶ τὴν ἀπὸ τῆς Θάσου τῶν νεῶν βοήθειαν, καὶ πυνθανόμενος τὸν Θουκυδίδην κτῆσίν τε ἔχειν τῶν χρυσείων μετάλλων ἐργασίας ἐν τῇ περὶ ταῦτα Θρᾴκῃ, καὶ ἀπ' αὐτοῦ δύνασθαι ἐν τοῖς πρώτοις τῶν ἠπειρωτῶν, ἠπείγετο προκα-

ρδ'. 3. Κελεύοντες] τὸν Θουκυδίδην. (λ. Κασσ.)

verius, sed a Valla quoque lectum esse ex eius interpretatione *ad alterum ducem Thraciae praesidem* non eruas. Articulum om. B., qui cum H. ἐπιθράκης exarat.

Τὸν Ὀλόρου. Vat. αὐτὸν Ὀλόρου.

Θάσον. Post hoc F. repetit verba οἱ δὲ ἐναντίοι — τῷ πλ. ἡσ. (? ὥστε?) Vind. Θάσου praebet, Mosqu. Θάσσον. At vid. I. 2. p. 342.

Ἡ νῆσος. Ἡ om F.

Ἡμίσεος. It. Vat. H. ἡμισείας, quam grammaticorum manifestam correctionem male secuti sunt Bekk. et Goell. Vid. Buttm. Gr. max. I. p. 252. Ut hic ἥμισυ ἡμέρας, ita saepe μέσον ἡμέρας, μέσον νυκτῶν (vid. ad Xen. Cyr. IV, 4, 1.), quae locutiones a Matth. Gr. §. 119. b. ἵη nostra et Buttmanni explicatione articulum male desiderari satis declararent, nisi idem ex natura sententiae iam pateret. Mosqu. om. ἡμίσεος.

5. Προκαταλαβών Cass. Aug. Cl. Pal. It. Vat. H. F. C. Gr. B. D. I. E. Vind. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Abresch. Haack. Bekk. Vulgo προκαταλαβεῖν, quod non soloecum saltem esse docet Matth. Gr. §. 553. 3. adnot. 2., quanquam hic nemo tenebit. Antea Bekk. rursus Ἠιόνα.

Cap. CV. Δεδιὼς καὶ. Καὶ (non, ut Bekk. scribit, τήν) om. E., sed per eam synchysin, quae frequens est in τέ (vid. I. 1. p. 300. sq.), defendi potest.

Θάσου. Ar. Chr. Dan. Θαλάσσης.

Χρυσείων. Cass. E. χρυσίων. Ut hic χρύσεια μέταλλα, ita alibi bis ἀργύρεια μέταλλα habet Thuc.

Πρώτοις. „Fortasse legendum πρώτων." BEKK. At vid. de Art. crit. p. 160. sq. Portus: *hino opibus valere inter primores eorum, qui continentem incolebant.*

Digitized by Google

τάσχεῖν, εἰ δύναιτο, τὴν πόλιν, μὴ, ἀφικνουμένου αὐτοῦ, τὸ πλῆθος τῶν Ἀμφιπολιτῶν, ἐλπίσαν ἐκ θαλάσσης ξυμμαχικὸν καὶ ἀπὸ τῆς Θράκης ἀγείραντα αὐτὸν περιποιήσειν σφᾶς, οὐκέτι προσχωροῖ. 2. καὶ τὴν ξύμβασιν μετρίαν ἐποιεῖτο, κήρυγμα τόδε ἀνειπών, Ἀμφιπολιτῶν καὶ Ἀθηναίων τῶν ἐνόντων τὸν μὲν βουλόμενον ἐπὶ τοῖς ἑαυτοῦ, τῆς ἴσης καὶ ὁμοίας μετέχοντα, μένειν, τὸν δὲ μὴ ἐθέλοντα, ἀπιέναι, τὰ ἑαυτοῦ ἐκφερόμενον, πέντε ἡμερῶν.

(Ἡ ὁμολογία γίγνεται. Θουκυδίδης ἐς Ἠιόνα κατακλεί.)

ρϛ'. Οἱ δὲ πολλοὶ, ἀκούσαντες, ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας, ἄλλως τε καὶ βραχὺ μὲν Ἀθηναίων ἐμπολιτεῦον, τὸ δὲ πλεῖον ξύμμικτον. καὶ τῶν ἔξω ληφθέντων συχνοὶ οἰκεῖοι ἔνδον ἦσαν, καὶ τὸ κήρυγμα

ρε'. 1. Ἀφικνουμένου αὐτοῦ] τοῦ Θουκυδίδου. — 3. Αὐτόν] τὸν Θουκυδίδην. — 4. Περιποιήσειν] σώσειν. — 5. Ἀνειπών] ἀνακηρύξας. — 7. Ἐπὶ τοῖς ἑαυτοῦ] κτήμασι δηλονότι. — Καὶ ὁμοίας] πολιτείας.

ρϛ'. 10. Ἀλλοιότεροι ἐγένοντο τὰς γνώμας] ἤγουν μετεβλήθησαν τὴν προαίρεσιν. (λ. Αὐγ.) — 12. Τὸ δὲ πλεῖον ξύμμικτον] οἱ πλείονς οἰκήτορες σύμμικται ἦσαν, ἤγουν ἐκ διαφόρων γενῶν. (λ. Αὐγ.)

Μή. Supra hoc in Aug. a man. 1. scr. ἢ μήπως.

Ἀφικνουμένου. Ar. Chr. *ἀφικομένου.*

Ἐλπίσαν. Vind. *ἐλπίσας.*

Ἀγείραντα. Gr. *ἐγείραντα.*

Ἐπισπόμενος Cass. (in quo tamen *ἐπισπώμενος* fuisse videtur, quum aliquid abrasum et vacuum spatium inter *ο* et *μ* relictum sit,) Aug. It. Vat. Mosqu, m. ed. Steph. Haack. Bekk. Goell. Valla: *insecutus.* Vulgo *ἐπισπώμενος.* At vid. Haack. et ad III, 43.

Αὐτοβοεί. „Quum hoc vocabulum longe aptius cum *ξυνεσπεσών* iungatur, comma migrare iussi ante *αὐτοβοεί.*“ HAACK. „Non dubito, quin *αὐτοβοεί* cum *ἑλόντες* iungendum sit. Cf. III, 74. 113. II, 81.“ KRUEG. ad Dion. p. 296. Ita comma ante *καὶ ὁ* om. aut alterum adiiciendum post *ἐπισπ.*

Κατά. Gr. *καὶ κατά.*

Διῃρημένον τοῦ. C. D. I. *εἰρημένον τοῦ.*

Τοῦ παλαιοῦ τείχους. Pal. It. Vat. H. *τείχους τοῦ παλαιοῦ,* non multo deterius. Sed c. 2., ut hic, *διελὼν τοῦ παλαιοῦ τείχους.*

Ξυνεσπεσών. C. *ξυνεπεσων.* Pal. D. I. *ξυνέπεσον.* Cod. Bas. *ξυμπεσών.*

Ἀπέκτειναν. D. I. *ἀπέκτεινον.*

Τῶν Πελοποννησίων. Τῶν om. D. Pro *Πελοποννησίων.* I. *Πεσονν.*

Digitized by Google

καὶ Τορωναίων εὐθὺς ἐν χερσὶ, τοὺς δὲ ζῶντας ἔλαβον, καὶ Πασιτελίδαν τὸν ἄρχοντα. 3. Βρασίδας δὲ ἐβοήθει μὲν τῇ Τορώνῃ, αἰσθόμενος δὲ καθ' ὁδὸν ἐαλωκυῖαν, ἀνεχώρησεν, ἀποσχὼν τεσσαράκοντα μάλιστα σταδίους μὴ φθάσαι ἐλθών. 4. ὁ δὲ Κλέων καὶ οἱ Ἀθηναῖοι τροπαῖά τε ἔστησαν δύο, τὸ μὲν κατὰ τὸν λιμένα, τὸ δὲ πρὸς τῷ τειχίσματι, καὶ τῶν Τορωναίων γυναῖκας μὲν καὶ παῖδας ἠνδραπόδισαν, αὐτοὺς δὲ, καὶ Πελοποννησίους, καὶ εἴ τις ἄλλος Χαλκιδέων ἦν, ξύμπαντας ἐς ἑπτακοσίους, ἀπέπεμψαν ἐς τὰς Ἀθήνας· καὶ αὐτοῖς τὸ μὲν Πελοποννήσιον ὕστερον ἐν ταῖς γενομέναις σπονδαῖς ἀπῆλθε, τὸ δὲ ἄλλο ἐκομίσθη ὑπ' Ὀλυνθίων, ἀνὴρ ἀντ' ἀνδρὸς λυθείς. 5. εἶλον δὲ καὶ Πάνακτον Ἀθηναίων ἐν μεθορίοις τεῖχος Βοιωτοὶ ὑπὸ τὸν αὐτὸν χρόνον προδοσίᾳ. 6. καὶ ὁ μὲν Κλέων, φυλακὴν καταστησάμενος τῆς Τορώνης, ἄρας * περιέπλει * τὸν Ἄθων ὡς ἐπὶ τὴν Ἀμφίπολιν.

320.

4. Ἀποσχών] ἀποστάς. (λ. Ἀνγ.) — 10. ** Αὐτοῖς] ἦγον αὐτοῖς αἰχμαλώτοις. ἡ διάνοια· ἐκ τούτων τῶν αἰχμαλώτων οἱ Πελοποννήσιοι ὕστερον ἀπῆλθον, γενομένων σπονδῶν, οἱ δὲ ἄλλοι ἐκομίσθησαν ὑπ' Ὀλυνθίων. (Δουγδ.) — 13. Λυθείς] ἀπολυτρωθείς. (λ. Ἀνγ.)

Τοὺς δέ. C. δοὺς δέ. Mox ed. Bas. Πασιτελίδα.

3. Ἀνεχώρησεν. F. et alius Par. ἀνεχώρησαν. I. ἀπεχώρησεν.

4. Δύο om. Gr. Antea Pal. Mosqu. τρόπαια. Cf. I. 1. p. 214.

Τὸ μέν. G. τὰ μέν.

Γυναῖκας s. v. habet D.

Χαλκιδέων. Vat. H. τῶν Χαλκιδέων. Mox in ἀπέπεμψαν litera μ in C. s. v.

Πελοποννήσιον. Dan. Πελοποννησίων. Ita etiam I., sed cum ον s. ω. At vid. I. 1. p. 104.

Ἀπῆλθε. Mosqu. ἀπῆλθον.

5. Εἶλον. Lugd. εἶχον.

Πάνακτον. Cass. N....α, cetera abrasa erant. Omnem hanc enunciationem sane alibi collocatam velis.

Ἐν μεθορίοις. Mosqu. ἐμμεθορίοις. Idem mox τὸν αὐτῶν.

6. Ἄρας. Ante Bekk. ὥρας.

Περιέπλει. Aug. Cl. Pal. Vat. H. (in cuius marg. γρ. περιέπλει,) G. K. περιπλεῖ, quod hic vix aptum. Vind. περιπλεῖς. E. περιήει.

Ἄθων Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) Lugd. K. marg. Steph. Bekk. (cui tamen operae in maii. exempll. non paruerunt,) Goell., fortasse etiam Cl., de quo Wass. sibi contradicit. Vulgo (et Haack.) Ἄθω. Ar. Chr. Dan. Ἄθωνα. Cf. I. 1. p. 220, et I. 2. p. 361.

Ὡς. K. δ' ὡς.

Digitized by Google

(3. Φαίακος πλοῦς ἐς τὴν Σικελίαν. δ'. ε'. Στάσεις τοῖς Λεοντίνων, οὓς Φαίαξ πέμπεται περιποιήσων· τῷ δὲ ἐν Γέλᾳ ῥᾳ προχωρήσαντος τοῦ πράγματος, πάλιν ἀποπλεῖ.)

δ'. Φαίαξ δὲ ὁ Ἐρασιστράτου τρίτος αὐτὸς, Ἀθηναίων πεμπόντων, ναυσὶ δύο ἐς Ἰταλίαν καὶ Σικελίαν πρεσβευτὴς ὑπὸ τὸν αὐτὸν χρόνον ἐξέπλευσε. 2. Λεοντῖνοι γὰρ, ἀπελθόντων Ἀθηναίων ἐκ Σικελίας μετὰ τὴν ξύμβασιν, πολίτας τε ἐπεγράψαντο πολλοὺς, καὶ ὁ δῆμος τὴν γῆν ἐπενόει ἀναδάσασθαι. 3. οἱ δὲ δυνατοὶ, αἰσθόμενοι, Συρακοσίους τε ἐπάγονται, καὶ ἐκβάλλουσι τὸν δῆμον. καὶ οἱ μὲν ἐπλανήθησαν ὡς ἕκαστοι· οἱ δὲ δυνατοὶ, ὁμολογήσαντες Συρακοσίοις, καὶ τὴν πόλιν

δ'. 1. Τρίτος αὐτός] τουτέστι μετ' ἄλλων δύο. — 4. Μετὰ τὴν ξύμβασιν] τὴν κοινὴν τῶν Σικελιωτῶν. (λ. Αὐγ.) — 5. Πολίτας ἐπεγράψαντο] [ὡπειώσαντο. (λ. Αὐγ.)] ἑτέρους ἐπὶ τοῖς οὖσιν ἐνεγράψαντο εἰς τὴν πολιτείαν. — 6. Ἐπενόει] προεθυμεῖτο, ἠξίου. — Ἀναδάσασθαι] ἐξ ὑπαρχῆς δασμὸν καὶ μερισμὸν ποιῆσαι. (λ. Αὐγ.) — Οἱ δὲ δυνατοί] τῶν Λεοντίνων. (λ. Κασ. Αὐγ.) — 7. Ἐπάγονται] εἰς βοήθειαν τῆς πόλεως. (λ. Αὐγ.) — 8. Ἐπλανήθησαν ὡς ἕκαστοι] πλανηθέντες διέστησαν. (λ. Αὐγ.) — 9. Ὁμολογήσαντες] συνθέμενοι.

CAP. IV. Φαίαξ. C. Φάλαξ, hic et infra. At vid. Ruhnken. Hist. Orat. p. 135—138.

Ἐρασιστράτου. Vat. H. Ἐρεσιστράτου.

Πρεσβευτὴς — ἐξέπλευσε. „Laudat haec Thom. Mag. in πρέσβεις, et scribit πρέσβεις dici numero plurali, non πρεσβευταί, et contra πρεσβευτής numero singulari, non πρέσβυς. Sic quoque Ammon. Sed certum est scriptores Atticos etiam πρεσβευταί in plurali dicere. [Sic VIII, 77. Alia exempla habet Abresch. p. 495.] Apud Ammon. πρέσβεις, οἱ πρεσβευταί, vel ita accipiendum est, ut in Etym. M. οἱ νῦν πρεσβευταί, vel pro οἱ legendum est οὐ." DUK. „Vid. Buttm. Gr. max. t. I. p. 238. Dorv. ad Char. p. 638." GOELL. Bekk. in minn. exempll. cum H. ἐξέπλευσεν, quod adde Farragini discr. script.

2. Λεοντῖνοι — ἀναδάσασθαι. „Dion. Hal., qui structuram velut ἐξηλλαγμένην improbat p. 136. [802], ubi ἐπενόει τὴν γῆν ἀναδάσασθαι." WASS. „Videtur opinatus esse τὸν δῆμον hic intelligi populum Leontinorum, quum nonnisi plebs dicatur." KRUEG.

Ἐπεγράψαντο. Reg. (G.) ἐγράψαντο.

3. Αἰσθόμενοι. D. ἐσθόμενοι.

Συρακοσίους Cass. Aug. Pal. Bekk. Goell., Pal. tamen mox Συρακουσσίοις. Vulgo (et Haack.) Συρακουσίους et mox Συρακουσίοις. C. D. Συράκοσίους, et D. constanter Συράκ. Cf. script. discr. ad III, 86.

Digitized by Google

ἐκλιπόντες, καὶ ἐρημώσαντες, Συρακούσας ἐπὶ πολιτείᾳ ᾤκησαν. 4. καὶ ὕστερον πάλιν αὐτῶν τινὲς, διὰ τὸ μὴ ἀρέσκεσθαι, ἀπολιπόντες ἐκ τῶν Συρακουσῶν, * Φωκέας * τε, τῆς πόλεώς τι τῆς Λεοντίνων χωρίον καλούμενον, καταλαμβάνουσι, καὶ Βρικιννίας, ὃν ἔρυμα ἐν τῇ Λεοντίνῃ. καὶ τῶν τοῦ θήμου τότε ἐκπεσόντων οἱ πολλοὶ ἦλθον ὡς αὐτοὺς, καὶ καταστάντες, ἐκ τῶν τειχῶν ἐπολέμουν. 5. ἃ πυνθανόμενοι οἱ Ἀθηναῖοι, τὸν Φαίακα πέμπουσιν, εἴ πως, πείσαντες τοὺς σφίσιν ὄντας αὐτόθι ξυμμάχους καὶ τοὺς ἄλλους, ἢν δύνωνται, Σικελιώτας κοινῇ, ὡς Συρακοσίων δύναμιν περιποιουμένων, ἐπιστρατεῦσαι, διασῶσειαν τὸν δῆμον τῶν Λεοντίνων. 6. ὁ δὲ Φαίαξ, ἀφικόμενος, τοὺς μὲν Καμαριναίους

1. Ἐρημώσαντες] καταλιπόντες ἐρήμην. — Ἐπὶ πολιτείᾳ] ἐπ' ἴσῃ πολιτείᾳ τῶν Συρακουσίων. (λ. Αὐγ.) — 3. Φωκέας] οἱ μὲν ἐκτεταμένως ἀναγινώσκουσιν, ὡς Ηρασίας, οἱ δὲ συνεσταλμένως. ὁμοίως δὲ καὶ τὸ Βρικιννίας. — 5. † Καταλαμβάνουσιν] ἦγουν λαμβάνοντες † εἰς κατοίκησιν. (λ. Αὐγ.) ** τὸ ἑξῆς, καταλαμβάνουσι χωρίον τι τῶν Λεοντίνων παρακαλούμενόν τε Φωκέας. (Λουγδ.) — 8. Ἐπολέμουν] πρὸς τοὺς Συρακουσίους. — 9. Πείσαντες —] τὸ ἑξῆς, πείσαντες τοὺς ξυμμάχους ἐπιστρατεῦσαι. §. ὅπως, κοινῇ ἐπιστρατεύσαντες Συρακουσίοις ὡς δύναμιν περιποιουμένοις, διασῶσειαν τοὺς Λεοντίνους. — Τοὺς σφίσιν ὄντας] * τοῖς Ἀθηναίοις. * (λ. Αὐγ.) — 11. ** Περιποιουμένων] αὐξανομένων. (Λουγδ.).

Ἐρημώσαντες. Incisum ante Bauer. inepte post Συρακ. demum erat. Sed rectius Reg. Ar. Chr. Flor.

Συρακούσας. Cass. Aug. Pal. Συρακούσσας, et mox Συρακουσσῶν, fortasse recte. Cf. ad III, 86. et Buttm. Gr. II. p. 387.

Πολιτείᾳ. E. πολυτειᾳ, sed s. v. γρ. πολιτείᾳ. K. πολυτείᾳ.

Ὤικησαν. Marg. Steph. ᾤκισαν.

4. Ἀπολιπόντες. Mosqu. ἐκλιπόντες, quod usitatius in hac structura, de qua vid. adnot.

Φωκέας. It. Vat. H. Bekk. Goell. et in marg. Cl. Φωκαίας, etsi Gail. ex H. Φοκαίας affert. Utrum melius sit, nos ignoramus.

Τῆς Λεοντίνων. C. D. τῶν Λεοντίνων.

Βρικιννίας. Gr. Βρικινίας hic et paulo post. D. hic Βρυκινίας, mox Βρικινίας. Mosqu. utroque loco Βρικυνίας. At vid. I. 2. p. 527. In Aug. Βρικιννιάς in Schol., in contextu fuerat Βρικιννίας, sed man. rec. accentum posuit in ultima.

Τότε. Cam. ποτέ. At vid. ad I, 101.

5. Κοινῇ om. Gr. B. Ald. Flor. Bas. (ed., non item cod. Bas.) Mox Pal. διασῴσειαν. Cf. de Art. crit. p. 150.

Digitized by Google

πείθει καὶ Ἀκραγαντίνους· ἐν δὲ Γέλᾳ ἀντιστάντος αὐτῷ τοῦ πράγματος, οὐκέτι ἐπὶ τοὺς ἄλλους ἔρχεται, αἰσθόμενος οὐκ ἂν πείθειν αὐτούς· ἀλλ' ἀναχωρήσας διὰ τῶν Σικελῶν ἐς Κατάνην, καὶ ἅμα ἐν τῇ παρόδῳ καὶ ἐς τὰς Βρικιννίας ἐλθὼν, καὶ παραθαρσύνας, ἀπέπλει.

(Ἐν τῇ παρακομιδῇ Λοκροῖς ἐντυγχάνει, οἷς ὁμολογία ἐγεγένητο πρὸς αὐτόν.)

ε'. Ἐν δὲ τῇ παρακομιδῇ τῇ ἐς τὴν Σικελίαν καὶ πάλιν ἀναχωρήσει καὶ ἐν τῇ Ἰταλίᾳ τισὶ πόλεσιν ἐχρημάτισε περὶ φιλίας τοῖς Ἀθηναίοις, καὶ Λοκρῶν ἐντυγχάνει τοῖς ἐκ Μεσσήνης ἐποίκοις ἐκπεπτωκόσιν, οἳ μετὰ
10 τὴν Σικελιωτῶν ὁμολογίαν, στασιασάντων Μεσσηνίων,
321. καὶ ἐπαγαγομένων τῶν ἑτέρων Λοκρούς, ἔποικοι ἐξεπέμφθησαν, καὶ ἐγένετο Μεσσήνη Λοκρῶν τινὰ χρόνον.

2. ** Ἐπὶ τοὺς ἄλλους] πρὸς τοὺς ἄλλους. (Αὐγ.)
ε'. 6. ** Παρακομιδῇ] παρελεύσει. (Βασ.) — 7. Ἐχρημάτισε] ὡμίλησε. — Ἐχρημάτ. περὶ φιλίας] λόγους προσήνεγκε πειστικούς. [** ἔταξε δοῦναι χρήματα ὑπὲρ φιλίας καὶ συμμαχίας. (Βασ.)] — 10. Σικελιωτῶν] ἰστέον δὲ ὅτι οἱ μὲν Ἕλληνες οἱ ἐν Σικελίᾳ Σικελιῶται λέγονται, οἱ δὲ βάρβαροι οἱ ἐν αὐτῇ Σικελοί. οὕτω δὲ καὶ ἐπὶ Ἰταλιωτῶν. — Ὁμολογίαν] τὴν κοινὴν δηλονότι.

6. *Γέλᾳ.* C. *Γέλει.* Vind. *Γέλωτι.* K. *Γάλα*, cum *ει* (? *δ*?) s. *γα* et *ωτι* s. *λα*.

Ἀναχωρήσας. C. *ἀναχωρησαι.*

Παραθαρσύνας Cass. Aug. Pal. It. Vat. H. Reg. I. m. Chr. Haack. Bekk. Goell. In Cl. C. Gr. B. E. Vind. K. Ar. Dan. Ald. Flor. Bas. marg. Steph. *παραθρασύνας.* Vulgo *παραθαῤῥύνας.* At vid. I. 1. p. 209. et adnot.

Cap. V. *Παρακομιδῇ.* „Id est προοελεύσει. Thom. Mag. ex h. l. [qui cum Phav. habet verba *ἐν δὲ — ἀναχ.*]" DUK. Post *Ἀθην.* cum Bekk. comma pro puncto posuimus, ut *καί* ante *ἐν τῇ* respondeat eidem particulae ante *Λοκρῶν.*

Ἐκ Μεσσήνης. Gr. E. Mosqu. m. Ar. Chr. *ἐκ Μεσήνης.* Cf. I. 2. p. 531. et Bekk ad I, 101. C. D. I. *ἐν Μεσήνοις.*

Μετὰ τήν. *Τήν* in marg. Mosqu.

Σικελιωτῶν. Vulgo *τῶν Σικ.*, sed *τῶν* om. Cass. Aug. Cl. Pal. H. F. Lugd. Gr. B. C. E. K. Ar. Chr. Dan. Ald. Flor. Bas. Uncis inclusit Haack., servarunt Bekk. et Goell.

Μεσσηνίων. D. I. *Ἀθηναίων*, sed in marg. *Μεσηνίων.* Posterius in contextu E. K. Sic iidem et Ar. Chr. mox *Μεσήνη.*

Ἐπαγαγομένων. Cass. D. E. *ἐπαγομένων.* Mox B. *ἔποκοι*, Pal., ut solet, *Λοκρούς.* De *ἔποικοι* cf. I. 1. p. 235.

Digitized by Google

2. τούτοις οὖν ὁ Φαίαξ ἐντυχὼν † τοῖς κομιζομένοις, † οὐκ ἠδίκησεν· ἐγεγένητο γὰρ τοῖς Λοκροῖς πρὸς αὐτὸν ὁμολογία ξυμβάσεως πέρι πρὸς τοὺς Ἀθηναίους. 3. μόνοι γὰρ τῶν ξυμμάχων, ὅτε Σικελιῶται ξυνηλλάσσοντο, οὐκ ἐσπείσαντο Ἀθηναίοις· οὐδ' ἂν τότε, εἰ μὴ αὐτοὺς κατεῖχεν ὁ πρὸς *Ἰωνέας καὶ Μελαίους * πόλεμος, ὁμόρους τε ὄντας καὶ ἀποίκους. καὶ ὁ μὲν Φαίαξ ἐς τὰς Ἀθήνας χρόνῳ ὕστερον ἀφίκετο.

(4. Κλέωνος στρατεία ἐς Ἀμφίπολιν. μάχη ἐπ' Ἀμφιπόλει. θάνατος Κλέωνος καὶ Βρασίδου. ϛ'—ια'. Κλέων μὲν Γαληψὸν ἑλὼν ἐν Ἠιόνι αὐλίζεται, Βρασίδας δὲ ἐπὶ Κερδυλίῳ ἀντικαθήμενος παρασκευάζεται στρατόν.)

ϛ'. Ὁ δὲ Κλέων ὡς ἀπὸ τῆς Τορώνης τότε περιέπλευσεν ἐπὶ τὴν Ἀμφίπολιν, ὁρμώμενος ἐκ τῆς Ἠιόνος, Σταγείρῳ μὲν προσβάλλει, Ἀνδρίων ἀποικίᾳ, καὶ οὐχ

1. ** Κομιζομένοις] ἀποδεχομένοις αὐτὸν τὸν Φαίακα. (Λουγδ.) — 2. ** Ἠδίκησεν] βλάβην ἐποίησε. (Λουγδ.) — 4. Ξυνηλλάσσοντο] ἀντὶ τοῦ † συνῆεσαν †, [** εἰρήνην ἐποίουν. (Βασ.)] — 7. Ἀποίκους] ἑαυτῶν, τῶν Λοκρῶν.

2. Ὁ Φαίαξ. Ὁ om. Gr.

Τοῖς κομιζομένοις. Aug. προσκομιζομένοις. „Imo ἀποκομιζομένοις [*revehentibus*]." BEKK. Articulus saltem ferri nequit.

Ἐγεγένητο. C. ἐγεγένοτο. G. ἐγεγένετο, s. v. ead. man. ἐγεγένητο.

3. Ὅτε. Aug. It. Vat. οἵτε.

Ξυνηλλάσσοντο. Pal. ξυναλλάσσοντο, sed rec. man. fuerat ξυνηλλ. K. ξυναλάσσοντο,

Ἐσπείσαντο. K. ἐπείσαντο.

Ἀθηναίοις. Mosqu. τοῖς Ἀθηναίοις.

Ἰωνέας. Aug. F. E. Mosqu. Ἰωναίας. C. D. I. Ἰωνίας. Cf. I. 2. p. 553.

Μελαίους. Gr. Μελέους.

Ἀθήνας. C. ἀλλήλους.

Cap. VI. Ὡς Pal. It. Vat. Reg. Gr. C. Ar. Chr. Reisk. Haack. Bekk. Goell. Vulgo ὅς. „Cursum hunc ipsum iam supra c. 3. extr. demonstraverat. Ergo ὡς, quod eo spectat, aptius est quam ὅς, quod pronomen rem tanquam novam indicat." HAACK. Locos III, 69. V, 10. (VIII, 31.) comparat Krueg. ad Dion. p. 332.

Ἀπὸ τῆς Τορώνης τότε. Cod. Has. D. E. τότε ἀπὸ τῆς Τορώνης. Gr. C. D. τότε ἀπὸ Τορώνης, quod temere commendat Bened. K. inepte ἀπὸ τῆς τότε Τορώνης. H. in ordine vulg. nihil mutat, sed rursus ἐκ habet pro ἀπό. Vid. c. 3.

Ἠιόνος. Aug. G. (?) C. K. m. Bekk. Ἱιόνος, fortasse recte. Cf. ad I, 98. et IV, 7. Cass. Reg. (?) Chr. Dan. Ἡόνος, et paulo post Ἡόνι, ubi accedunt G. C. D. K. In F. Ar. Ἰηόνος et mox Ἰηόνι. Gr. Κόνος. D. I. Ρηονος.

Digitized by Google

εἶλε, Γαληψὸν δὲ τὴν Θασίων ἀποικίαν λαμβάνει κατὰ κράτος. 2. καὶ πέμψας ὡς Περδίκκαν πρέσβεις, ὅπως παραγένοιτο στρατιᾷ κατὰ τὸ ξυμμαχικόν, καὶ ἐς τὴν Θράκην ἄλλους παρὰ * Πόλλην * τὸν Ὀδομάντων βασιλέα, ἄξοντα μισθοῦ Θρᾷκας ὡς πλείστους, αὐτὸς ἡσύχαζε περιμένων ἐν τῇ Ἠιόνι. 3. Βρασίδας δὲ, πυνθανόμενος ταῦτα, ἀντεκάθητο καὶ αὐτὸς ἐπὶ τῷ Κερδυλίῳ. ἔστι δὲ τὸ χωρίον τοῦτο Ἀργιλίων, ἐπὶ μετεώρου, πέραν τοῦ ποταμοῦ, οὐ πολὺ ἀπέχον τῆς Ἀμφιπόλεως, καὶ κατεφαίνετο πάντα αὐτόθεν, ὥστε οὐκ ἂν ἔλαθεν αὐτό-

ς'. 4. Πολλῆν] ὄνομα κύριον. (Ἀὺγ.) — 10. Κατεφ. πάντα αὐτόθεν] ἤγουν πάντα, τὰ τοῦ Κλέωνος δηλονότι, ἐφαίνετο τῷ Βρασίδᾳ ἀπὸ τοῦ Κερδυλίου. (λ Ἀὺγ.)

Εἶλε. C. D. I. *οἶοι*, in marg. D. I. *αἱρεῖ*.

Γαληψόν. Ar. Chr. Dan. *Γαψηλόν*, quod male probabat Gatterer. Vid. I. 2. p. 368.

Θασίων. It. *Θασίαν*. Cod. Bas. *Θαλασσίων*.

Λαμβάνει om. Mosqu.

2. Ὡς. C. D. I. *ἐς*.

Παραγένοιτο. C. *παραγένητο*. Mox pro *παρά* Vind. ad marg. *περί*.

Πόλλην. Cass. *Πολλ.* abrasis ceteris. Aug. It. Bekk. Goell. et ad marg. Vind. *Πολλῆν*, quasi contractum sit ex *Πολλέας*. Cf. Goettl. de Accent. p. 89. Cl. Gr. *Πολλήν*. C. *Πολλην καί* (auctore Gail.) Vind. *Πολῦν*, corr. *Πολλῆν*. E. *Πολυν*, accentum tacuit Gail. Mosqu. *Πόλυν* (non, ut Bekk. scribit, *Πολύν*). K. ex corr. *Πόλιν*. Placeat Reiskii coniectura *Πόλλιν*; notus saltem *Πόλλις* Lacedaemonius apud Xen. et alios.

Τὸν Ὀδομάντων. *Τόν* Aug. C. E. Mosqu. K. Ar. Chr. Dan. Goell. cum Vind. ad marg. et Krueg. ad Dion. p. 303. pro vulg. (Haack. Bekk.) *τῶν*. Vind. *τήν*. Pro *Ὀδομάντων* Aug. *Ὀδομόντων*, Pal. *Ἀδομάντων*. At vid. I. 2. p. 391.

Ἄξοντα Aug. (sed hic a corr.) cod. Bas. (Cam., qui „addit, *quod verum iudico;* nec sine ratione." DUK.) D. Mosqu. Steph. Reisk. Abresch. Bekk. Goell. Vulgo (et Haack.) pessime *ἄξαντα*. Si Polles copias iam adduxisset, profecto non essent legati ad eum missi. *Conducere* (*mercede*) autem, ut Valla interpretatur, *ἄγειν* non significat. Formam ipsam aoristi *προσῆξαν* II, 97. satis tueretur. Cf. Lob. ad Phryn. p. 287. Mox Pal. *Θρᾴκας*.

3. Κερδυλίῳ. F. *Κερδαλίῳ*, hic et infra. Mosqu. *Κερδυλλίῳ*, et sic infra cum eo E. Antea Mosqu. *ἀντεκάθιτο*.

Ἀργιλίων. Mosqu. *Ἀργιλλίων*. Dan. Port. *Ἀργυλίων*.

Ἀπέχον. In marg. Pal. *διέχον*. Mosqu. *ἀπέχων*.

Καὶ κατεφαίνετο. *Καί* om. Gr. Ante *καί* et mox ante *ὥστε* puncta in virgulas mutavit Bekk.

Αὐτόθεν om. C. D. I. *Αὐτόν* praebent Cam. Gr.

Digitized by Google

ὧν ὁρμώμενος ὁ Κλέων τῷ στρατῷ· ὅπερ προσεδέχετο ποιήσειν αὐτὸν, ἐπὶ τὴν Ἀμφίπολιν, ὑπεριδόντα σφῶν τὸ πλῆθος, τῇ παρούσῃ στρατιᾷ ἀναβήσεσθαι. 4. ἅμα δὲ καὶ παρεσκευάζετο Θρᾷκάς τε μισθωτοὺς πεντακοσίους καὶ χιλίους, καὶ τοὺς Ἤδωνας πάντας πεφακαλῶν, πελ- 5
ταστὰς καὶ ἱππέας· καὶ Μυρκινίων καὶ Χαλκιδέων χιλίους πελταστὰς εἶχε πρὸς τοῖς ἐν Ἀμφιπόλει. 5. τὸ δ' ὁπλιτικὸν ξύμπαν ἠθροίσθη δισχίλιοι μάλιστα, καὶ ἱππῆς Ἕλληνες τριακόσιοι. τούτων Βρασίδας μὲν ἔχων ἐπὶ Κερδυλίῳ ἐκάθητο ἐς πεντακοσίους καὶ χιλίους· οἱ δ' ἄλλοι 10
ἐν Ἀμφιπόλει μετὰ Κλεαρίδου ἐτετάχατο.

(Κλέων πρὸς τὴν Ἀμφίπολιν προσάγει, καὶ τὴν θέσιν αὐτῆς θεᾶται.)

ζ'. Ὁ δὲ Κλέων τέως μὲν ἡσύχαζεν, ἔπειτα ἠναγκά-

1. Προσεδέχετο] ὁ Βρασίδας. (λ. Ἀνγ.) — 2. Αὐτόν] τὸν Κλέωνα. (λ. Ἀνγ.) — Σφῶν] τῶν Λακεδαιμονίων. (λ. Ἀνγ.) — 3. Τῇ παρούσῃ στρατιᾷ ἀναβήσεσθαι] τὸ ἑξῆς, ἐπὶ τὴν Ἀμφίπολιν ἀναβήσεσθαι τὸν Κλέωνα μετὰ τῶν παρόντων στρατιωτῶν, οὐ περιμείναντα πάντας. — 4. Παρεσκευάζετο] ** ὁ Βρασίδας δηλονότι. — Θρᾷκας] ἀπὸ τῶν ἄνωθεν. (Λουγδ.)

Προσεδέχετο. Syllaba δε s. v. in B.

Αὐτόν. Dan. αὐτόθ'.

Ἐπὶ τὴν Ἀμφίπολιν. „Haec Portus coniungit cum ὁρμώμενος, Scholiastes cum ἀναβήσεσθαι. Utrumque admitti potest. Sed ellipsis copulae scabram facit orationem." DUK. Nihil hic scabri. Iunge ἐπὶ τ. Ἀμφ. cum ἀναβ. et cf. Matth. Gr. §. 476. et Heind. ad Plat. Phaedon. p. 79.

Τὴν περιδόντα. Pal. Vat. Lugd. ὑπεριδόντας, sed in Pal. ᾱ eras., in Lugd. nostrum in marg. Mox D. ἀναβίσεσθαι.

4. Δὲ καί. Καί om. Gr.

Θρᾷκάς τε. Τέ om. Vat. H. C. I.

Ἤδωνας. Cl. Reg. Ar. Chr. Ald. Flor. Bas. Ἠδῶνας. Uti lubet. Vid. I. 2. p. 339. Cass. Ἤδονας. Gr. Ἠδονάς.

Καὶ ἱππέας — πελταστάς ob repetitum πελτ. om. It. Vat. H.

Μυρκινίων. Dan. Μυρικινίων. Statim Mosqu. Χαλκιδαίων.

Χιλίους πελταστάς. E. πελταστὰς χιλίους. Mosqu. χιλίους πεντακοσίους.

Ἐν Ἀμφιπόλει. Ἐν om. Mosqu.

5. Ὁπλιτικόν. Pal. ὁπλητικόν.

Ἱππῆς Pal. Bekk. Goell. Vulgo ἱππῆς. Plerique libri (et Haack.) ἱππεῖς. Cf. I. 1. p. 221. et 475.

Κλεαρίδου. Unus Par. Κλεωρίδου.

Digitized by Google

σθη ποιῆσαι ὅπερ ὁ Βρασίδας προεδέχετο. 2. τῶν γὰρ στρατιωτῶν ἀχθομένων μὲν τῇ ἕδρᾳ, ἀναλογιζομένων δὲ τὴν ἐκείνου ἡγεμονίαν, πρὸς οἵαν ἐμπειρίαν καὶ τόλμαν
822. μετὰ οἵας ἀνεπιστημοσύνης καὶ μαλακίας γενήσοιτο, καὶ
ὁ οἴκοθεν ὡς ἄκοντες αὐτῷ ξυνῆλθον, αἰσθόμενος τὸν θροῦν, καὶ οὐ βουλόμενος αὐτοὺς διὰ τὸ ἐν τῷ αὐτῷ καθημένους βαρύνεσθαι, ἀναλαβὼν ἦγε. 3. καὶ ἐρήσατο τῷ τρόπῳ ᾧπερ καὶ ἐς τὴν Πύλον εὐτυχήσας ἐπίστευσέ τι φρονεῖν· ἐς μάχην μὲν γὰρ οὐδὲ ἤλπισέν οἱ
10 ἐπεξιέναι οὐδένα, κατὰ θέαν δὲ μᾶλλον ἔφη ἀναβαίνειν τοῦ χωρίου, καὶ τὴν μέλλω παρασκευὴν περιέμενεν, οὐχ ὡς τῷ ἀσφαλεῖ, ἣν ἀναγκάζηται, περισχήσων, ἀλλ' ὡς, κύκλῳ περιστὰς, βίᾳ αἱρήσων τὴν πόλιν. 4. ἐλθών τε, καὶ καθίσας ἐπὶ λόφου καρτεροῦ πρὸ τῆς Ἀμφιπόλεως

ζ. 1. *Τῶν γὰρ στρατιωτῶν ἀχθομένων*] τὸ ἑξῆς, τῶν γὰρ στρατιωτῶν ἀχθομένων, αἰσθόμενος τὸν θροῦν, ὁ Κρέων δηλονότι. — 2. *Τῇ ἕδρᾳ*] [*τῇ προεδρίᾳ*, (λ. *Αὐγ.*)] *τῇ διατριβῇ καὶ τῇ ἀργίᾳ.* — 3. *Τόλμαν*] *τὴν τοῦ Βρασίδου.* — 4. *Ἀνεπιστημοσύνης*] *δηλονότι τοῦ Κλέωνος.* — 7. *Καθημένους*] *ἐνήλλαξεν*, [*εἰπὼν καθημένους* (λ. *Αὐγ.*)] *ἀντὶ τοῦ καθημένων.* — *Βαρύνεσθαι*] *ἤτοι ἄχθεσθαι.* — *Ἐρήσατο τῷ τρ.* — —] *τῷ αὐτῷ τρόπῳ ἐπῆλθεν ὁ Κλέων τῇ Ἀμφιπόλει, ᾧ καὶ πρόσθεν ἐπὶ Πύλον. τουτέστιν ἀλογίστως εὐτυχήσας ἐν τῇ Πύλῳ, ᾠήθη φρόνιμος εἶναι.* — 10. ** *Θέαν*] *θεωρίαν.* (*Λουγδ.*) — 11. ** *Τοῦ χωρίου*] *τῆς Ἀμφιπόλεως.* (*Αὐγ.*) — *Οὐχ ὡς τῷ ἀσφαλεῖ, ἣν ἀναγκάζηται* — —] *οὐχ ὡς τῷ πλήθει τῶν ἐναντίων κρατήσων, εἰ ἀναγκάζοιτο πολεμεῖν, (ὃς οὐδὲ τῇ παρούσῃ στρατιᾷ τοὺς πολεμίους ᾤετο ἀντιτάξασθαι,) ἀλλ' ὡς μετὰ τῶν ἐπελευσομένων αὐτῷ συμμάχων πᾶσαν ἐν κύκλῳ περιστήσων τὴν στρατιὰν, καὶ βίᾳ ἐκπολιορκήσων τὴν Ἀμφίπολιν.* — 12. *Περισχήσων*] *ἀντὶ τοῦ ὑπερσχήσων καὶ νικήσων.*

Cap. VII. *Ποιῆσαι* om. It.
Ὁ Βρασίδας. Ὁ om. Dan.
2. *Στρατιωτῶν.* H. *στρατιωτικῶν.*
Ἕδρᾳ. Huc respiciunt Suid. et Phav. Vid. adnot.
Ὡς s. v. E.
3. *Εὐτυχήσας* om. Gr. Mox *τι* om. cod. Bas.
Τοῦ χωρίου. Ar. Chr. Dan. *τὸ χωρίον*, sicut rec. man. etiam Pal.
Περιέμενεν Aug. It. Vat. H. Ge cod. Bas. C. D. I. K. Mosqu. Bekk. Goell. Vulgo (et Haack.) *περιέμεινεν.*
Περισκάς. H. Lugd. *παρασκάς.*
Αἱρήσων. Prima syllaba in Pal. rec. man. et cum spir. leni superscr.
4. *Καρτεροῦ.* F. Gr. I. *κρατεροῦ*, sed Gr. in marg. recte *καρτεροῦ.* Cf. ad IV. 129.
Πρὸ τῆς Ἀμφιπόλεως om. I.

Digitized by Google

τὸν στρατὸν, αὐτὸς ἐθεᾶτο τὸ λιμνῶδες τοῦ Στρυμόνος καὶ τὴν θέσιν τῆς πόλεως ἐπὶ τῇ Θρᾴκῃ, ὡς ἔχοι. 5. ἀπιέναι τε ἐνόμιζεν, ὁπότ' ἂν βούληται, ἀμαχεί· καὶ γὰρ οὐδὲ ἐφαίνετο οὔτ' ἐπὶ τοῦ τείχους οὐδείς, οὔτε κατὰ πύλας ἐξῄει, κεκλημέναι τε ἦσαν πᾶσαι· ὥστε καὶ, μηχανὰς ὅτι οὐ † κατῆλθεν † ἔχων, ἁμαρτεῖν ἐδόκει· ἐλεῖν γὰρ ἂν τὴν πόλιν διὰ τὸ ἔρημον.

(Παρασκευαὶ Βρασίδου.)

ἡ. Ὁ δὲ Βρασίδας εὐθὺς ὡς εἶδε κινουμένους τοὺς Ἀθηναίους, καταβὰς καὶ αὐτὸς ἀπὸ τοῦ Κερδυλίου, ἐξέρχεται ἐς τὴν Ἀμφίπολιν. 2. καὶ ἐπέξοδον μὲν καὶ ἀν-

3. Ὁπόταν βούληται, ἀμαχεί] λείπει τὸ δυνατὸν εἶναι. — 6. ** Ἐδόκει] οἱ αὐτῷ. (Λουγδ.)

ἡ. 8. Κινουμένους] παραγινομένους ἐπὶ τὴν Ἀμφίπολιν.

Τὸν στρατὸν — πόλεως ob eandem terminationem nominis Ἀμφιπόλ. om. Dan.

Αὐτός. Gr. αὐτὸς δέ. D. αὐτόν et mox λυμνῶδες.

Ἐθεᾶτο. Pal. ἐθεάσατο.

Στρυμόνος. D. Ar. Chr. Στρυμβόνος, ut passim.

Τῇ Θρᾴκῃ Cass. Aug. Cl. Pal. It. Vat. Reg. (G.) F. Gr. Haack. Bekk. Goell. Vulgo τὴν Θρᾴκην. „Non solum Thraciam versus, sed etiam in vicinia et confiniis Thraciae sita erat Amphipolis ad Strymonem fluvium, qui tum Thraces a Macedonia [et Chalcidice] disiungebat." Haack. Cf. I. 2. p. 347.

5. Οὔτε κατά. „Οὐδέ exhibent libri aliqui." HUDS. Quinam tandem?

Κεκλημέναι nobiscum Goell. Vulgo (et Haack.) κεκλεισμέναι. Aug. Pal. It. Vat. Bekk. κεκλειμέναι. Cf. I. 1. p. 213. et Buttm. Ind. verb. anom.

Ὥστε καί. Καί om. Mosqu.

Οὐ κατῆλθεν. Gr. K. Ar. Chr. οὐκ ἀπῆλθεν. „Quo nihil proficias. Quum Eione, quae urbs in litore sita erat, Amphipolin et in collem quendam progrederetur Cleo, ἀνῆλθεν potius quam κατῆλθεν dicendum videtur. Cf. [supra §. 3. et] c. 9. ἀναβῆναι πρὸς τὸ χωρίον. [Itaque οὐκ ἀνῆλθεν recepit Goell.] Vulgatam tamen veram puto, relatam ad omnem Cleonis adversus Thraciae urbes expeditionem. Ita c. 2. κατέπλευσεν ἐς τὸν Κολοφωνίων λιμένα." HAACK. „Κατῆλθεν pro ἦλθεν positum putat Ae. Portus. Abr. 496." GOTTL. Mox Brasidas c. 8. dicitur καταβῆναι καὶ αὐτός. Itaque etiam Cleo de suo colle descenderat et ulterius progressus erat. c. 10, 2. Haackii locus nihil probat.

Ἁμαρτεῖν Cass. Aug. Pal. Vat. H. G. F. C. I. Vind. Mosqu. m. Haack. Bekk. Goell. Vulgo ἁμαρτάνειν.

Ἂν s. v. E.

Cap. VIII. Εὐθύς om. Mosqu. Mox D. κεινουμένους exarat.

Καταβὰς καί. Lugd. καὶ καταβὰς καί.

Ἐξέρχεται Cass. Aug. Pal. H. G.

Digitized by Google

τίναξιν οὐκ ἐποήσατο πρὸς τοὺς Ἀθηναίους, δεδιὼς τὴν αὐτοῦ παρασκευήν, καὶ νομίζων * ὑποδεέστερος * εἶναι οὐ τῷ πλήθει, (ἀντίπαλα γάρ πως ἦν,) ἀλλὰ τῷ ἀξιώματι· (τῶν μὲν Ἀθηναίων ὅπερ ἐστράτευε, καθαρὸν ἐξ-
5 ἦλθε, καὶ Λημνίων καὶ Ἰμβρίων τὸ κράτιστον·) τέχνῃ δὲ παρεσκευάζετο ἐπιθησόμενος. 3. εἰ γὰρ δείξειε τοῖς ἐναντίοις τό τε πλῆθος καὶ τὴν ὅπλισιν ἀναγκαίαν οὖσαν τῶν μεθ' ἑαυτοῦ, οὐκ ἂν ἡγεῖτο μᾶλλον ἀτειχιστέσθαι, ἢ ἄνευ προόψεώς τε αὐτῶν καὶ μὴ ἀπὸ τοῦ ὄν-

1. *Δεδιὼς τὴν αὐτοῦ παρασκευήν*] οὐ θαῤῥῶν τῇ ἰδίᾳ παρασκευῇ. — 2. *Ὑποδεεστέρους εἶναι*] τοὺς ἑαυτοῦ δηλονότι. (λ. Αὐγ.) — 3. *Ἀντίπαλα*] ἰσοστάσια ἑκάτερα τὰ στρατεύματα τῶν ἐναντίων. (λ. Αὐγ.) — *Τῷ ἀξιώματι*] τῇ δυνάμει. (λ. Αὐγ.) — 4. *Καθαρὸν ἐξῆλθε*] οὐχὶ * συγκλύδων * οὐδὲ ἐπικούρων, ἀλλ' αὐτῶν τῶν πολιτῶν. — 5. *Τέχνῃ*] δόλῳ. (λ. Αὐγ.) — 7. *Ἀναγκαίαν*] εὐτελῆ καὶ οὐκ ἐκ παρασκευῆς. — 9. *Ἢ ἄνευ προόψεώς τε αὐτῶν* —] [ἦγουν, οὕτως ἐνόμισε περιγενέσθαι Κλέωνος καὶ τῶν περὶ αὐτὸν, ἐπινεθησόμενος κρύφα, ὅπερ ἔστι τὸ ἄνευ προόψεως, καὶ μὴ ἀπὸ τοῦ φανεροῦ, ὅπερ ἔστι τὸ καταφρονήσεως τοῦ ὄντος. §. *Ἢ ἄνευ προόψεώς τε αὐτῶν* (λ. Κασσ. Αὐγ.)] *ἄνευ τοῦ μὴ ἐπιδεῖξαι τοῖς ἐναντίοις τὸ ἴδιον πλῆθος καὶ τὴν ὅπλισιν αὐτῶν· τοῦτο γὰρ ἔστιν ἄνευ προόψεως· καταφρονηθήσεσθαι γὰρ ὑπὸ Ἀθηναίων* [ᾤετο], *εἰ τὴν οὖσαν αὐτοῖς ἐπιδείξειε παρασκευήν.* — ** *Ἄνευ προόψεως*] ἀκαιροδοκήτως. (Λουγδ.) — ** *Τοῦ ὄντος*] τῆς ἀληθείας. (Λουγδ.)

F. cod. Bas. Gr. I. E. K. m. Chr. Haack. Bekk. Goell. Vulgo *εἶχεν*. Cf. I. 1. p. 212.

2. *Αὐτοῦ*. Plerique libri *αὐτοῦ*. Cf. I. 1. p. 394. *Καὶ* ante *ἀντίταξιν* om. ed. Bas.

Παρασκευὴν, καὶ νομίζων. „E. παρασκευην (*ην* sec. man., deinde *τῶν s. ην*) *νομίζων*." GAIL.

Ὑποδεέστερος. Vulgo (Haack. Bekk. Goell.) *ὑποδεεστέρους*, quasi ex *τὴν αὐτοῦ παρασκευήν* supplendum esset *τοὺς αὐτοῦ στρατιώτας*. Nostrum tamen, quod I. 1. p. 94. coniecimus, perspicuitas et consuetudo linguae commendat.

Ἀντίπαλα. Mosqu. Ar. Chr. Dan. *ἀντίπαλον*. At vid. I. 1. p. 94.

Τῶν γάρ. C. D. *τῆς γάρ*, sed in C. sec. man. *τῶν*.

Ἐστράτευε. Reg. Gr. *ἐστράτευσε*. Tum Pal. *Λιμνίων*.

3. *Δείξειε*. Cass. Aug. It. Vat. *δείξοιεν*. Nec aliter G., quamquam ex Reg. *δείξειεν* affertur. Gr. *δείξοιε*. Quod saltem *δείξοι* esse debebat, sicut H. Sed praestat *si ostendisset*.

Τό τε. In H. *τέ s. τό*, deinde *τετέ* eras. Mox I. Mosqu. *ὅπληδίν*, sed in I. *ι s. η*.

Ἑαυτοῦ. It. Vat. H. *ἑαυτῶν*, sed H. cum *ου s. ων*.

Μὴ ἀπὸ τοῦ ὄντος. In m. hic locus valde a glibus corrosus. Omnia tamen videntur sana, quamquam Reisk. *τῆς* pro *μὴ* coniiciebat. Cf. adnot.

Digitized by Google

τος καταφρονήσεως. 4. ἀπολεξάμενος οὖν αὐτὸς πεντήκοντα καὶ ἑκατὸν ὁπλίτας, καὶ τοὺς ἄλλους Κλεαρίδᾳ προστάξας, ἐβουλεύετο ἐπιχειρεῖν αἰφνιδίως, πρὶν ἀπελθεῖν τοὺς Ἀθηναίους, οὐκ ἂν νομίζων αὐτοὺς ὁμοίως ἀπολαβεῖν αὖθις μεμονωμένους, εἰ τύχοι ἐλθοῦσα αὐτοῖς ἡ βοήθεια. 5. ξυγκαλέσας δὲ τοὺς πάντας στρατιώτας, καὶ βουλόμενος παραθαρσῦναί τε, καὶ νὴν ἐπίνοιαν φράσαι, ἔλεγε τοιάδε. 5

(Παρακέλευσις Βρασίδου.)

θ'. „Ἄνδρες Πελοποννήσιοι, ἀπὸ μὲν οἵας χώρας ἥκομεν, ὅτι ἀεὶ διὰ τὸ εὔψυχον ἐλευθέρας, καὶ 323. 10
ὅτι Δωριῆς μέλλετε Ἴωσι μάχεσθαι, ὧν εἰώθατε κρείσ-

1. Ἀπολεξάμενος] ἀποκόψας ἐπιλεκτικῶς. (λ. Ἀὺγ.) — 2. Κλεαρίδᾳ προστάξας] μετὰ Κλεαρίδα τάξας. — 5. Αὖθις μεμονωμένους] τῆς συμμαχίας δηλονότι. (λ. Ἀὺγ.) — Ἀπολαβεῖν αὖθις μεμονωμένους, εἰ τύχοι —] ἄνευ τῶν ἄλλων λαβεῖν συμμάχων, εἰ τύχοι ἐλθοῦσα αὐτοῖς βοήθεια ἡ παρὰ τοῦ Περδίκκου καὶ τοῦ † Πόλλη †.
θ'. 11. Ὧν εἰώθατε κρείσσους εἶναι] ἀντὶ τοῦ οὓς εἰώθατε νικᾶν. (λ. Ἀὺγ.)

4. *Αὐτός* om. Cl. aut Gr.

Καὶ τοὺς — προστάξας. „Thom. Mag. quasi ex l. VIII. citat, et *Κλεαρίδαν* legit inemendate.“ WASS. Utrumque vitium nunc ibi sublatum.

Κλεαρίδᾳ. Pal. *Κλεαρίδα.* C. *Κλεαρίδους.* Mosqu. *Κλεαρίδας.* Dan. *Κλεαρίδι.*

Ἐβουλεύετο. C. D. Vind. K. Ar. Chr. Dan. *ἐβούλετο,* nisi quod in K. *ευ* s. *λ.*

Αἰφνιδίως. D. I. *αἰφνηδίως.*

Ἀπελθεῖν. It. *ἐπελθεῖν,* cum *ᾶ* s. *επ.*

Νομίζων αὐτοὺς ὁμοίως Cass. Aug. Pal. It. Vat. H. Reg. (?) cod. Bas. Gr. Haack. Bekk. Goell. In deterioribus libris G. (?) C. D. E. K. m. Ar. Chr. Dan. *νομίζων ὁμοίως αὐτούς.* Vulgo *ὁμοίως αὐτοὺς νομίζων.*

Ἀπολαβεῖν. It. *ἀποβαλεῖν.*

Αὖθις. It. Pal. D. E. m. Ionice *αὖτις,* D. tamen ex corr. et in E. *αὐθις* superscr. Denique C. *ἄν τις.*

Εἰ. Mosqu. *καὶ εἰ.*

Τύχοι. C. *τύχοιεν.* Gr. *τύχῃ,* sed int. vers. *τύχοι.*

Ἡ βοήθεια. *Ἡ* om. Ar. Cf. Schol.

5. *Καὶ βουλόμενος.* *Καί* om. Lugd.

Cap. IX. *Ἥκομεν.* Valla quanquam secundam personam posuit, tamen non aliter legisse existimandus est. Vid. de Art. crit. p. 74. Caeterum cf. I. 1. p. 276.

Ἀεί. Pal. Bar. Ald. Flor. Bas. Steph. 1. *αἰεί.* Cf. I. 1. p. 211.

Ἐλευθέρας. Vind. *ἐλευθερίας.*

Δωριῆς Pal. Bekk. Goell. Vulgo *Δωριῆς.* Multi libri cum Haack. *Δωρεῖς.* Cf. I. 1. p. 221. et 472.

Digitized by Google

σους εἶναι, ἀρκείτω βραχέως δεδηλωμένον. 2. τὴν δὲ ἐπιχείρησιν ᾗ τρόπῳ διανοοῦμαι ποιεῖσθαι, διδάξω, ἵνα μὴ * τό τε * κατ' ὀλίγον καὶ μὴ ἅπαντας κινδυνεύειν, ἐνθενδὲ φαινόμενον, ἀτολμίαν παράσχῃ. 3. τοὺς γὰρ ἐναντίους εἰκάζω καταφρονήσει τε ἡμῶν, καὶ οὐκ ἂν ἐλπίσαντας ὡς ἂν ἐπεξέλθοι τις αὐτοῖς ἐς μάχην, ἀναβῆναί τε πρὸς τὸ χωρίον, καὶ νῦν ἀτάκτως κατὰ θέαν τετραμμένους ὀλιγωρεῖν. 4. ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας τῶν ἐναντίων κάλλιστα ἰδὼν, καὶ ἅμα πρὸς τὴν ἑαυ-

1. *Τὴν δὲ ἐπιχείρησιν*] *τὴν ἐπίθεσιν τὴν κατὰ τῶν πολεμίων.* (*λ. Αὐγ.*) — 2. *Ἵνα μὴ — —*] *ἵνα μηδεὶς ὑμῶν, διὰ τὸ κατ' ὀλίγους ὑμᾶς μέλλειν ἐξιέναι τῆς πόλεως, καὶ μὴ ἅπαντας ἀθρόους κινδυνεύειν πρὸς Ἀθηναίους, οὐκ ἀξιόμαχαν νομίσας τὴν παρασκευήν, ἀτολμότερος γένηται.* — 4. ** *Ἀτολμίαν*] *δειλίαν.* (*Κασσ.*) — *Παράσχῃ*] *ὑμῖν δηλονότι.* (*λ. Κασσ. Αὐγ.*) — *Τοὺς γὰρ ἐναντίους εἰκάζω — —*] *εἰκάζω δὲ τοὺς ἐναντίους, καταφρονοῦντας ἡμῶν, καὶ οὐ προσδοκῶντας ἅτι ἐπεξελευσόμεθα αὐτοῖς, ἀναβῆναι πρὸς τὴν Ἀμφίπολιν κατὰ θέαν, καὶ νῦν διὰ τὴν θέαν ἀτάκτως ἐσπεδασμένους ὀλιγωρεῖν, τουτέστι ῥᾳθυμεῖν.* — 8. *Ὅστις δὲ τὰς τοιαύτας ἁμαρτίας — —*] *ὅστις δὲ τὰ τῶν πολεμίων ἁμαρτήματα*

Ἀρκείτω. Cass. Aug. Cl. It. Vat. H. Reg. Mosqu. et in marg. cum γρ. m. *ἀρκεῖ τό.* „Mendose. In marg. Cl. cum vulg.“ WASS. Et tamen *ἀρκεῖ τό* potuit commendare Bened., atque Haack. vulgatam tantum maiorem vim habere dicit, quum sola ferri possit. Recte igitur in Aug. man. 2. ᾱ super ō et acutus super εῖ positus. Pal. Lugd. *ἀρκεῖτο*, Lugd. cum ᾱ s. ō.

Δεδηλωμένον. Cl. in marg. *δεδηλωμένων.*

2. *Ὧι* Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) cod. Bas. Gr. C. D. I. E. Vind. Mosqu. K. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. In Cl. *τῷ.* Vulgo *ὅτῳ*, non deterius. Post *διδάξω* ante Bekk. aut colon aut adeo punctum.

Τό τε. Aug. Pal. It. Vat. *τῷ τε.* Gr. *τώ τε.* Alterutrum etiam Cass. H. et in marg. E. In Cass. Aug. Pal. tamen man. sec. emendatum *τό τε* aut *τέ τε*. *Τό* om. D. I. Vind., sed I in marg. habet. *Τέ s. v. dat* K., om. Ar. Chr. Non displiceat fortasse alicui *τῳ τό*. *Τέ* quod per transpositionem excusandum, sed vel sic parum aptum est, uncis notaruntBekk. et Goell., in *γέ* mutari volebat Reisk.

Φαινόμενον. D. *ὑμῖν φαινόμενον.*

3. *Ἐπεξέλθοι.* D. *ὑπεξέλθοι.* F. *ὑπεξέλθῃ.* Lugd. *ἐπεξέλθοι*. Mosqu. *ἐξέλθοι.* Pro *ὡς* Pal. in marg. *πῶς.*

Τὶς αὐτοῖς. D. *τι αὐταῖς.*

Ἀτάκτως. Chr. *ἀτάκτους.*

4. *Δέ.* Gr. *δὲ καί.*

Κάλλιστα. D. I. Ar. *μάλιστα.*

Καὶ ἅμα. Καί aut abesse aut post *ἅμα* legi velis. Bauer et Haack. post *δύναμιν* virgulam posuerunt, quasi verba *καὶ — δύναμ.* ad *ἰδὼν* pertinerent, quod

τοῦ δύναμιν τὴν ἐπιχείρησιν παιεῖται, μὴ ἀπὸ τοῦ προφανοῦς μᾶλλον καὶ ἀντικαραταχθέντος, ἢ ἐκ τοῦ πρὸς τὸ παρὸν ξυμφέροντος, πλεῖστ' ἂν ὀρθοῖτο. 5. καὶ τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει, ἃ τὸν πολέμιον μάλιστ' ἂν τις ἀπατήσας, τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν. 6. ἕως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι, καὶ τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος, ἐξ ὧν ἐμοὶ φαίνονται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς γνώμης, καὶ πρὶν ξυνταχθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ μὲν, ἔχων τοὺς μετ' ἐμαυτοῦ, καὶ φθάσας, ἢν δύνωμαι, προσπεσοῦμαι θρόμῳ κατὰ μέσον τὸ στράτευμα. 7, σὺ δὲ, Κλεαρίδα, ὕστερον, ὅτ' ἂν ἐμὲ ὁρᾷς ἤδη προσκείμενον, καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτοὺς, τοὺς μετὰ σεαυτοῦ, τούς τ' Ἀμφιπολίτας καὶ τοὺς ἄλλους ξυμμά-

ἰδὼν, καὶ κατὰ τὴν ἰδίαν δύναμιν ἐπιχειρῶν, μὴ ἐκ τοῦ φανεροῦ ἀντιτάττηται, ἀλλὰ πρὸς τὸ παρὸν ἁρμοττόμενος, ὀρθῶς ἂν πράττοι. — 3. ** Τὰ κλέμματα] τὰ στρατηγήματα. (Κασσ. Αὐγ.) — 4. Ἔχει] παρέχει. (λ. Αὐγ.) — Λ] ἀντὶ τοῦ δι' ὧν. — 6. Ἕως οὖν ἔτι ἀπαράσκευοι — —] ἕως ἔτι διὰ τὸ θαῤῥεῖν ἀπαράσκευοί εἰσιν, ἀπέναι τε διανοοῦνται μᾶλλον ἢ μένειν, ὀρθόμως αὐτοῖς διακειμένοις, καὶ πρὸ τοῦ συνταχθῆναι, ἐγὼ μὲν ἔχων — —.

sententia vix permittit. Imo vid. Herm. ad Vig. p. 888.

Ἑαυτοῦ. Pal. B. E. K. m. Ar. Chr. Dan. αὐτοῦ, sed m. ad marg. γρ. ἑαυτ., et ita Pal. a man. 2.

Τὴν ἐπιχείρησιν. Τήν om. Gr. In Pal. ad marg. rec. man. legunt μὴ μᾶλλον ἀπὸ τοῦ προφ. ποιῆται τὴν ἐπιχείρ.

Ἀπό. H. rursus ἐκ, sed ἀπό superscr. Cf. c. 3. Caeterum utrumque ita ponit Thucyd. Vid. Ind. in προφανής.

Ἐκ τοῦ om. D.

Ὀρθοῖτο. D. ὀρθεῖτο, sed οι s. ει.

5. Παλέμιον. Pal. It. Vat. πάλεμον, sed in Pal. rec. man. corr.

Ἀπατήσας. In Pal. rec. man. superscr. τύχῃ.

Μέγιστ' ἄν. Gr. Ar. Chr. Dan. μάλιστ' ἄν.

6. Μένοντος. D. μένειν, ex interpr. Cf. I. 1. p. 148. et p. 100.

Ἐγὼ μὲν ἔχων om. D. Pro ἔχων Vind. dat. ἔχω. Pro ξυνταχθῆναι Reiskio ξυνταθῆναι placebat.

Ἐμαυτοῦ. Prius υ in G. s. v. Αὐτοῦ D. Mox Mosqu. ἦν pro ἤν.

7, Κλεαρίδα. Dan. Κλεαρίδαν.

Ἐμὲ ὁρᾷς. C. D. I. E. K. m. Ar. Chr. Dan. ὁρᾷς ἐμέ. Male, quum pondus hic insit in ἐμέ.

Προσκείμενον — αὐτούς. „Thom. Mag. et Phav. in πρόσκειμαι.“ GOELL.

Τούς τ'. Cam. τούτους. Mox virgula ante ἄγων vulgo deerat, quasi οἱ μετὰ Κλεαρίδου essent Lacedaemonii et τέ significaret

Digitized by Google

χους, ἄγων, αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκθεῖν, καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμίξαι· (8. ἐλπὶς γὰρ μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι· τὸ γὰρ ἐπιὸν ὕστερον δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ μαχομένου·) 9. καὶ αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, ὥσπερ σε εἰκὸς, ὄντα Σπαρτιάτην, καὶ ὑμεῖς, ὦ ἄνδρες ξύμμαχοι, ἀκολουθήσατε ἀνδρείως, καὶ νομίσατε εἶναι τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν, καὶ [τὸ] αἰσχύνεσθαι, καὶ τοῖς ἄρχουσι πεί-

1. Ἐπεκθεῖν] θέλησον δηλονότι. (λ. Αὐγ.) — 2. Ἐλπὶς γὰρ] ἡμῖν δηλονότι. (λ. Αὐγ.) — 3. Οὕτω] δηλονότι ποιούντων ἡμῶν. (λ. Αὐγ.) — Τὸ γὰρ ἐπιὸν ὕστερον —] οἱ γὰρ ὕστερον ἐπιόντες φοβερώτατοι [φαίνονται. (λ. Κασσ. Αὐγ.)] — 7. Εἶναι τοῦ καλῶς πολεμεῖν —] [ὅτι] ἐκ τριῶν γίνεται τὸ καλῶς πολεμεῖν. — 8. Αἰσχύνεσθαι] Ὅμηρος· Αἰδομένων ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται.

atque. Res decernenda ex c. 6, 4. 5.

Αἰφνιδίως, D. I. *ἀφνηδίως* sive potius *αἰφνηδίως*, ut c. 8.

Ἐπεκθεῖν. Reg. D. E. *ἐπιθεῖν*. Caeterum cf. I. 1. p. 146.

Ἐπείγεσθαι. Mosqu. *ἐπεὶ γενέσθαι*.

8. *Ἐλπὶς — μαχομένου*. Parenthesis notas plenis distinctionibus positis sustulerunt Haack. Bekk. Goell. Sed verborum *καὶ αὐτός τε* copulatio vulgatam interpunctionem commendat.

Μάλιστα in Pal. rec. man. in marg. script.

Οὕτω. Cass. Aug. Lugd. E. Mosqu. *οὕτως*. Cf. I. 1. p. 216. et 418.

Φοβηθῆναι. Ar. Chr. Dan. *θορυβηθῆναι*. K. *φορυβηθῆναι*. „Aelian. I. Var. Hist. 32. *θορυβηθῆναι δέει τοῦ νόμου καὶ αἰδοῖ τοῦ νόμου*. [Cf. Aeschin. *Παραπρ.* 2.] Noster etiam alibi [III, 22.] *ἐθορυβοῦντο*. Xenophon [Cyr. V, 3, 55.] *θορυβουμένοις* opponit *τοῖς εὐτάκτως ἰοῦσι*. Sed codd. meliores *αἰδέρμαι*." WASS. „Mox quidem c. 10. de eruptione Clearidae agens dicit *θορυβηθῆναι*; sed non necessarium est id hic quoque recipi, et *φοβηθῆναι* legit etiam Thom. Mag. in *βούλομαι* [verba *ἐλπὶς — φοβηθ.* afferens]." DUK.

Τὸ γὰρ — μαχομένου. „Stob. p. 364." WASS. „Aeneas in Poliorc. c. XXXVIII. *Τὸ γὰρ ἐπιὸν μᾶλλον οἱ πολέμιοι φοβαῦνται τοῦ ὑπάρχοντος καὶ παρόντος ἤδη*. Sumsit a Thuc. Vid. ibi Casaub." DUK.

9. *Αὐτός τε*. Τε om. E., sicut mox *σέ* post *εἰκός*.

Ἀνδρείως. Mosqu. *ἀνδρίως*. Lugd. *μενδρείως*.

Καὶ νομίσατε — πείθεσθαι. „Stob. p. 364." WASS. Post *πειθ.* apud Duk. punctum.

Εἶναι. „Stob. *τρία εἶναι*. Bene. Vid. [adnot. ad] I, 122. in fin." WASS. Cf. Schol.

Τὸ αἰσχύνεσθαι. Apud Stob. cod. A. om. *τό*, quod concinnitatem laedit, nisi repetitur ante tertium infinit. Et *καὶ τό* pergunt apud Stob. cod. A. B. cum Thucydidis cod. D., sed postremus *τοῖς* om. „Deleverim articulum ante *αἰσχ.*" BEKK. post Reisk.

Digitized by Google

τοῦ δύναμιν τὴν ἐπιχείρησιν ποιεῖται, μὴ ἀπὸ τοῦ προφανοῦς μᾶλλον καὶ ἀντιπαρατεχθέντος, ἢ ἐκ τοῦ πρὸς τὸ παρὸν ξυμφέροντος, πλεῖστ' ἂν ὀρθοῖτο. 5. καὶ τὰ κλέμματα ταῦτα καλλίστην δόξαν ἔχει, ἃ τὸν πολέμιον μάλιστ' ἄν τις ἀπατήσας, τοὺς φίλους μέγιστ' ἂν ὠφελήσειεν. 6. ἕως οὖν ἔτι ἀπαράσκευοι θαρσοῦσι, καὶ τοῦ ὑπαπιέναι πλέον ἢ τοῦ μένοντος, ἐξ ὧν ἐμοὶ φαίνονται, τὴν διάνοιαν ἔχουσιν, ἐν τῷ ἀνειμένῳ αὐτῶν τῆς γνώμης, καὶ πρὶν ξυνταχθῆναι μᾶλλον τὴν δόξαν, ἐγὼ μὲν, ἔχων τοὺς μετ' ἐμαυτοῦ, καὶ φθάσας, ἢν δύνωμαι, προσπεσοῦμαι ὁρόμῳ κατὰ μέσον τὸ στράτευμα. 7. σὺ δὲ, Κλεαρίδα, ὕστερον, ὅτ' ἂν ἐμὲ ὁρᾷς ἤδη προσκείμενον, καὶ κατὰ τὸ εἰκὸς φοβοῦντα αὐτοὺς, τοὺς μετὰ σεαυτοῦ, τούς τ' Ἀμφιπολίτας καὶ τοὺς ἄλλους ξυμμά-

ἰδὼν, καὶ κατὰ τὴν ἰδίαν δύναμιν ἐπιχειρῶν, μὴ ἐκ τοῦ φανεροῦ ἀντιτάττηται, ἀλλὰ πρὸς τὸ παρὸν ἁρμοττόμενος, ὀρθῶς ἂν πράττοι. — 3. ** Τὰ κλέμματα] τὰ στρατηγήματα. (Κασσ. Αὐγ.) — 4. Ἔχει] παρέχει. (λ. Αὐγ.) — Ἀ] ἀντὶ τοῦ δι' ὧν. — 6. Ἕως οὖν ἔτι ἀπαράσκευοι — —] ἕως ἔτι διὰ τὸ θαῤῥεῖν ἀπαράσκευοί εἰσιν, ἀπιέναι τε διανοοῦνται μᾶλλον ἢ μένειν, ῥᾳθύμως αὐτοῖς διακειμένοις, καὶ πρὸ τοῦ συνταχθῆναι, ἐγὼ μὲν ἔχων — —.

sententia vix permittit. Imo vid. Herm. ad Vig. p. 888.

Ἑαυτοῦ. Pal. B. E. K. m. Ar. Chr. Dan. αὐτοῦ, sed m. ad marg. γρ. ἑαυτ., et ita Pal. a man. 2.

Τὴν ἐπιχείρησιν. Τήν om. Gr. In Pal. ad marg. rec. man. leguntur μὴ μᾶλλον ἀπὸ τοῦ προφ. ποιῆται τὴν ἐπιχείρ.

Ἀπό. H. rursus ἐκ, sed ἀπό superscr. Cf. c. 3. Caeterum utrumque ita ponit Thucyd. Vid. Ind. in προφανής.

Ἐκ τοῦ om. D.

Ὀρθοῖτο. D. ὀρθεῖτο, sed οι s. ει.

5. Παλέμιον. Pal. It. Vat. πάλεμον, sed in Pal. rec. man. corr.

Ἀπατήσας. In Pal. rec. man. superscr. τύχῃ.

Μέγιστ' ἄν. Gr. Ar. Chr. Dan. μάλιστ' ἄν.

6. Μένοντος. D. μένειν, ex interpr. Cf. I, 1. p. 148. et p. 100.

Ἐγὼ μὲν ἔχων om. D. Pro ἔχων Vind. dat. ἔχω. Pro ξυνταχθῆναι Reiskio ξυνταθῆναι placebat.

Ἐμαυτοῦ. Prius υ in G. s. v. Αὐτοῦ D. Mox Mosqu. ἦν pro ἤν.

7. Κλεαρίδα. Dan. Κλεαρίδαν.

Ἐμὲ ὁρᾷς. C. D. I. E. K. m. Ar. Chr. Dan. ὁρᾷς ἐμέ. Male, quum pondus hic insit in ἐμέ.

Προσκείμενον — αὐτούς. „Thom. Mag. et Phav. in προσκείμαι.“ GOELL.

Τούς τ'. Cam. τούσδε. Mox virgula ante ἄγων vulgo deerat, quasi οἱ μετὰ Κλεαρίδου essent Lacedaemonii et τέ significaret

χους, ἄγων, αἰφνιδίως τὰς πύλας ἀνοίξας ἐπεκθεῖν, καὶ ἐπείγεσθαι ὡς τάχιστα ξυμμίξαι· (8. ἐλπὶς γὰρ μάλιστα αὐτοὺς οὕτω φοβηθῆναι· τὸ γὰρ ἐπιὸν ὕστερον δεινότερον τοῖς πολεμίοις τοῦ παρόντος καὶ μαχομένου·) 9. καὶ
6 αὐτός τε ἀνὴρ ἀγαθὸς γίγνου, ὥςπερ σε εἰκὸς, ὄντα Σπαρτιάτην, καὶ ὑμεῖς, ὦ ἄνδρες ξύμμαχοι, ἀκολουθήσατε ἀνδρείως, καὶ νομίσατε εἶναι τοῦ καλῶς πολεμεῖν τὸ ἐθέλειν, καὶ [τὸ] αἰσχύνεσθαι, καὶ τοῖς ἄρχουσι πεί-

1. Ἐπεκθεῖν] θέλησον δηλονότι. (λ. Ἀνγ.) — 2. Ἐλπὶς γὰρ] ἡμῖν δηλονότι. (λ. Ἀνγ.) — 3. Οὕτω] δηλονότι ποιούντων ἡμῶν. (λ. Ἀνγ.) — Τὸ γὰρ ἐπιὸν ὕστερον —] οἱ γὰρ ὕστερον ἐπιόντες φοβερώτατοι [φαίνονται. (λ. Κασσ. Ἀνγ.)] — 7. Εἶναι τοῦ καλῶς πολεμεῖν —] [ὅτι] ἐκ τριῶν γίνεται τὸ καλῶς πολεμεῖν. — 8. Αἰσχύνεσθαι] Ὅμηρος· Αἰδομένων ἀνδρῶν πλέονες αὖοι ἢὲ πέφανται.

atque. Res decernenda ex c. 6, 4. 5.

Αἰφνιδίως. D. I. *ἀφνηδίως* sive potius *αἰφνηδίως*, ut c. 8.

Ἐπεκθεῖν. Reg. D. E. *ἐπελθεῖν*. Caeterum cf. I. 1. p. 146.

Ἐπείγεσθαι. Mosqu. *ἐπεὶ γενέσθαι*.

8. *Ἐλπὶς — μαχομένου*. Parenthesis notas plenis distinctionibus positis sustulerunt Haack, Bekk. Goell. Sed verborum *καὶ αὐτός τε* copulatio vulgatam interpunctionem commendat.

Μάλιστα in Pal. rec. man. in marg. script.

Οὕτω. Cass. Aug. Lugd. E. Mosqu. *οὔτως*. Cf. I. 1. p. 216. et 418.

Φοβηθῆναι. Ar. Chr. Dan. *θορυβηθῆναι*. K. *φορυβηθῆναι*. „Aelian. I. Var. Hist. 32. *θορυβηθῆναι δέει τοῦ νόμου καὶ αἰδοῖ τοῦ νόμου*. [Cf. Aeschin. *Παραπρ.* 2.] Noster etiam alibi [III, 22.] *ἐθορυβοῦντο*. Xenophon [Cyr. V, 3, 55.] *θορυβουμένους* opponit *τοῖς εὐτάκτως ἰοῦσι*. Sed codd. meliores *αἰδέομαι*.“ WASS. „Mox quidem c. 10. de eruptione Clearidae agens dicit *θορυβηθῆναι*; sed non necessarium est id hic quoque recipi, et *φοβηθῆναι* legit etiam Thom. Mag. in *βούλομαι* [verba *ἐλπὶς — φοβηθ.* afferens].“ DUK.

Τὸ γὰρ — μαχομένου. „Stob. p. 364.“ WASS. „Aeneas in Poliorc. c. XXXVIII. *Τὸ γὰρ ἐπιὸν μᾶλλον οἱ πολέμιοι φοβαῦνται τοῦ ὑπάρχοντος καὶ παρόντος ἤδη*. Sumsit a Thuc. Vid. ibi Casaub.“ DUK.

9. *Αὐτός τε*. Τε om. E., sicut mox *σε* post *εἰκὸς*.

Ἀνδρείως. Mosqu. *ἀνδρίως*. Lugd. *μενδρείως*.

Καὶ νομίσατε — πείθεσθαι. „Stob. p. 364.“ WASS. Post *πειθ.* apud Duk. punctum.

Εἶναι. „Stob. *τρία εἶναι*. Bene. Vid. [adnot. ad] I, 122. in fin.“ WASS. Cf. Schol.

Τὸ αἰσχύνεσθαι. Apud Stob. cod. A. om. *τό*, quod concinnitatem laedit, nisi repetitur ante tertium infinit. Et *καὶ τό* pergunt apud Stob. cod. A. B. cum Thucydidis cod. D., sed postremus *τοῖς* om. „Deleverim articulum ante *αἰσχ.*“ BEKK. post Reisk.

Digitized by Google

θεσθαι· καὶ τῇδε ὑμῖν τῇ ἡμέρᾳ ἢ ἀγαθοῖς γενομένοις ἐλευθερίαν τε ὑπάρχειν, καὶ Λακεδαιμονίων ξυμμάχοις κεκλῆσθαι, ἢ Ἀθηναίων τε δούλοις, ἣν τὰ ἄριστα ἄνευ ἀνδραποδισμοῦ ἢ θανατώσεως πράξητε, καὶ δουλείαν χαλεπώτεραν ἢ πρὶν εἴχετε· τοῖς δὲ λοιποῖς Ἕλλησι κωλυταῖς γενέσθαι ἐλευθερώσεως. 10. ἀλλὰ μήτε ὑμεῖς μα- 324.
λακισθῆτε, ὁρῶντες περὶ ὅσων ὁ ἀγών ἐστιν, ἐγώ τε δείξω οὐ παραινέσαι οἷός τε ὢν μᾶλλον τοῖς πέλας, ἢ καὶ αὐτὸς ἔργῳ ἐπεξελθεῖν."

(Κλέωνος ἤδη ἀναχωροῦντος, Βρασίδας τε καὶ Κλεαρίδας ἐπεξέρχεται. οἱ Ἀθηναῖοι ἡσσῶνται, καὶ Κλέων ἀποθνήσκει. τελευτᾷ δὲ καὶ Βρασίδας.)

ι'. Ὁ μὲν Βρασίδας, τοσαῦτα εἰπών, τήν τε ἔξοδον παρεσκευάζετο αὐτὸς, καὶ τοὺς ἄλλους μετὰ τοῦ Κλεαρίδα καθίστη ἐπὶ τὰς Θρᾳκίας καλουμένας τῶν πυλῶν, ὅπως, ὥσπερ εἴρητο, ἐπεξίοιεν. 2. τῷ δὲ Κλέωνι, φανεροῦ γενομένου αὐτοῦ ἀπὸ τοῦ Κερδυλίου καταβάν-

3. Δούλοις —] ἂν γὰρ νικηθῆτε, καὶ μὴ θανάτῳ ζημιωθῆτε ὑπ' αὐτῶν, ἀλλὰ εὐτυχήσητε καὶ ἄριστά πράξητε, δοῦλοι ἔσεσθε Ἀθηναίων, καὶ δουλείαν χαλεπωτέραν ἢ πρὶν εἴχετε. — 7. Περὶ ὅσων] ἐπάθλων. (λ. Αὐγ.)

ι'. 13, Τῷ δὲ Κλέωνι] τὸ ἐξῆς, τῷ δὲ ἀγγέλλεται, φανεροῦ γενομένου τοῦ Βρασίδου, καὶ ταῦτα πράσσοντος.

Τμῖν. Mosqu. Ar. ἡμῖν.
Ἢ ἀγαθοῖς. Ἢ om. D. E.
Γενομένοις. Ar. γινομένοις.
Ξυμμάχοις. K. ξυμμάχους.
Ἀθηναίων τε. Τέ om. F. Mosqu. In D. verba ἢ Ἀθην. τε δούλ. hic exciderant, sed leguntur post πράξητε. Τά ante ἄρ. num om. Schol.?
Πράξητε. Gr. πράξησθε.
Χαλεπωτέραν. In Pal. superscr. χαλεπεστέραν.
Εἴχετε. Vat. ἔχετε.
10. Ὅσων. Mosqu. ὅσον.
Ὁ ἀγών. Ὁ om. B. C. D. I., ex quibus C. D. I. simul ἀγαθῶν pro ἀγών, quod tamen D. in marg. ead. man. habet, suppeditant.
Ἐγώ τε. Gr. ἐγὼ δέ. Mox Vind. παραινέσαις.
Μᾶλλον om. Chr.
Cap. X. Παρεσκευάζετο. Mosqu. παρασκευάζετο.
Κλεαρίδα. Mosqu. Chr. Κλεαρίδου. Cf. I. 1, p. 231.
Καθίστη. Pal. καθίστει.
Τὰς Θρᾳκίας. Mosqu. τῆς Θρᾳκ.
Ὥσπερ. Gr. ὅπερ. Mox C. ἐπεξίειεν.
Εἴρητο. Cod. Bas. εἴρηται.
2. Ἀπὸ τοῦ. C. D. I. ἀπό τε.

Digitized by Google

τός, καὶ ἐν τῇ πόλει, ἐπιφανεῖ οὔσῃ ἔξωθεν, περὶ τὸ ἱερὸν τῆς Ἀθηνᾶς θυομένου, καὶ ταῦτα πράσσοντος, ἀγγέλλεται (προὐκεχωρήκει γὰρ τότε κατὰ τὴν θέαν) ὅτι ἥ τε στρατιὰ ἅπασα φανερὰ τῶν πολεμίων ἐν τῇ πόλει, καὶ ὑπὸ τὰς πύλας ἵππων τε πόδες πολλοὶ καὶ ἀνθρώπων ὡς ἐξιόντων ὑποφαίνονται. 3. ὁ δὲ, ἀκούσας, ἐπῆλθε· καὶ ὡς εἶδεν, οὐ βουλόμενος μάχῃ διαγωνίσασθαι πρὶν οἱ καὶ τοὺς βοηθοὺς ἥκειν, καὶ οἰόμενος φθήσεσθαι ἀπελθὼν, σημαίνειν τε ἅμα ἐκέλευεν ἀναχώρησιν, καὶ * παρήγγειλε * τοῖς ἀπιοῦσιν ἐπὶ τὸ εὐάνυμον κέρας, ὥσπερ μόνον οἷόν τ' ἦν, ὑπάγειν ἐπὶ τῆς

3. Κατὰ τὴν θέαν] διὰ τὴν θέαν. (λ. Αὐγ.) — 7. Ἐπῆλθεν] ὁ Κλέων δηλονότι. (λ. Αὐγ.) — 8. Τοὺς βοηθοὺς] τοὺς ἀπὸ τοῦ Περδίκκου. (λ. Αὐγ.) — 9. ** Ἀναχώρησιν] ἀντὶ τοῦ ἀπιέναι. (Λουγδ.) — 11. **Ὥσπερ μόνον οἷόν τ' ἦν] καθάπερ μόνον ἐξῆν δὴ ἐπὶ τὸ εὐάνυμον. (Λουγδ.)

Ἐπιφανεῖ οὔσῃ. C. ἐπιφανῇ οὔσα. „Interpunctionem correxi deleto post οὔσῃ commate, posito post ἔξωθεν. Non enim extra urbem tum versabatur Brasidas, et ἐπιφανεῖ οὔσῃ ἔξωθεν dictum est ut supra c. 6. καὶ κατεφαίνετο πάντα αὐτόθεν.“ HAACK.

Περὶ — θυομένου. „Habet Thom. Mag. p. 457.“ GOELL.

Προὐκεχωρήκει. Mosqu. προκεχωρήκει. Antea C. ἀγγέλεται.

Ὅτι om. E. K. m.

Ἥ τε. Dan. ἤρτηται.

Φανερὰ de. Chr.

Ὡς ἐξιόντων in marg. ponit I. Ἐς pro ὡς dat Mosqu.

Ὑποφαίνονται. Reg. Mosqu. ἀποφαίνονται.

3. Ἐπῆλθε. Gr. Mosqu. ἀπῆλθε.

Οὐ βουλόμενος. Vind. om. οὐ.

Πρὶν οἱ. D. πρὶν ἤ, quibus solum πρίν praetulisset Thuc.

Φθήσεσθαι Cass. Aug. (sed in hoc ō ab init. eras.) Reg. (G.) Vind. m. Ar. Chr. Tus. Heilm. Haack. Bekk. Goell. Vulgo ὀφθήσεσθαι, cum commate post hoc verbum. „Portus ita exponit [vulgatam]: *quamvis putaret se visum iri reducentem copias suas*, quod periculosum est; dat enim animos hosti, suis terrorem affert. Multo melior sententia est in altera lectione οἰόμενος φθήσεσθαι, quam Vallam quoque in suo cod. invenisse ex illius versione [quamvis perplexa] intelligi potest.“ DUK. „Cf. Valcken. ad Thom. Mag. pone Ruhnkenii et aliorum epistolas ad Ernest. p. 181.“ GOELL. Consentit Eichstaedt ad Mitford. Hist. Gr. III. p. 403.

Παρήγγειλε Cass. Aug. It. Vat. Mosqu. Bekk. Goell. Vulgo (et Haack.) παρήγγελλε, quod antecedens ἐκέλευε commendat. C. παρῄγγελε.

Ἀπιοῦσιν. Hinc ad Ἡιόνος lacuna in D.

Μόνον. E. μόνην. „Paulo post distinctio videtur ponenda post οἷόν τ' ἦν.“ DUK. Posuerunt

Digitized by Google

Ἡιόνος. 4. ὡς δ' αὐτῷ ἐδόκει * σχολὴ * γίγνεσθαι, αὐτὸς ἐπισπρέψας τὸ δεξιὸν, καὶ τὰ γυμνὰ πρὸς τοὺς πολεμίους δοὺς, ἀπῆγε τὴν στρατιάν. 5. κἂν τούτῳ Βρασίδας ὡς ὁρᾷ τὸν καιρὸν, καὶ τὸ στράτευμα τῶν Ἀθηναίων κινούμενον, λέγει τοῖς μεθ' ἑαυτοῦ καὶ τοῖς ἄλλοις ὅτι „οἱ ἄνδρες ἡμᾶς οὐ μένουσι· δῆλοι δὲ τῶν τε δοράτων τῇ κινήσει καὶ τῶν κεφαλῶν· οἷς γὰρ ἂν τοῦτο γίγνηται, οὐκ εἰώθασι μένειν τοὺς ἐπιόντας. ἀλλὰ τάς τε πύλας τις ἀνοιγέτω ἐμοὶ ἃς εἴρηται, καὶ ἐπεξίωμεν ὡς τάχιστα θαρσοῦντες." 6. καὶ ὁ μὲν, κατὰ τὰς ἐπὶ τὸ στανρωμα πύλας καὶ τὰς πρώτας τοῦ μακροῦ τείχους τότε ὄντος ἐξελθὼν, ἔθει δρόμῳ τὴν ὁδὸν ταύτην εὐθεῖαν, ἥπερ νῦν κατὰ τὸ καρτερώτατον τοῦ χωρίου

1. *Σχολὴ γίγνεσθαι*] χρόνος ἐγγίγνεσθαι. — 3. *Τοῦτο*] ὅπερ πάσχουσιν αὐτοί. (λ. *Ἀὐγ.*) — 7. *Οἷς γὰρ — οὐκ εἰώθασι μένειν*] οἱ κινοῦντες τὰς κεφαλὰς καὶ τὰ δόρατα, καὶ μὴ ἡσύχως ἀπιόντες καὶ τὸ ὅλον ἀτρόμως, οὐκ εἰώθασιν ὑπομένειν τοὺς πολεμίους. — 10. *Ὁ μὲν*] ὁ Βρασίδας. (λ. *Ἀὐγ.*) — 11. ** *Σταύρωμα*] χάρακα. (*Λουγδ.*) — 13. *Εὐθεῖαν*] ἦγουν εὐθέως. (λ. *Ἀὐγ.*) — * * *Καρτερώτατον*] ὑψηλὸν δή. (*Λουγδ.*)

recentiores, et Haack. atque Goell. perspicuitatis causa insuper post ἀκιοῦσιν interpunxerunt, Cf. adnot.

Ἡϊόνος Pal. Haack. Goell. Vulgo Ἠόνος. Aug. Mosqu. m. Bekk. Ἠιόνος. Aut hoc aut Ἠϊόνος H. E. In Reg. (G.) Ἤονος cum ῑ s. v. F. Ἰηόνος. Cf. ad I, 98. et IV, 7.

4. Ὡς. Litera ς in C. s. v.

Αὐτῷ. Cl. ex emend. αὐτό. E. αὖτοῦ.

Σχολή. Ar. σχολῇ, fortasse recte. Lugd. ἡ σχολή.

Αὐτός de Ar.

Δούς om. D. I.

5. Κἂν. Vat. καί.

Ὡς om. C. I.

Ἑαυτοῦ. G. αυτοῦ.

Δῆλοι. Gr. Ald. Flor. Bas. atque ex emend. Ar. δηλοῖ.

Δέ om. Gr.

Τῇ κινήσει. Τῇ om. C. D. I.

Ἐπιόντας. Lugd. στρατιώτας, sed nostrum subscr.

Τὶς ἀνοιγέτω. Mosqu. ἀνοιγέτω τις. „Moeridis tempore hic scriptum fuisse ἀνοιγνύτω Pierson. ad Moer. p. 31. observat." At non idonea de causa hoc suspicatur. Ἀνοίγειν saepius, ἀνοιγνύναι nunquam usurpat Thuc. Vid. Ind. verb.

6. Κατά. Vat. μετά. H. κατὰ s. μετά.

Τὸ σταύρωμα. Mosqu. τῷ σταυρώματι.

Πρώτας. F. κόρτας. Mox C. τείχου.

Ὄντος. G. ὄντας.

Τὴν ὁδόν om. cod. Bas., cui si unus alterve suffragaretur, aeque pareas, ut Bekk. fecit Demosth. de Cor. §. 111.

Τὸ καρτερώτατον. D. om. τό.

Digitized by Google

λόνει τροπαῖον ἕστηκε· καὶ προσβαλὼν τοῖς Ἀθηναίοις πεφοβημένοις τε ἅμα τῇ σφετέρᾳ ἀταξίᾳ, καὶ τὴν τόλμαν αὐτοῦ ἐκπεπληγμένοις, κατὰ μέσον τὸ στράτευμα, τρέπει. 7. καὶ ὁ Κλεαρίδας, ὥσπερ εἴρητο, ἅμα κανὲ τὰς Θρᾳκίας πύλας ἐπεξελθὼν τῷ στρατῷ ἐπεφέρετο. ξυνέβη τε τῷ ἀδοκήτῳ καὶ ἐξάπινης ἀμφοτέρωθεν τοὺς Ἀθηναίους θορυβηθῆναι. 8. καὶ τὸ μὲν εὐώνυμον κέρας αὐτῶν τὸ πρὸς τὴν Ἡιόνα, ὅπερ δὴ καὶ προκεχωρήκει, εὐθὺς ἀποδιαγὲν * ἔφυγε. * καὶ ὁ Βρασίδας, ὑποχωροῦντος ἤδη αὐτοῦ, ἐπιπαριὼν τῷ δεξιῷ, τιτρώσκεται· καὶ πεσόντα αὐτὸν οἱ μὲν Ἀθηναῖοι οὐκ ἀνεδήσαντο, οἱ δὲ πλησίον ὄραντες ἀπήνεγκαν. 9. τὸ δὲ δεξιὸν τῶν Ἀθηναίων ἔμενε μᾶλλον· καὶ ὁ μὲν Κλέων, ὡς τὸ πρῶ-

8. *Προκεχωρήκει*] προαπεληλύθει, εἰς τὸ ἔμπροσθεν ἦλθεν. — 9. *Ἀποδιαγάν*] ἀποσπασθὲν τῆς ἄλλης τάξεως. — *Ὁ Βρασίδας — —*] τρωθέντος ὁ Βρασίδας καὶ διώξας τοὺς μέσους, ὁρμήσας πρὸς τὸ ἀριστερὸν κέρας, καὶ οὐ καταλαβὼν αὐτὰ, μετέβη πάλιν πρὸς τὸ δεξιὸν τῶν Ἀθηναίων. — 10. *Ἐπιπαριὼν τῷ δεξιῷ*] πλησιάζων ἐπετίθετο τῷ δεξιῷ. (λ. Ἀνγ.) — 12. *Οἱ δὲ πλησίον*] τοῦ Βρασίδου δηλονότι. (λ. Ἀνγ.) — *Ἀπήνεγκαν*] δηλονότι εἰς τὴν πόλιν. (λ. Ἀνγ.)

Τροπαῖον. Pal. rursus hic et §. 11. τρόπαιον. Cf. I. 1. p. 214. Statim Bekk. in minn. exempll. cum H. ἕστηκεν. Sic rursus ἔφυγεν §. 8. Cf. Farr. discr. script.

Ἐκπεπληγμένοις. Vat. H. ἐκπεπληγμένους.

7. *Καὶ ἐξαπίνης*. *Καί* om. Cass. Gr., estque aliquantum suspectum. Cf. adnot.

8. *Κέρας αὐτῶν*. Mosqu. *αὐτῶν κέρας*.

Ἡιόνα Cl. Pal. Haack. Goell, hic et infra. Ita „Cl. passim; in codd. aliis *Ἡόνα* plerumque cum ι subscr." HUDS. Sic Lugd. Mosqu. Bekk. Alterutrum E. et infra H. Utroque loco *Ἰήονα* F., hic etiam H. Ar. Vulgo utroque *Ἠόνα*. Cf. §. 3.

Ὅπερ. „Valla legit ὥσπερ pro ὅπερ." STEPH.

Προκεχωρήκει. D. προύκεχωρήκει. Cf. I. 1. p. 228.

Ἔφυγε It. Vat. Bekk. Goell. In H. ἴφυγεν. Vulgo (et Haack.) ἔφευγε. Aoristus effectum subitum aciei divulsae significans imperfecto praestare videbatur.

Ἅραντες. Ante Haack. ἆραντες hic et §. 11.

9. *Τὸ δέ*. *Δέ* om. Gr. In C. ὃ δὲ legitur.

Τῶν Ἀθηναίων. *Τῶν* om. Chr.

Ἔμενε μᾶλλον. Vulgo (et Haack.) ἔμενέ τε μ. „Redundat hic τέ, ut cui nil reddatur ad idem subiectum, novo sequente, καὶ ὁ Κλέων." BAU. Cum Cass. Aug. Reg. (G.) igitur expunxerunt Bekk. Goell., frustra defendit Haack. Caeterum Mosqu. ἔμεινε.

Ὡς τό. C. ἐς τό.

Digitized by Google

τον οὐ διενοεῖτο μένειν, εὐθὺς φεύγων, καὶ καταληφθεὶς ὑπὸ Μυρκινίου πελταστοῦ, ἀποθνήσκει· οἱ δὲ αὐτοῦ ξυστραφέντες ὁπλῖται ἐπὶ τὸν λόφον τόν τε Κλεαρίδαν ἠμύνοντο, † καὶ δὶς ἢ † τρὶς προσβαλόντα, καὶ οὐ πρότερον ἐνέδοσαν, πρὶν ἥ τε Μυρκινία καὶ ἡ Χαλκιδικὴ ἵππος καὶ οἱ πελτασταὶ περιστάντες καὶ ἐξακοντίζοντες αὐτοὺς ἔτρεψαν. 10. οὕτω δὲ τὸ στράτευμα πᾶν ἤδη τῶν Ἀθηναίων φυγὸν χαλεπῶς, καὶ πολλὰς ὁδοὺς τραπόμενοι κατὰ ὄρη, ὅσοι μὴ διεφθάρησαν ἢ αὐτίκα ἐν χερσὶν, ἢ ὑπὸ τῆς Χαλκιδικῆς ἵππου καὶ τῶν πελταστῶν, οἱ λοιποὶ ἀπεκομίσθησαν ἐς τὴν Ἠϊόνα. 11. οἱ δὲ, τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης, καὶ διασώσαντες, ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐξεκόμισαν· καὶ ἤσθετο μὲν ἅτι νικῶσιν οἱ μεθ' αὐτοῦ, οὐ πολὺ δὲ διαλιπὼν ἐτελεύτη-

2. Οἱ δὲ αὐτοῦ] ἤτοι [οἱ] αὐτοῦ τοῦ Κλέωνος. ἢ ἐκ τῷ αὐτῷ τόπῳ. — 4. Καὶ δὶς] περιττός ὁ καί συνδεσμος. — 10. Ἢ ὑπὸ τῆς Χαλκιδικῆς] ἦγουν ὕστερον μετὰ τὴν μάχην φεύγοντες. (λ. Ἀϋγ.) — 11. Ἀπεκομίσθησαν] διεσώθησαν.

Καὶ καταληφθεὶς. Καί non male om. D. I. Mosqu. et, ut videtur, Vall. Proxima confirmant Aristid. et Suid. Vid. adnot. Statim Pal. ἀποθνήσκει.

Ξυστραφέντες. Vulgo (Haack. Bekk. Goell.) συστρ. Cf. I. 1. p. 209. cum Farr. discr. script. Statim Mosqu. ὁπλίται.

Τόν τε Κλεαρίδαν. Mosqu. τότε Κλεανίδαν.

Ἠμύνοντο. D. I. ἠμύναντο. Cf. ad IV, 115.

Καὶ δὶς ἢ τρὶς. I. ἢ δὶς ἢ καὶ τρὶς. Mosqu. καὶ δὶς καὶ τρὶς. In vulg. καί adeo significat, et ἠμύνοντο καὶ προσβαλόντα cohaerent. Non tamen placet. II, 4. καί in καὶ δὶς μὲν ἢ τρὶς ἀπεκρούσαντο valet atque. Sic δὶς ἢ τρὶς IV, 38. ἢ δὶς ἢ τρὶς Aristoph. Lys. v. 360. Δὶς καὶ τρὶς legimus Soph. Philoct. 1222., καὶ δὶς καὶ τρὶς Plat. Phaedon. c. 8. Hinc optimi libri supra I, 82. ἐτῶν καὶ δύο καὶ τριῶν, ut videtur recte.

Μυρκινία. C. D. I. Μυρσινία.

Καὶ ἡ. Καί om. Mosqu.

Ἐξακοντίζοντες. D. I. ἀκοντίζοντες.

10. Ἢ αὐτίκα. Ἢ om. Ar. Chr. Dan. Antea Mosqu. ὅρη.

Τραπόμενοι nemo sollicitabit. Vid. I. 1. p. 94.

Ἢ ὑπό. Ἢ om. B.

11. Διασώσαντες. Pal. rursus διασῴσαντες. Cf. de Art. crit. p. 150.

Ἐξεκόμισαν. Reg. (G.) Gr. C. D. I. ἐκόμισαν. Antea Mosqu. ἔπνουν.

Μεθ' αὐτοῦ Cass. Pal. Lugd. Vulgo (et Haack.) μετ' αὐτοῦ. Aug. It. Vat. Gr. Mosqu. Bekk. Goell. μεθ' ἑαυτοῦ. Mox Bekk. in minn. exempll. cum C. D. ἐτελεύτησεν, et §. 11. cum Cass. Aug. H. ἔστησεν.

Digitized by Google

σε. 12. καὶ ἡ ἄλλη στρατιὰ, ἀναχωρήσασα μετὰ τοῦ Κλεαρίδου ἐκ τῆς διώξεως, νεκρούς τε ἐσκύλευσε, καὶ τροπαῖον ἔστησε.

(Ταφὴ καὶ τιμαὶ Βρασίδου. ἀριθμὸς τῶν ἀποθανόντων. οἱ Ἀθηναῖοι ἀποπλέουσι.)

ια'. Μετὰ δὲ ταῦτα τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες, ξὺν ὅπλοις ἐπισπόμενοι, δημοσίᾳ ἔθαψαν ἐν τῇ πόλει πρὸ τῆς νῦν ἀγορᾶς οὔσης. καὶ τὸ λοιπὸν οἱ Ἀμφιπολῖται, * περιέρξαντες * αὐτοῦ τὸ μνημεῖον, ὡς ἥρωΐ τε ἐντέμνουσι, καὶ τιμὰς δεδώκασιν ἀγῶνας καὶ ἐτησίους θυσίας, καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ προσέθεσαν, καταβαλόντες τὰ Ἀγνώνεια οἰκοδομήματα, καὶ ἀφανίσαντες εἴ τι μνημόσυνόν που ἔμελλεν αὐτοῦ τῆς οἰκίσεως περιέσεσθαι, νομίσαντες τὸν μὲν Βρασίδαν σωτῆρά τε

ια'. 7. Περιέρξαντες] ἦγουν περιφράξαντες. (λ. Αὐγ.) — 8. Ἐντέμνουσιν] ἐναγίζουσιν, ἐναγίσματα προσφέρουσιν, [θύουσιν. (λ. Αὐγ.)] — Ἀγῶνας καὶ ἑτησίους θυσίας] ἤγουν δι' ἔτους θυσιάζειν καὶ ἀγωνίζεσθαι. (λ. Αὐγ.) — 10. Τὰ Ἀγνώνεια οἰκοδομήματα] Ἀγνώνεια τὰ τοῦ Ἄγνωνος· ἐπειδὴ ὁ Ἄγνων Ἀθηναῖος ἦν, ὁ οἰκιστὴς τῆς Ἀμφιπόλεως. — 12. Περιέσεσθαι] φυλαχθήσεσθαι. (λ. Αὐγ.)

12. Καὶ ἡ. C. D. ἡ δέ. Mox Pal. στρατία.

Τοῦ Κλεαρίδου. Τοῦ om. cod. Bas. Mox C. ἐς τῆς.

Cap. XI. Ἐπισπόμενοι. Pal. Reg. (G.) m. (Ald. ed. Bas.?) ἐπισπώμενοι, sed in m. ō s. ῶ.

Νῦν de. Mosqu., sed. add. in marg. man. 1. Mox idem Ἀμφιπολίται.

Περιέρξαντες. D. περιείρξαντες, fortasse recte. Cf. Buttm. II. 1. p. 124. not.

Μνημεῖον. G. Mosqu. μνῆμα. Ad proxima nonnulli scriptores respiciunt. Vid. adnot.

Ἀγνώνεια. C. ἀγνώμονα. Hinc urbem Ἀγνώνειαν, πλησίον Ἀμφιπόλεως, effinxit Steph. Byz. De spiritu vid. mox.

Εἴ τι μνημόσυνον etc. Bekk. Anecd. I. p. 107. Μνημόσυνον· Θουκυδ. πέμπτῳ· εἴ τι (Montf. Bibl. Coisl. p. 488. ἤτοι) μνημόσυνόν ποτε ἔμελλεν ἔσεσθαι.

Ἔμελλεν. F. G. ἐκέλευεν.

Οἰκίσεως. Cass. Aug. Cl. It. Vat. Reg. (G.) F. Lugd. Gr. C. D. I. E. K. m. Ar. Ald. Flor. Bas. οἰκήσεως „Videatur Poll. IX, 7." WASS. „Ubi etiam libri scripti habent οἴκησις, ut hic οἰκήσεως. Sed res ipsa docet hic οἰκίσεως, ibi οἴκισις legendum esse. Vid. Jungerm. ad Poll. l. d." DUK. Cf. IV., 102.

Περιέσεσθαι. C. J. περιθέσθαι, sed posterior in marg. περιέσεσθαι.

Νομίσαντες — γεγωνῆσθαι om. Mosqu.

Digitized by Google

σφῶν γεγενῆσθαι, καὶ ἐν τῷ παρόντι ἅμα τὴν τῶν Λακεδαιμονίων ξυμμαχίαν φόβῳ τῶν Ἀθηναίων θεραπεύοντες, τὸν δὲ Ἄγνωνα κατὰ τὸ πολέμιον τῶν Ἀθηναίων οὐκ ἂν ὁμοίως σφίσι ξυμφόρως οὐδ' ἂν ἡδέως τὰς τιμὰς ἔχειν. 2. καὶ τοὺς νεκροὺς τοῖς Ἀθηναίοις ἀπέδοσαν. ἀπέθανον δὲ Ἀθηναίων μὲν περὶ ἑξακοσίους, τῶν δ' ἐναντίων ἑπτά, διὰ τὸ μὴ ἐκ παρατάξεως, ἀπὸ δὲ τοιαύτης ξυντυχίας καὶ προεκφοβήσεως τὴν μάχην μᾶλλον γενέσθαι. 3. μετὰ δὲ τὴν ἀναίρεσιν οἱ μὲν ἐπ' οἴκου ἀπέπλευσαν, οἱ δὲ μετὰ τοῦ Κλεαρίδου τὰ περὶ τὴν Ἀμφίπολιν καθίσταντο.

(4. Ῥαμφίας Βρασίδᾳ βοήθειαν ἄγων ἐς Ἡράκλειαν ἀφικνεῖται.)

Ὀλ. πθ'. ἔτ. γ'. πρὸ Χρ. νκβ'. πρὸ

ιβ'. Καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τε- 326.
λευτῶντος Ῥαμφίας, καὶ Αὐτοχαρίδας, καὶ Ἐπικυδίδας, Λακεδαιμόνιοι, ἐς τὰ ἐπὶ Θρᾴκης χωρία βοήθειαν ἦγον ἐνακοσίων ὁπλιτῶν· καὶ ἀφικόμενοι ἐς Ἡράκλειαν τὴν

1. Ἐν τῷ παρόντι] πρὸς τὸ παρόν. — 3. Τὸν δὲ Ἄγνωνα——] οὐ τοῦτο λέγει, ὅτι ὁ Ἄγνων οὐχ ἥδετο ταῖς τιμαῖς, ἀλλὰ οὔτε συμφέρειν τοῖς Ἀμφιπολίταις τιμᾶσθαι τὸν Ἄγνωνα, διὰ τὸ κολακεύειν τοὺς Λακεδαιμονίους, οὔτε ἡδὺ ἦν τοῖς Ἀμφιπολίταις τὸ τιμᾶν αὐτόν. — 9. Οἱ μέν] οἱ Ἀθηναῖοι. (λ. Αὐγ.)

ιβ'. 12. ** Καὶ ὑπὸ τοὺς αὐτοὺς χρόνους] Τζέτζου·

Ἐκ τῆς τρίτης ἔασα † λίπος † ὡς γράφειν·
ἐντεῦθεν ἠρξάμην δὲ τῆς γραφῆς πάλιν·
τὸ πλῆθρον ἦν δὲ τῶν ὀπισθίων λόγων. (Ηαλ.)

15. Ἐς Ἡράκλειαν] Ἡράκλεια ἡ ἐν Τραχῖνι τῆς Θρᾴκης.

Ἄγνωνα Bekk. Goell. et antea Ἀγνώνεια. Vulgo (et Haack.) utrobique cum spiritu leni. Cf. ad I., 117. Accentum in ultima collocat Steph. Byz. in Ἀγνώνεια.

2. Ἀθηναίων μέν. Μέν. om. F. Post. ἑκτά apud Duk. punctum.

Ἐκ παρατάξεως. Ἐκ om. D.

Ξυντυχίας. It. Vat. H. ξυμμαχίας. Quem errorem iam I, 33. offendimus.

Προεκφοβήσεως. Mosqu. προεκφονήσεως.

3. Τὰ περὶ om. E.

Cap. XII. Ῥαμφίας. Dan. Ῥομφία. At vid. c. 13. 14. et I, 189.

Ἐπικυδίδας. Vind. Ἐπικύδας.

Θρᾴκης. Mosqu. Θρᾴκην.

Ἐνακοσίων Cass. Gr. Mosqu. Bekk. Goell. Vulgo (et Haack.) ἐννακοσίων, sicut Cass. e correct. At vid. ad I, 46. Post ὁπλ. vulgo punctum, apud Bekk. comma.

Digitized by Google

ἐν Θρᾴκῃ, παθίστασθε ὅ τι αὐτοῖς ἐδόκει μὴ καλῶς ἔχειν. 2. ἐνθεατριβόντων δὲ αὐτῶν, ἔτυχεν ἡ μάχη αὕτη γενομένη, καὶ τὸ θέρος ἐτελεύτα. Σεπτ. κά.

Β. Χειμών. — Κεφ. ιγ'—κδ'.

(1. Ῥαμφίας ἀναχωρεῖ ἐπ' οἶκον.)

ιγ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος εὐθὺς μέχρι μὲν Πιερίου τῆς Θεσσαλίας διῆλθον οἱ περὶ τὸν Ῥαμφίαν· κωλυόντων δὲ τῶν Θεσσαλῶν, καὶ ἅμα Βρασίδου τεθνεῶτος, ᾧπερ ἦγον τὴν στρατιάν, ἀπετράποντο ἐπ' οἶκου, νομίσαντες οὐδένα καιρὸν ἔτι εἶναι, τῶν τε Ἀθηναίων ἧσσῃ ἀπεληλυθότων, καὶ οὐκ ἀξιόχρεων αὐτῶν ὄντων δρᾶν τι ὧν κἀκεῖνος ἐπενόει. 2. μάλιστα δὲ ἀπῆλθον εἰδότες τοὺς Λακεδαιμονίους, ὅτα ἐξῆεσαν, πρὸς τὴν εἰρήνην μᾶλλον τὴν γνώμην ἔχοντας.

(2. Αἰτίαι, δι' ἃς οἵ τε Λακεδαιμόνιοι καὶ οἱ Ἀθηναῖοι πρὸς τὴν εἰρήνην τὴν γνώμην εἶχον. ιδ'—ιζ'. α) Τὰ τὰς πόλεις αὐτὰς προτρεπόμενα πρὸς ξύμβασιν. ιδ'. ιε'.)

ιδ'. Ξυνέβη τε εὐθὺς μετὰ τὴν ἐν Ἀμφιπόλει μάχην καὶ τὴν Ῥαμφίου ἀναχώρησιν ἐκ Θεσσαλίας, ὥστε πολέ-

2. Μάχη αὕτη] ἡ κατὰ τὴν Ἀμφίπολιν τοῦ Βρασίδου. (λ. Λύγ.) ιγ'. 8. Οὐδένα καιρὸν ἔτι εἶναι] οὐκ ἐν καιρῷ ἔτι εἶναι. — Τῶν τε Ἀθηναίων — —] τῶν μὲν Ἀθηναίων διὰ τὸ ἡσσηθῆναι ἀποκεχωρηκότων, τῶν δὲ περὶ τὸν Ῥαμφίαν οὐκ ὄντων δυνατῶν δρᾶν τι ὧν ὁ Βρασίδας διενοεῖτο.

ιδ'. 14. * * Ὥστε] Τζέτζου·

Βιβλογράφου στε πᾶν παρῆκα μὴ ξέον.

§. Ἐν τῷ μὲν † στε ξείας † ὡς Τζέτζης γράφει·

2. Αὐτῶν. F. αὐτῶν αὐτοῦ, ex interpr. Mosqu. solum αὐτοῦ. Idem praeced. δέ om.

Ἔτυχεν. It. ἐτύγχανεν.

Cap. XIII. Πιερίου. Sic etiam Pal., sed fuerat Πειρίου. Cf. I. 2. p. 312.

Θεσσαλίας. D. Θαλασσίας.

Τὸν Ῥαμφίαν. C. τὴν Ῥαμφίαν. Dan. τὴν Ῥόμφαιο.

Θεσσαλῶν om. Ar.

Ὥπερ. Vat. H. ᾧπερ.

Ἐπ' οἶκου. Gr. ἐς οἶκον.

Νομίσαντες. Mosqu. νομίσαντες δέ.

Ἔτι εἶναι. It. Vat. H. Bekk. εἶναι ἔτι. Cf. de Art. crit. p. 132.

2. Ὅτε. F. ὅτι.

Cap. XIV. Ῥαμφίου. Dan. Ῥομφίου. Deinde B. Θασσαλίας.

Digitized by Google

μου μὲν μηδὲν ἔτι ἄφασθαι μηδετέρους, πρὸς δὲ τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον, οἱ μὲν Ἀθηναῖοι, πλεῖστα ἐπὶ τῷ Δηλίῳ καὶ δι' ὀλίγου αὖθις ἐν Ἀμφιπόλει, καὶ οὐκ ἔχοντες τὴν ἐλπίδα τῆς ῥώμης πιστὴν
ἔτι, ἧπερ οὐ προσεδέχοντο πρότερον τὰς σπονδάς, δο- 5
κοῦντες τῇ παρούσῃ εὐτυχίᾳ καθυπέρτεροι γενήσεσθαι· (2. καὶ τοὺς ξυμμάχους ἅμα † ἐδεδίεσαν † σφῶν, μὴ, διὰ τὰ σφάλματα ἐπαιρόμενοι, ἐπὶ πλέον ἀποστῶσι, μετεμέλοντό τε ὅτι μετὰ τὰ ἐν Πύλῳ, καλῶς παρασχὸν, οὐ ξυνέβησαν·) 3. οἱ δ' αὖ Λακεδαιμόνιοι, παρὰ γνώ- 10
μην μὲν ἀποβαίνοντος σφίσι τοῦ πολέμου, ἐν ᾧ ὤοντο ὀλίγων ἐτῶν καθαιρήσειν τὴν τῶν Ἀθηναίων δύναμιν,

ἵδ. Βιβλ. δ'. κεφ. κα'.

ἄρξῃ δ' ἀπαρτὶ τοῦ τῆς εἰρήνης λόγου.
σολοικοειδὲς καὶ σόλοικον † τάχα. (Παλ.)

1. *Μηδετέρους*] Ἀθηναίους καὶ Πελοποννησίους. (λ. Ἀὐγ.) — 8. *Πλεῖστα*] ζημιωθέντες. (λ. Ἀὐγ.) — *Καὶ δι' ὀλίγου αὖθις*] ἀντὶ τοῦ μετ' ὀλίγον. — 4. *Καὶ οὐκ ἔχ.* —] καὶ οὐκέτι πιστεύοντες τῇ ἰσχύϊ τῇ αὐτῶν, δι' ἣν τὸ πρότερον οὐ προσεδέχοντο τὰς σπονδάς. — 6. *Καθυπέρτεροι*] τῶν Λακεδαιμονίων. (λ. Ἀὐγ.) — 8. Ἐπαιρόμενοι] δινούμενοι. (λ. Ἀὐγ.) — Ἐπιπλέον ἀποστῶσι] τῶν Ἀθηναίων. (λ. Ἀὐγ.) — 9. *Καλῶς παρασχὸν οὐ ξ.*] ἐξὸν καλῶς, καιροῦ ἐπιτηδείου παρατυχόντος [τοῦ πράγματος], οὐ συνέβησαν [τοῖς Λακεδαιμονίοις]. — *Μετὰ τὰ ἐν Πύλῳ*] κατορθώματα. (λ. Ἀὐγ.) — 10. *Οἱ δ' αὖ Λακεδαιμόνιοι*] ἀπὸ κοινοῦ τὸ μετεμέλοντό. ** ἀπὸ κοινοῦ εἶχον τὴν γνώμην πρὸς τὴν εἰρήνην νοητέον. (Βασ.) — 12. Ὀλίγων ἐτῶν καθαιρήσειν] ἤγουν δι' ὀλίγων ἐτῶν ταπεινώσειν (λ. Ἀὐγ.)

Μηδέν. Vat. οὐδέν.

Μηδετέρους. Gr. μηδ' ἑτέρους.

Πρὸς δέ. Δέ om. G.

Τὴν γνώμην εἶχον om. Ar. Chr. Dan.

Πλεῖστα. Lugd. οἱ πλεῖστα.

Ἐπὶ τῷ, Vulgo (et Haak.) ἐπί τε τῷ, sed τέ om. Cass. Aug. Cl. Pal. It. Vat. Reg. (G.) Bekk. Goell.

Ὀλίγου. E. Chr. ὀλίγον.

Καὶ οὐκ. Καί om. *K.* Ar. Chr. Dan.

Οὐ προσεδέχοντο. Οὐ s. v. E.

Καὶ τοὺς — ξυνέβησαν. Haec in parenthesim redegimus, ut οἱ μὲν Ἀθηναῖοι — οἱ δ' αὖ Λακεδ. apte cohaereant. Bekk. et Goell. saltem cola punctis substituerunt.

2. *Ἐδεδίεσαν.* Imo ἐδέδισαν, sicut Goell. Vid. ad IV, 55.

Ἀποστῶσι. Vind. Mosqu. ἀπιστῶσι, quod male non contemnendum dicit Bauer.

Μετεμέλοντο. E. m. Chr. Ald. Flor. Bas. μετεμέλλοντο.

Μετὰ τά. Τά om. D.

Παρασχόν. Pal. D. παρασχὼν, cum ō rec. man. superscr.

3. *Παρά.* B. περί.

Καθαιρήσειν. F. καθαιρήσεις.

Digitized by Google

εἰ τὴν γῆν τέμνοιεν, περιπεσόντες δὲ τῇ ἐν τῇ νήσῳ ξυμφορᾷ, οἵα οὔπω γεγένητο τῇ Σπάρτῃ, καὶ λῃστευομένης τῆς χώρας ἐκ τῆς Πύλου καὶ Κυθήρων, αὐτομολούντων τε τῶν Εἱλώτων, καὶ ἀεὶ προσδοκίας οὔσης μή τι καὶ οἱ ὑπομένοντες, τοῖς ἔξω πίσυνοι, πρὸς τὰ παρόντα σφίσιν, ὥςπερ καὶ πρότερον, νεωτερίσωσι. 4. ξυν-
327. έβαινε δὲ καὶ πρὸς τοὺς Ἀργείους αὐτοῖς τὰς † τριακονταέτεις † σπονδὰς ἐπ' ἐξόδῳ εἶναι· καὶ ἄλλας οὐκ ἤθελον σπένδεσθαι οἱ Ἀργεῖοι, εἰ μή τις αὐτοῖς τὴν Κυνουρίαν γῆν ἀποδώσει· ὥςτ' ἀδύνατα εἶναι ἐφαίνετο Ἀργείοις καὶ Ἀθηναίοις ἅμα πολεμεῖν. τῶν τε ἐν Πελοπον-

1. Ἐν τῇ νήσῳ] τῇ Σφακτηρίᾳ. (λ. Αὐγ.) — 3. Αὐτομολούντων] παρὰ τοὺς ἐν Πύλῳ [δηλαδὴ] Ἀθηναίους. ἡ δὲ ἔννοια· μήπως αὐτομολήσωσιν οἱ Εἵλωτες οἱ ὑπομένοντες παρὰ τοῖς Λακεδαιμονίοις, πιστεύοντες τοῖς ἔξω, τουτέστι τοῖς ηὐτομοληκόσι διὰ τὰ συμβεβηκότα τοῖς Λακεδαιμονίοις. — 5. Οἱ ὑπομένοντες] οἱ ὑπόλοιποι. (λ. Αὐγ.) — Τοῖς ἔξω] αὐτομολήσασι δηλαδή. (λ. Αὐγ.) — 6. ** Ξυνέβαινε δέ] ἐνταῦθα ἡ ἀπόδοσις τῆς ὅλης ἐννοίας ἀπὸ τοῦ, πρὸς τὴν εἰρήνην μᾶλλον τὴν γνώμην εἶχον. (Βασ.) — 7. Αὐτοῖς] τοῖς Λακεδαιμονίοις. (λ. Αὐγ.) — 8. Ἐπ' ἐξόδῳ] λήξει. (λ. Αὐγ.) — 9. Σπένδεσθαι] ἤγουν μετὰ σπονδῶν ποιεῖσθαι. (λ. Αὐγ.)

Περιπεσόντες δέ. Δέ om. K. Proximum τῇ (ante ἐν) om. C. I.

Γεγένητο. C. I. γεγένοιτο, in marg. ἐγέγενητο. „Atticis usitatum est omittere augmentum in hoc tempore. Multa huius generis collegit Jungerm. ad Poll. III, 102." DUK. Cf. I. 1. p. 228.

Τῆς χώρας om. F.

Τῆς Πύλου καί om. Chr.

Κυθήρων. Chr. Κυθαίρων.

Αὐτομολούντων τε. C. D. αὐτολμούντων δέ τε. I. ἀτολμούντων δέ τε, sed in marg. αὐτομολούντων. Statim Aug. Εἰλώτων. Cf. adnot. ad I, 101. Sequebatur male colon. Tum Pal. rursus αἰεί.

Οἱ ὑπομένοντες. Οἱ om. Mosqu.

Πίσυνοι. D. πίσσυνοι. C. πίσσυοι. At vid. adnot.

Ὥςπερ. Cod. Bas. ὡς.

Νεωτερίσωσι. C. νεωτερήσωσι. Gr. et Bekk. in minn. exempli. νεωτερίσωσιν.

4. Αὐτοῖς post τριακοντ. collocant Reg. (G.) F.

Τριακονταέτεις. Vat. Bekk. Goell. At cum E. legendum τριακοντούτεις, sicut I, 23. 115. II, 2. Cf. Buttm. Gr. max. §. 71. adnot. 7. Matth. §. 113. adnot. 3. Lob. ad Phryn. p. 408. not. Vulgo (et Haack.) τριακονταετεῖς. It. τριακονταέτις. H. τριακοντά ετις, cum ει s. ις. E. τριακοντέτεις. Add. I. 1. p. 230.

Ἐξόδῳ. Chr. Dan. ἐξόδων.

Κυνουρίαν. It. Vat. Bekk. Κυνοσουρίαν. Cf. I. 2. p. 205. et infra c. 41.

Ἀποδώσει. F. ἀποδώσειν.

νήσῳ πόλεων ὑπάπτευόν τινας ἀποστήσεσθαι πρὸς τοὺς Ἀργείους· ὅπερ καὶ ἐγένετο.

(Μάλιστα οἱ Λακεδαιμόνιοι τὸ πρᾶγμα ἐσηγοῦνται.)

ιε'. Ταῦτ' οὖν ἀμφοτέροις αὐτοῖς λογιζομένοις ἐδόκει ποιητέα εἶναι ἡ ξύμβασις, καὶ οὐχ ἧσσον τοῖς Λακεδαιμονίοις ἐπιθυμίᾳ τῶν ἀνδρῶν τῶν ἐκ τῆς νήσου κομίσασθαι· ἦσαν γὰρ οἱ Σπαρτιᾶται αὐτῶν πρῶτοί τε, καὶ ὁμοίως σφίσι ξυγγενεῖς. 2. ἤρξαντο μὲν οὖν καὶ εὐθὺς μετὰ τὴν ἅλωσιν αὐτῶν πράσσειν· ἀλλ' οἱ Ἀθη-

ιε'. 3. Ἀμφοτέροις αὐτοῖς] Λακεδαιμονίοις καὶ Ἀθηναίοις δηλονότι. — 5. ** Τῶν ἀνδρῶν κομίσασθαι]

Γλώσσης νόησον Ἀττικῆς εἶναι τόδε,
ψωμοῦ * φαγεῖν * τε, καὶ λαβεῖν ἀνδρῶν, λέγειν,
οἴνων πιεῖν τε, καὶ τὰ τοιούτου τρόπου·
μηδ' αὖ σόλοικον μηδαμῶς νόει τόδε.
§. Πολὺς πόνος καὶ * τουτονὶ * ξεῖν καὶ γράφειν,
καὶ τῆς ἑκάστης ἡμέρας περιδρόμῳ,
καίπερ νοσοῦντα, δυςπνοοῦντα τὴν νόσον,
φύλλων ἀναγνῶναι τοιάςδε † ὦ †.
διπλῆν διεκτρέχειν με † πεντηκοντέρα †,
ὅθεν † στρατωρσί † τὴν βιβλογράφου κόπρον.
ἐατέον νῦν ἐκφορεῖν τε καὶ ξέειν. (Παλ.)

6. Ἦσαν γὰρ οἱ Σπαρτιᾶται] τὸ οἱ ἐνταῦθα ἀντὶ τοῦ ἔνιοι. ἦσαν γάρ τινες αὐτῶν Σπαρτιᾶταί τε καὶ πρῶτοι καὶ τοῖς πρώτοις ξυγγενεῖς. ὡς τὸ εἰκὸς οὖν, οἱ ξυγγενεῖς αὐτῶν σπουδὴν ἐποιοῦντο. — 8. Πράσσειν] τὴν εἰρήνην δηλονότι. (λ. Αὐγ.)

Ὅπερ. C. D. E. Vind. m. Ar. Chr. ὥςπερ, sed in m. superscr. γρ. ὁ. Valla *prout*.

Cap. XV. Ταῦτ' — καταλύεσθαι. „Schol. Aristoph. ad Pac. 478., qui ταῦτα, ἧττον, οὔπω θέλοντες. Ibi pro φησί legendum σφίσι." WASS.

Αὐτοῖς de. G.

Σπαρτιᾶται Mosqu. „qui ita semper" (quod de Art. crit. p. 149. adnotare negleximus) Haack. Bekk. Goell. Vulgo Σπαρτιάται. Antea οἵ cum accentu (ἦσαν οἵ) ne quis cum Abresch. (cf. Schol.) exspectet, vid. adnot.

Πρῶτοί τε. Τέ de. D.

ὑαῖοι * οὔπως * ἤθελον, εὖ φερόμενοι, ἐπὶ τῇ ἴσῃ καταλύεσθαι. σφαλέντων δὲ αὐτῶν ἐπὶ τῷ Δηλίῳ, παράχρημα οἱ Λακεδαιμόνιοι, γνόντες νῦν μᾶλλον ἂν ἐνδεξομένους, ποιοῦνται τὴν ἐνιαύσιον ἐκεχειρίαν, ἐν ᾗ ἔδει ὃ ξυνιόντας καὶ περὶ τοῦ πλείονος χρόνου βουλεύεσθαι.

(β. Διὰ τί οἱ τὰ πρῶτα ἐν Λακεδαίμονι καὶ ἐν Ἀθήναις φερόμενοι, Πλειστοάναξ τε καὶ Νικίας, τὴν ξύμβασιν προὐθυμοῦντο. ις'—κ'.)

ις'. Ἐπειδὴ δὲ καὶ ἡ ἐν Ἀμφιπόλει ἧσσα τοῖς Ἀθηναίοις ἐγεγένητο, καὶ ἐτεθνήκει Κλέων τε καὶ Βρασίδας, οἵπερ ἀμφοτέρωθεν μάλιστα ἠναντιοῦντο τῇ εἰρήνῃ, ὁ μὲν διὰ τὸ εὐτυχεῖν τε καὶ τιμᾶσθαι ἐκ τοῦ πολεμεῖν,

1. Οὔπως ἤθελον] οὐδὲ ὅλως ἤθελον. — Εὖ φερόμενοι] ἦγον εὐτυχοῦντες. (λ. Λύγ.) — Ἐπὶ τῇ ἴσῃ] ὥστε τὸ προσῆκον αὐτοῖς μόνον ἔχειν, ἀλλὰ δηλονότι καὶ περιττότερον. — 8. Ἐνδεξομένους] ἤτοι προσδεξομένους· λείπει τὴν εἰρήνην.

ις'. 8. Ὁ μέν] ὁ Βρασίδας.

2. Οὔπως. Cl. Reg. (G.) F. Gr. C. D. I. E. m. (sed hic abraso ς) Ar. Dan. marg. Steph. Schol. Aristoph. Vall. οὐπώ. Sed Phot. et Suid. Οὔπως· οὐδένα τρόπον· καὶ Θουκυδίδης ἐν, ᾗ καὶ Ὅμηρος. Post πράσσ. vulgo punctum, apud Bekk. comma.

Εὖ φερόμενοι. H. s. v. γὰρ εὐφορούμενοι.

Καταλύεσθαι „Post hanc vocem sequentia inserit contra libros omnes Schol. Aristoph. Pac. 478. Μάλιστα δὲ οἱ τῶν δεδεμένων συγγενεῖς ἐαῦτων, καὶ ἐσπούδαζον, ὡς ἂν τάχιστα γένηται." WASS.

Ἐπὶ τῷ. F. ἐπὶ τῶν ἐν. Reg. (G.) ἐν, sine τῷ.

Γνόντες — ἐνδεξ. „Thom. Mag. in ἐνδέχεται." WASS.

Ἂν ἐνδεξομένους. Ἂν om. Gr. D. Ar. Chr. Pro ἐνδεξομένους m. Thom. Mag. ἐνδεξαμένους, quo ducunt etiam Chr. Dan. qui δεξαμένους praebent. At vulgata sincera. Vid. I. 1. p. 160. Caeterum D. ἐνδεξομένοις, sed cum νς s. ις.

Ποιοῦνται. H. ποιεῖται, cum ου s. ει.

Τοῦ πλείονος. Τοῦ s. v. E., Car. XVI. Ἐπειδὴ δέ. Δέ om. K. Ar. Chr. Dan. „Om. etiam Schol. Aristoph. Equ. 790, qui et ἦττα, ἐγένετο, τεθνήκει, ἀμφότεροι pro ἡσυχίας, εὐτυχίας, et τὲ νομίζων εἶναι, et ἀξιοπιστότερος διαβ. omissa voce μάλιστα. Corrupte" WASS.

Ἡ ἐν. Gr. F. K. οἱ ἐν.

Ἐγεγένητο. H. γεγένητο, ut c. 14. In Gr. nostrum ex emend. fuerat ἐγένετο.

Ἠναντιοῦντο. C. ἠναντιοῦντα, Τῇ εἰρήνῃ. Τῇ de K.

Ὁ μέν. „Verba ὁ μὲν — διαβάλλων olim parentheseos inclusa erant signis." BAU.

Digitized by Google

ὁ δὲ, γενομένης ἡσυχίας, καταφανέστερος νομίζων ἂν εἶναι κακουργῶν, καὶ ἀπιστότερος διαβάλλων· τότε δὲ * οἱ ἐν * ἑκατέρᾳ τῇ πόλει σπεύδοντες τὰ μάλιστα τὴν ἡγεμονίαν, Πλειστοάναξ τε ὁ Παυσανίου, βασιλεὺς Λακεδαιμονίων, καὶ Νικίας ὁ Νικηράτου, πλεῖστα τῶν τότε εὖ φερόμενος ἐν στρατηγίαις, πολλῷ δὴ μᾶλλον προεθυμοῦντο· Νικίας μὲν, βουλόμενος, ἐν ᾧ ἀπαθὴς ἦν, καὶ ἠξιοῦτο, διασώσασθαι τὴν εὐτυχίαν, καὶ ἐς τε τὸ

1. Ὁ δέ] ὁ Κλέων. — 5. Πλεῖστα] ἤτοι ἐν πλείστοις πράγμασι. (λ. Ἀνγ.) — 7. ** Ἀπαθής] εὐτυχής. (Λουγδ.)

Ἦν om. Vat. et Schol. Arist., s. v. habet H.

Διαβάλλων. Pal. Vat. H. διαβαλών, sed in Pal. antea fuerat διαβάλλων.

Τότε δέ. Ar. Chr. τότε δή. „Quod est etiam infra c. 17. Et sic saepe Lucianus. Timon. p. 161. Καὶ λόγοι πολλοὶ παρὰ τῇ κύλικι τότε δὴ καὶ μάλιστα περὶ σωφροσύνης. [Hoc tamen exemplum plane huc non pertinet.] De Sacrif. p. 369. Ἦν δ' εἰς τὴν Αἴγυπτον ἔλθῃς, τότε δή, τότε ὄψει πολλὰ τὰ σεμνά. Quom. conscrib. sit Histor. p. 635. et Demosth. encom. 707." DUK. At nihil mutandum. Vid. ad I, 11. ad Xen. Cyr. I, 6, 41. et δὲ in Ind. Xen. Anab. Apodosin hinc inripere perperam negat Haack., dubitat Heilm. At vid. Goell.

Οἱ ἐν. Haec ex Reg. (G.) F. Lugd. Gr. inseruimus cum Haack. et Goell. „Etenim qui principatum civitati suae parare student, [quod inest invulg. scriptura,] eos belli magis quam pacis cupidos esse consentaneum est. Sed principes suae uterque civitatis esse voluerunt Plistoanax Niciasque, idque se tantum pacem republica agente consecuturos esse sperabant." GOELL. Nec dicimus σπεύδειν τινί τι, *parare alicui aliquid*, sed absolute σπεύδειν τι, ut προθυμεῖσθαί τι, *studiose ambire*, *affectare aliquid*. Cf. VI, 39. 79.

Τὴν ἡγεμονίαν. Τήν om. Mosqu. Τὴν ἡσυχίαν aut ὁμόνοιαν Reisk., τὴν ὁμολογίαν Dindorf. coniiciebat, quae omnia ut audaciora, ita, si antea οἱ ἐν inseris, non necessaria sunt.

Βασιλεὺς Λακεδαιμονίων. C. Λακεδαιμ. βασιλεύς.

Φερόμενος. „Fort. leg. φερόμενοι." GOELL. Minime. Plistoanax res insignes in bello nondum gesserat. Statim G. στρατηγίαις, sed ῃ s. ι ead. man.

Πολλῷ. It. H. C. D. F. E. K. m; πολλῶν, sed I. in marg. πολλῷ.

Ἠξιοῦτο. Cass. Aug. Reg. Gr. ἠξίου τό. „Mendose." WASS. Mosqu. ἀξιοῦτο. Virgula post ἠξιοῦτο vulgo (ante Bekk.) abest, et Haak. ἠξιοῦτο διασώσασθαι interpretatur *dum existimaretur conservasse*, licet καί ante ἐς τε aperte doceat ista praecessisse infinitivum ad βουλόμ. pertinentem. Supple igitur τεῦ ἀπαθὴς εἶναι vel interpretare *dum honorabatur*. Pal. rursus διασῴσ. Cf. de Art. crit. p. 150.

Ἐς τε. Mosqu. ἔν τε. Lugd. ἔσται.

Digitized by Google

αὐλίσα πόνων πεπαῦσθαι καὶ αὐτὰς, καὶ τοὺς πολίτας παῦσαι, καὶ τῷ μέλλοντι χρόνῳ καταλιπεῖν ὄνομα ὡς οὐδὲν σφήλας τὴν πόλιν διεγένετο, νομίζων ἐκ τοῦ ἀκινδύνου τοῦτο ξυμβαίνειν, καὶ ὅστις ἐλάχιστα τύχῃ αὐτὸν παραδίδωσι, τὸ δὲ ἀκίνδυνον τὴν εἰρήνην παρέχειν· Πλειστοάναξ δὲ, ὑπὸ τῶν ἐχθρῶν διαβαλλόμενος περὶ τῆς καθόδου, καὶ ἐς ἐνθυμίαν τοῖς Λακεδαιμονίοις ἀεὶ προβαλλόμενος ὑπ' αὐτῶν, ὁπότε τι πταίσειαν, ὡς διὰ τὴν ἐκείνου κάθοδον παρανομηθεῖσαν ταῦτα ξυμβαίνοι. 2. τὴν γὰρ πρόμαντιν τὴν ἐν Δελφοῖς ἐπηγειῶντο αὐτὸν πεῖσαι μετὰ Ἀριστοκλέους τοῦ ἀδελφοῦ, ὥστε χρῆσαι

328.

3. ** Τοῦ ἀκινδύνου] τῆς ἀσφαλείας. (Λουγδ.) — 4. Καὶ ὅστις ἐλάχιστα τύχῃ αὐτὸν παραδίδωσι] τῇ ἀλόγῳ φορᾷ τῆς τύχης. (λ. Λύγ.) — 5. † Τὴν εἰρήνην παρέχειν] † ὥστο δηλονότι. (λ. Λύγ.) — 6. ** Πλειστοάναξ δὲ] Πλειστοάναξ ὁ Παυσανίου βασιλεὺς Λακεδαιμονίων, ὃς φεύγων κάθοδον εὗρετο· ἔφευγε δὲ διὰ τό ποτε πρότερον δόξαι δῶρα παρ' Ἀθηναίων λαβὼν ἀναχωρῆσαι [ἐκ] τῆς Ἀττικῆς. (Γ.) — Διαβαλλόμενος] ἤγουν ὑβριζόμενος. (λ. Κασσ. Λύγ.) — 7. ** Καθόδου] ἀντὶ τοῦ ἀναχωρήσεως ἀπὸ τῆς Ἀττικῆς δῆ. (Λουγδ.) — 8. Προβαλλόμενος] ἤγουν κατηγορούμενος. (λ. Λύγ.) — 9. Παρανομηθεῖσαν] ἤγουν παρανόμως δοθεῖσαν αὐτῷ. (λ. Λύγ.) — 10. Τὴν γὰρ πρόμαντιν] ἤγουν τὴν προαγορεύουσαν ἐκ μαντείας. (λ. Κασσ. Λύγ.)

Καὶ τῷ. Gr. καὶ ἐν τῷ, non inepte.

Οὐδέν. Cod. Bas. οὐδένα.

Αὐτόν. Cass. Aug. Pal. Reg. Gr. Mosqu. αὐτόν. Cf. Farr. discr. script. „Pro τύχῃ hic debebat τῇ τύχῃ." BAU. Cf. Ind. verb. in h. v.

Ἐς ἐνθυμίαν — αὐτῶν Thom. Mag. in ἐνθυμ, ubi εἰς. It. Vat. cod. Bas. E. ἐς εὐθυμίαν. C. D. ἐς ἀθυμίαν. „Pol. II, 231. ἐνθυμία καὶ ἐνθύμησις [1, 132.] Θουκυδ." DUK. Cf. adnot.

Ἀεί om. Reg. (G.) *Αἰεί* rursus exarat Pal. Cf. I, 1. p. 211.

Προβαλλόμενος. Cod. Bas. a corr. προβαλλομένοις.

Τί πταίσειαν. Τί om. Reg. (G.) At vid. Valck. ad Herodot. VIII, 21.

Ξυμβαίνοι Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) F. B. C. I. E. Vind. K. m. Ar. Ald. Flor. Bas. Haack.. Bekk. Goell. Vulgo ξυμβαίνει, quod habet D., sed cum οι s. ει al. man.

2. *Πρόμαντιν.* Syllaba τιν s. v. in C. Idem statim ἐποντιῶντο.

Μετά plene pro vulg. (Haack. Bekk. Goell.) μετ' Cass. Aug. C. et fortasse plures. Cf. Farr. discr. script. ubi I. 1. p. 421. lege C. pro G. Lugd. μηξ'.

Χρῆσαι Λακεδαιμονίοις. „Suid. et ex eo Phav. Χρῶσαν· τὴν χρησμῳδοῦσαν. Χρῶσαν Λακεδαιμονίοις· Θουκυδίδης. Quaerendum est, ubi haec dicat Thuc. Sed dubito nonnihil, an Suidas ea male ex hoc loco de-

Digitized by Google

ὁ δὲ, γενομένης ἡσυχίας, καταφανέστερος νομίζων ἂν εἶναι κακουργῶν, καὶ ἀπιστότερος διαβάλλων· τότε δὲ * οἱ ἐν * ἑκατέρᾳ τῇ πόλει σπεύδοντες τὰ μάλιστα τὴν ἡγεμονίαν, Πλειστοάναξ τε ὁ Παυσανίου, βασιλεὺς Λακεδαιμονίων, καὶ Νικίας ὁ Νικηράτου, πλεῖστα τῶν τότε εὖ φερόμενος ἐν στρατηγίαις, πολλῷ δὴ μᾶλλον προεθυμοῦντο· Νικίας μὲν, βουλόμενος, ἐν ᾧ ἀπαθὴς ἦν, καὶ ἠξιοῦτο, διασώσασθαι τὴν εὐτυχίαν, καὶ ἐς τὸ

1. Ὁ δὲ] ὁ Κλέων. — 5. Πλεῖστα] ἤτοι ἐν πλείστοις πράγμασι. (λ. Λύγ.) — 7. ** Ἀπαθής] εὐτυχής. (Λουγδ.)

Ἦν om. Vat. et Schol. Arist., s. v. habet H.

Διαβάλλων. Pal. Vat. H. διαβαλών, sed in Pal. antea fuerat διαβάλλων.

Τότε δέ. Ar. Chr. τότε δή. „Quod est etiam infra c. 17. Et sic saepe Lucianus. Timon. p. 161. Καὶ λόγοι πολλοὶ παρὰ τῇ κύλικι τότε δὴ καὶ μάλιστα περὶ σωφροσύνης. [Hoc tamen exemplum plane huc non pertinet.] De Sacrif. p. 369. Ἦν δ' εἰς τὴν Λίγυπτον ἔλθῃς, τότε δή, τότε ὄψει πολλὰ τὰ σεμνά. Quom. conscrib. sit Histor. p. 635. et Demosth. encom. 707." DUK. At nihil mutandum. Vid. ad I, 11. ad Xen. Cyr. I, 6, 41. et δέ in Ind. Xen. Anab. Apodosin hinc inripere perperam negat Haack., dubitat Heilm. At vid. Goell.

Οἱ ἐν. Haec ex Reg. (G.) F. Lugd. Gr. inseruimus cum Haack. et Goell. „Etenim qui principatum civitati suae parare student, [quod inest invulg. scriptura,] eos belli magis quam pacis cupidos esse consentaneum est. Sed principes suae uterque civitatis esse voluerunt Plistoanax Niciasque, idque se tantum pacem republica agente consecuturos esse sperabant." GOELL. Nec dicimus σπεύδειν τινί τι, *parare alicui aliquid*, sed absolute σπεύδειν τι, ut προθυμεῖσθαί τι, *studiose ambire, affectare aliquid*. Cf. VI, 39. 79.

Τὴν ἡγεμονίαν. Τὴν om. Mosqu. Τὴν ἡσυχίαν aut ὁμόνοιαν Reisk., τὴν ὁμολογίαν Dindorf. coniiciebat, quae omnia ut audaciora, ita, si antea οἱ ἐν inseris, non necessaria sunt.

Βασιλεὺς Λακεδαιμονίων. C. Λακεδαιμ. βασιλεύς.

Φερόμενος. „Fort. leg. φερόμενοι." GOELL. Minime. Plistoanax res insignes in bello nondum gesserat. Statim G. στρατηγίαις, sed ῃ s. ι ead. man.

Πολλῷ. It. H. C. D. F. E. K. m; πολλῶν, sed I. in marg. πολλῷ.

Ἠξιοῦτο. Cass. Aug. Reg. Gr. ἠξίου τό. „Mendose." WASS. Mosqu. ἀξιοῦτο. Virgula post ἠξιοῦτο vulgo (ante Bekk.) abest, et Haak. ἠξιοῦτο διασώσασθαι interpretatur *dum existimaretur conservasse*, licet καί ante ἐς τε aperte doceat iam praecessisse infinitivum ad βουλόμ. pertinentem. Supple igitur τοῦ ἀπαθὴς εἶναι vel interpretare *dum honorabatur*. Pal. rursus διασῴσ. Cf. de Art. crit. p. 150.

Ἐς τε. Mosqu. ἔν τε. Lugd. ἔσται.

Digitized by Google

αὐλίσια πόνων πεπαῦσθαι καὶ αὐτὸς, καὶ τοὺς πολίτας παῦσαι, καὶ τῷ μέλλοντι χρόνῳ καταλιπεῖν ὄνομα ὡς οὐδὲν σφήλας τὴν πόλιν διεγένετο, νομίζων ἐκ τοῦ ἀκινδύνου τοῦτο ξυμβαίνειν, καὶ ὅτις ἐλάχιστα τύχῃ αὐτὸν παραδίδωσι, τὸ δὲ ἀκίνδυνον τὴν εἰρήνην παρέχειν· Πλειστοάναξ δὲ, ὑπὸ τῶν ἐχθρῶν διαβαλλόμενος περὶ τῆς καθόδου, καὶ ἐς ἐνθυμίαν τοῖς Λακεδαιμονίοις ἀεὶ προβαλλόμενος ὑπ' αὐτῶν, ὁπότε τι πταίσειαν, ὡς διὰ τὴν ἐκείνου κάθοδον παρανομηθεῖσαν ταῦτα ξυμβαίνοι. 2. τὴν γὰρ πρόμαντιν τὴν ἐν Δελφοῖς ἐπηγιῶντο αὐτὸν πεῖσαι μετὰ Ἀριστοκλέους τοῦ ἀδελφοῦ, ὥστε χρῆσαι

3. ** Τοῦ ἀκινδύνου] τῆς ἀσφαλείας. (Λουγδ.) — 4. Καὶ ὅτις ἐλάχιστα τύχῃ αὐτὸν παραδίδωσι] τῇ ἀλόγῳ φορᾷ τῆς τύχης. (λ. Αὐγ.) — 5. † Τὴν εἰρήνην παρέχειν] † ὥστο δηλονότι. (λ. Αὐγ.) — 6. ** Πλειστοάναξ δὲ] Πλειστοάναξ ὁ Παυσανίου βασιλεὺς Λακεδαιμονίων, ὃς φεύγων κάθοδον εὗρετο· ἔφευγε δὲ διὰ τό ποτε πρότερον δόξαι δῶρα παρ' Ἀθηναίων λαβὼν ἀναχωρῆσαι [ἐκ] τῆς Ἀττικῆς. (Γ.) — Διαβαλλόμενος] ἤγουν ὑβριζόμενος. (λ. Κασσ. Αὐγ.) — 7. ** Καθόδου] ἀντὶ τοῦ ἀναχωρήσεως ἀπὸ τῆς Ἀττικῆς δή. (Λουγδ.) — 8. Προβαλλόμενος] ἤγουν κατηγορούμενος. (λ. Αὐγ.) — 9. Παρανομηθεῖσαν] ἤγουν παρανόμως δοθεῖσαν αὐτῷ. (λ. Αὐγ.) — 10. Τὴν γὰρ πρόμαντιν] ἤγουν τὴν προαγορεύουσαν ἐκ μαντείας. (λ. Κασσ. Αὐγ.)

Καὶ τῷ. Gr. καὶ ἐν τῷ, non inepte.

Οὐδέν. Cod. Bas. οὐδένα.

Αὐτόν. Cass. Aug. Pal. Reg. Gr. Mosqu. αὐτόν. Cf. Farr. discr. script. „Pro τύχῃ hic debebat τῇ τύχῃ." BAU. Cf. Ind. verb. in h. v.

Ἐς ἐνθυμίαν — αὐτῶν Thom. Mag. in ἐνθυμ, ubi sic. It. Vat. cod. Bas. E. ἐς εὐθυμίαν. C. D. ἐς ἀθυμίαν. „Pol. II, 231. ἐνθυμία καὶ ἐνθύμησις [1, 132.] Θουκυδ." DUK. Cf. adnot.

Ἀεί om. Reg. (G.) *Αἰεί* rursus exarat Pal. Cf. I, 1. p. 211.

Προβαλλόμενος. Cod. Bas. a corr. προβαλλομένοις.

Τί πταίσειαν. Τί om. Reg. (G.) At vid. Valck. ad Herodot. VIII, 21.

Ξυμβαίνοι Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) F. B. C. I. E. Vind. K. m. Ar. Ald. Flor. Bas. Haack.. Bekk. Goell. Vulgo ξυμβαίνει, quod habet D., sed cum οι s. ει al. man.

2. *Πρόμαντιν.* Syllaba τιν s. v. in C. Idem statim ἐποντιῶντο.

Μετά plene pro vulg. (Haack. Bekk. Goell.) μετ' Cass. Aug. C. et fortasse plures. Cf. Farr. discr. script. ubi I. 1. p. 421. lege C. pro G. Lugd. μητ'.

Χρῆσαι Λακεδαιμονίοις.„Suid. et ex eo Phav. Χρῶσαν· τὴν χρησμωδοῦσαν. Χρῶσαν Λακεδαιμονίοις· Θουκυδίδης. Quaerendum est, ubi haec dicat Thuc. Sed dubito nonnihil, an Suidas ea male ex hoc loco de-

Digitized by Google

Λακεδαιμονίοις ἐπὶ πολὺ τάδε θεωροῖς ἀφικνουμένοις, Διὸς υἱοῦ ἡμιθέου τὸ σπέρμα ἐκ τῆς ἀλλοτρίας ἐς τὴν ἑαυτῶν ἀναφέρειν· εἰ δὲ μή, ἀργυρέᾳ * εὐλάκᾳ * εὐλάξειν. 3. χρόνῳ δὲ προτρέψαι τοὺς Λακεδαιμονίους, φεύ-

1. ** Ἐπὶ πολύ] πολλάκις. (Λουγδ.) — 2. Διὸς υἱοῦ ἡμιθέου τὸ σπέρμα] ἡμιθέου μὲν τοῦ Ἡρακλέους λέγει, σπέρμα δὲ τὸν ἀπόγονον· οὗτος δ' ἦν ὁ Πλειστοάναξ. ἀναφέρειν δὲ τὸ κατάγειν. εὐλάκαν δὲ τὴν ὕνιν Λακεδαιμόνιοι λέγουσιν· ἔνιοι δὲ, τὴν δικελλαν, ἀπὸ τοῦ * λακαίνειν *, ὃ ἔστι σκάπτειν. εὐλάξειν δὲ ἀρόσειν, τοιοῦτο δέ τι λέγει, ἀργύρεα εὐλάκα εὐλάξειν, τουτέστι λιμὸν ἔσεσθαι, καὶ πολλοῦ σφόδρα τὸν σῖτον ὠνήσεσθαι, ὥσπερ ἀργυροῖς ἐργαλείοις χρωμένους, ἔνιοι δὲ οὐ λυσιτελήσειν φασὶν αὐτοῖς τὴν γῆν γεωργεῖν, ὥσπερ εἰ ἀργυροῖς ἐργαλείοις ἐχρῶντο. — Ἐκ τῆς ἀλλοτρίας] ἤγουν ὑπερορίας. (λ. Κασσ. Αὐγ.) — 3. Ἀναφέρειν] ἀνακαλεῖσθαι. (λ. Αὐγ.) — ** Ἀργυρέαις] Ὄζει κόπρος κάκιστον ἢ βλογράφου. (Παλ.) — ** Χρόνῳ δὲ — —] ἡ σύνταξις οὕτως· χρόνῳ δὲ προτρέψαι τοὺς Λακεδαιμονίους * αὐτὸν * καταγαγεῖν τοῖς

scripserit." DUK. Cf. Abresch. Diluc. p. 502.

Ἐπὶ πολύ. Cod. Bas. ab emend. ἐπιπλεῖστον.

Τάδε. Reg. (G.) F. Lugd. Gr. τάδε εἰπεῖν. „Ex interpretatione τοῦ χρῆσαι opinor." WASS. Εἰπεῖν si probes, antea χρῶσαν legendum, cui Suid. et Phav. patrocinantur. Neque tamen nos assentimur.

Ἀφικνουμένοις. It. ἀφικναύμενος. Ar. Chr. Dan. ἀφικομένοις.

Υἱοῦ ἡμιθέου. G. I. θεοῦ ἡμιθνέου. Statim F. ἐς τῆς ἀλλ.

Ἐς Cass. Aug. Pal. F. Mosqu. Haack. Vulgo. (Bekk. Goell.) εἰς. Cf. Farr. discr. script.

Ἀργυρέᾳ. Pal. ἀργυρεαις. It. ἀργυραί. Vat. H. (quanquam posterioris accentus non appictus) ἀργυραιέ, sed H. cum ᾱ s. ῑ. Gr. ἀργύραις, B. C. D. I. E. K. ἀργυραια. Vind. m. ἀργυραίᾳ. Vulgatum tuentur Hesych. et Phav. In Reg. ἀργυρέαν.

Εὐλάκᾳ. Cl. in marg. εὐλάχᾳ. It. Vat. ενλα καί. Gr. εὐλὰ καί. H, ενλακα καί. Reg, εὔλακα. K, ενλακα, sed κ sec. man. mutatum in χ. „Huc spectat Hesych. in. v. ἀργυρέα ὕννις, qui emendandus ἀργυρέᾳ εὐλάκα pro ἀργυρέα αὔλαξ." [Verba Hesychii sunt; Ἀργυρέα ὕννις, ἢ ἀργυρέα αὔλαξ, παρὰ Θουκ. Ubi Hemsterhus, „Ego ordinem invertendum puto Ἀργυρέα αὐλάχα, ἢ ἀργυρέα ὕννις, παρὰ Θουκ. Αὐλάχα inquam; hanc enim olim variam exstitisse lectionem in Thuc. libris Hesychius satis ostendit in Αὔλαχα, ἢ ὕννις. Vomerem ita vocari non abhorret, qui sulcos ducit." Cf. Kust. ad Suid.] „Ἄροτρον male reddit Suid., et scribit εὔλαχα, quomodo et Phav. [atque Zon.]" WASS. Εὐλάκᾳ tuetur Phot. et αὔλαξ, ἄλοξ ac similia nomina —, non χ adsciscunt. De sententia vid. not.

Εὐλάξειν. Cl. in marg., It, Vat. Reg. Gr. εὐλάζειν.

3. Προτρέψαι. Dan. περιτρέψαι.

Λακεδαιμονίους. Perspicuitatis causa virgulam cum Haack. addidimus.

Digitized by Google

γοντα αὐτὸν ἐς Λύκαιον διὰ τὴν ἐκ τῆς Ἀττικῆς ποτὲ μετὰ δώρων † δόκησιν † ἀναχώρησιν, καὶ ἥμισυ τῆς οἰκίας τοῦ ἱεροῦ τότε τοῦ Διὸς οἰκοῦντα φόβῳ * τῶν * Λακεδαιμονίων, ἔτει ἑνὸς δέοντι εἰκοστῷ τοῖς ὁμοίοις χοροῖς καὶ θυσίαις καταγαγεῖν, ὥςπερ ὅτε τὸ πρῶτον, Λακεδαίμονα κτίζοντες, τοὺς βασιλέας καθίσταντο.

ιδ. Βιβλ. β'. κεφ. κα'.

ιζ'. Ἀχθόμενος οὖν τῇ διαβολῇ ταύτῃ, καὶ νομίζων ἐν εἰρήνῃ μὲν, οὐδενὸς σφάλματος γιγνομένου, καὶ ἅμα

ὁμοίοις χοροῖς καὶ θυσίαις· τὰ δὲ λοιπὰ μεταξὺ λεκτέον· ἔστι γὰρ περιβολὴ διττή. (Βασ.) — 2. Μετὰ δώρων δ.] οἱ μὲν τὴν δόκησιν ἀντὶ τοῦ δοκήσεώς φασι κεῖσθαι, διὰ τὴν ἐκ τῆς Ἀττικῆς ποτὲ μετὰ δώρων δοκήσεως ἀναχώρησιν· οἱ δὲ, τηρήσαντες τὴν δόκησιν, τὴν ἀναχώρησιν [μᾶλλον] ἀντ' ἀναχωρήσεως ἐδέξαντο· ἄλλοι δὲ τὴν δόκησιν ἐπὶ τῆς λήψεως τῶν δώρων ἔλαβον, ἵν' ᾖ, ἤτοι διὰ τὴν ἐκ τῆς Ἀττικῆς ποτὲ μετὰ δώρων λῆψιν ἀναχώρησιν· καὶ δεκτέον τοῦτο. §. ** διὰ τὴν ἀναχώρησιν ἐκ τῆς Ἀττικῆς μετὰ δόκησιν δώρων, ἀντὶ τοῦ μετὰ δωροδόκησιν, τοῦτ' ἔστι μετὰ τὸ λαβεῖν δῶρα ὑπ' Ἀθηναίων. (Λουγδ.) — Ἥμ. τῆς οἰκίας — οἰκοῦντα] ὁ Πλειστοάναξ διαφυγὼν ᾤκησεν ἐν Λυκαίῳ. τοῦ δὲ τόπου, καθ' ὃν ᾠκοδόμησε τὴν οἰκίαν, τὸ μὲν ἥμισυ ἦν ἱερὸν, τὸ δὲ ἥμισυ βέβηλον. — 4. Ἔτι ἑνὸς δέοντι] τοῦτο συντακτέον τῷ χρόνῳ δὲ προτρέψαι [ἤγουν μετὰ τὸν χρόνον τῆς προῤῥήσεως τῆς μαντείας προτρέψαι (λ. Κασσ. Αὐγ.)] τοὺς Λακεδαιμονίους· ἵν' ᾖ, χρόνῳ δὲ προτρέψαι τοὺς Λακεδαιμονίους ἑνὸς δέοντι εἰκοστῷ.

ιζ'. 7. Τῇ διαβολῇ] τῇ ὕβρει τῇ τῶν ἐχθρῶν. (λ. Κασσ. Αὐγ.)

Δόκησιν Cass. (in cuius marg. man. rec. γρ. δοκοῦσαν,) Aug. (sed hic a correct. post δοκ. voc. eras.,) Cl. (cuius marg. δοκήσεως,) F. (in cuius marg. ead. man. γρ. δοκοῦσαν ἕως,) Mosqu. m. Chr. Dan. marg. Steph. Schol. Haack. „Etiam Snidas in δώρων hic legit δώρων δόκησιν, et exponit δωροδοκίαν." DUK. It. Vat. H. E. δόκησιν ἕως, C. D. I. K. m. δόκησιν ἐς, Vind. δόκησιν εἰς, in quibus omnibus latet scriptura marg. Cl. δοκήσεως, quae placuit Benedicto et Goell. Vulgo (Bekk. Goell.) δοκοῦσαν. Cf. adnot.

Οἰκίας. E. οἰκείας.

Φόβῳ τῶν. Cass. Aug. Pal. F. m. Ar. Ald. Flor. Bas. Steph. 1. Schol. in cap. Haack. Bekk. Goell. φόβῳ τῷ. At c. 11. φόβῳ τῶν Ἀθηναίων. I, 26. δέει τῶν Κερκυραίων.

Ἔτει Vat. cod. Bas. D. E. Mosqu. Ar. Chr. Dan. Reisk. Haack. Bekk. Goell. et rec. man. Reg. ac m., denique in marg. Gr. Vulgo inepte ἔτι.

Τὸ πρῶτον. Cass. τό om., ut videtur. Comma ante τὸ πρ. posuit Haack. Postrema syllaba voc. κτίζοντες in G. s. v.

Cap. XVII. *Νομίζων*. Apud Duk. male hic, non post μέν interpungitur. Omnis autem haec paragr. ad anteced. caput pertinet.

Digitized by Google

τῶν Λακεδαιμονίων τοὺς ἄνδρας νομιζομένους, κἂν αὐτὸς τοῖς ἐχθροῖς ἀνεπίληπτος εἶναι, πολέμου δὲ παθεστῶτος, ἀεὶ ἀπάγκην εἶναι τοὺς προῦχοντας ἀπὸ τῶν ξυμφορῶν διαβάλλεσθαι, προὐθυμήθη τὴν ξύμβασιν.

(§. Σπονδαὶ τῶν Λακεδαιμονίων καὶ Ἀθηναίων, ιη'—κ'. Ὁ τρόπος, ὃν ἐγένοντο.)

2. Καὶ τὸν τε χειμῶνα τοῦτον ἦεσαν ἐς λόγους, καὶ πρὸς τὸ ἔαρ ἤδη· παρασκευή τε προεπανεσείσθη ἀπὸ τῶν Λακεδαιμονίων, περιαγγελλομένη κατὰ πόλεις ὡς ἐπὶ τειχισμόν, ὅπως οἱ Ἀθηναῖοι μᾶλλον ἐσακούοιεν· καὶ ἐπειδὴ ἐκ τῶν ξυνόδων, ἅμα πολλὰς δικαιώσεις προενεγ-

2. Ἀνεπίληπτος εἶναι] μὴ ἂν αὐτὸς * παρέξειν * κατηγορίας ἀφορμὴν, [προὐθυμήθη τὴν ξύμβασιν.] — 5. Ἦεσαν ἐς λόγους] ἀλλήλοις δηλονότι. (λ. Ἀὐγ.) — 6. Παρασκευή τε προεπανεσείσθη] [ἡ πολεμικὴ παρασκευὴ (λ. Ἀὐγ.)] προηπειλήθη. — 7. Ὡς ἐπὶ τειχισμόν] ὡς μελλόντων φρούρια ἐπιτειχίσειν ἐν τῇ Ἀττικῇ τῶν Λακεδαιμονίων. §. ** ἵνα τειχίζωσι τὰ ἑαυτῶν χωρία. (Λουγδ.) — 9. Ἐκ τῶν συνόδων] ἐπειδὴ συνερχόμενοι οἱ Ἀθηναῖοι καὶ οἱ Λακεδαιμόνιοι, καὶ ἐπιζητοῦντες κατὰ τὸ δίκαιον παρ' ἀλλήλων τινὰ[ς], συνέβησαν. — Δικαιώσεις] αἰτήματα δίκαια. (λ. Ἀὐγ.) — Προενεγκόντων] προβαλόντων. (λ. Ἀὐγ.)

Αὐτὸς. Gr. αὐτοῖς. C. αὐτοῖ. Pro κἂν cod. Bas. καί.

Ἀνάγκην. It. Vat. ἀνάγκη. Ante πολέμου vulgo male colon. Pro ἀεί Pal. rursus αἰεί.

Προὐθυμήθη. C. I. προὐθυμήθαι, sed I. η s. ει.

2. Καὶ πρός. Καί om. E, Pro πρός Reg. (G.) ἐς. Distinctio post ἤδη apud Bekk. de. Sed ratio, qua particulae τέ — καί in τόν τε χειμ. — καὶ πρὸς τὸ ἔαρ positae sunt, minus permittit, ut posteriora ad προεπανεσ. referamus.

Προεπανεσείσθη. Masqu. προανεσείσθη.

Περιαγγελλομένη. C. D. περιαγγελομένη. E. περιαγαλλομένη. Vind. περιαγγελομένην.

Ὡς ἐπὶ τειχισμόν Gr. Haack. Bekk. Goell. Vulgo ὡς ἐπιτειχισμόν. „Ὡς nominibus locorum [at vid. adnot. ad I, 50.] et hominum apud omnes apponitur pro ad [de profectione ad al.] An sic quoque dici possit ὡς ἐπιτειχ., *ad munitiones extruendas*, mihi non liquet. In scriptura cod. Gr. nulla haesitatio est.“ DUK. Exspectes quidem cum Abresch. ἐπιτειχισμόν ob I, 122. 144., ideoque coniicias ὡς ἐς ἐπιτειχισμόν. Cf. Schol. Sed simplex τειχισμός de obsidione paranda legitur etiam VIII, 34. Virgulam Bred. ante ὡς poni vult, et post ἔαρ. plene interpungit.

Μᾶλλον s. v. H., om. Vat.

Ξυνόδων cod. Bas. Haack. Vulgo (Bekk. Goell.) συνόδων.

Digitized by Google

νόντων ἀλλήλοις, ξυνεχωρεῖτο ἅστε, ἃ ἑκάτεροι πολέμῳ ἔσχον, ἀποδόντας τὴν εἰρήνην ποιεῖσθαι, Νίσαιαν δ' ἔχειν Ἀθηναίους· (ἀνταπαιτούντων γὰρ Πλάταιαν, οἱ Θηβαῖοι ἔφασαν οὐ βίᾳ, ἀλλ' ὁμολογίᾳ, αὐτῶν προσ-
5 χωρησάντων, καὶ οὐ προδόντων, ἔχειν τὸ χωρίον· καὶ οἱ Ἀθηναῖοι τῷ αὐτῷ τρόπῳ τὴν Νίσαιαν·) τότε δὴ παρακαλέσαντες τοὺς ἑαυτῶν ξυμμάχους οἱ Λακεδαιμό-
329. νιοι, καὶ ψηφισαμένων, πλὴν Βοιωτῶν, καὶ Κορινθίων, καὶ Ἠλείων, καὶ Μεγαρέων, τῶν ἄλλων ὥστε καταλύε-
10 σθαι, (τούτοις δὲ οὐκ ἤρεσκε τὰ πρασσόμενα,) πριοῦνται τὴν ξύμβασιν, καὶ ἐσπείσαντο πρὸς τοὺς Ἀθηναίους καὶ ὤμοσαν, ἐκεῖνοί τε πρὸς τοὺς Λακεδαιμονίους, τάδε.

(Αἱ σπονδαὶ αὗται.)

ιή. „Σπονδὰς ἐποιήσαντο Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι κατὰ τάδε, καὶ ὤμοσαν κατὰ

3. Ἀνταπαιτούντων γάρ] τῶν Ἀθηναίων. (λ. Αὐγ.) — 4. Ἀλλ' ὁμολογίᾳ] ἐκουσίῳ θελήματι. (λ. Αὐγ.) — 5. Ἔχειν τὸ χωρίον] τὴν Πλάταιαν. (λ. Αὐγ.) — 6. Τὴν Νίσαιαν] ἀπὸ κοινοῦ τὸ ἔχειν. — 10. ** Τούτοις δὲ οὐκ — —]

Προστροφὴν γίνωσκε τὸ σχῆμα τόδε·
τὸ δ' αὖ σκοτεινὸν καὶ περίξυλον λόγου
ἄλλοις παρεὶς ῥήτορσιν αἰνεῖν ἀσκόπως,
τίς ἱστορούντων ἀκριβὴς κανών, μάθε·
σφρὴς μὲν ὄγκου, καὶ ταχὺς, πειθοῦς γέμων,
τοῦτον χρεὼν δ' ἦν τῆς δρυὸς καὶ τοῦ ξύλου
υἱὸν καλεῖσθαι, τὸν ξυλουργοῦντα λόγοις,
ῥυ τὸν μελιχρὸν Ἡρόδοτον ἐν τοῖς λόγοις. (Παλ.)

Cf. I. 1. p. 209, cum Farr. discr. script.

Θηβαῖοι. Gr. B. *Ἀθηναῖοι*, sed alterum Gr. in marg. Cf. ad VI, 95. Parenthesis notas verbis *ἀνταπαιτ.* — *Νίσαιαν* primus addidit Bauer., ut a *τότε δή* apodosis incipiat.

Αὐτῶν. E. *αὐτῷ.*

Προσχωρησάντων. Cod. Bas. *προχωρ.*

Ἠλείων. B. *Ἠλίων.*

Τῶν ἄλλων. Mosqu. *καὶ ἄλλων.*

Πρὸς τοὺς Ἀθην. — *ἐκεῖνοί τε* ob repetitum *πρὸς τούς* om. Gr. „Interpunctionem correximus commate fixo post *ὤμοσαν*, quum vulgo post *Ἀθην.* vel plene vel minus plene interpungeretur, unde factum est, ut interpretes non haberent, quo referrent *τέ*. Item post *Λακεδ.* comma posui, ut *τάδε* melius cum antecc. verbis iungatur." HAACK. post Abresch.

Digitized by Google

πόλεις. 2. περὶ μὲν τῶν ἱερῶν τῶν κοινῶν, θύειν, καὶ ἰέναι, καὶ μαντεύεσθαι, καὶ θεωρεῖν κατὰ τὰ πάτρια τὸν βουλόμενον, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν, ἀδεῶς. τὸ δ' ἱερὸν καὶ τὸν νεὼν τὸν ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος καὶ Δελφοὺς αὐτονόμους εἶναι, καὶ αὐτοτελεῖς, καὶ αὐτοδίκους καὶ αὐτῶν καὶ τῆς γῆς τῆς ἑαυτῶν, κατὰ τὰ πάτρια. 3. ἔτη δὲ εἶναι τὰς σπονδὰς πεντήκοντα Ἀθηναίοις καὶ τοῖς ξυμμάχοις τοῖς Ἀθηναίων, καὶ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις τοῖς Λακεδαιμονίων, ἀδόλους καὶ ἀβλαβεῖς, καὶ κατὰ γῆν καὶ κατὰ θάλασσαν.

κη'. 2. Θεωρεῖν] Θεωροὺς πέμπειν. (λ. Ἀὐγ.) — 5. Αὐτονόμους εἶναι] ἦγουν τοῖς καθ' αὐτοὺς νόμοις χρωμένους. (λ. Κασσ. Αὐγ.) — Αὐτοτελεῖς] αὐτοτελεῖς αὐτοὺς καὶ μὴ ἄλλοις συντελοῦντας. — 6. Αὐτοδίκους] αὐτόδικοι ἄνθρωποι οἱ [παρ' αὐτοῖς δίκας διδόντες καὶ λαμβάνοντες, καὶ μὴ ὑπ' ἄλλων κρινόμενοι, (Κασσ. Αὐγ.)] ἐν αὐτοῖς τὴν διαφορὰν δίκῃ λύοντες, καὶ μὴ μετάγοντες αὐτὴν εἰς ὑπερορίους ἀνθρώπους. — 10. Ἀβλαβεῖς — ὅπλα δὲ — —]

Σπονδὰς μὲν ἐξώρκωσαν ἀβλαβεῖς μένειν,
ὅπλα φέρειν δὲ μηδαμῶς ἔστω, λέγειν
Τζέτζης σολοικίζουσιν ἐντάττει λόγοις·
οὐκ ἀττικισμὸς τοῦτο· γράφειν.
οὕτω γράφων δὲ σοῖς περιστρόφοις λόγοις
πέφευγας ὅσον κρίνειν σε τεχνικῶς θέλει.
πηλὸς λιθουργῶν συγκαλύπτει φαυλίαν,
γραφῆς σκότος δὲ τοὺς σολοίκους τῶν λόγων. (Παλ.)

CAP. XVIII. *Πόλεις.* Ante Haack. hic virgula duntaxat interpungebatur.

2. *Περὶ μέν. Μέν* om. C. I.

Νεών. K. *νεόν.*

Αὐτονόμους. F. *δικους* habet s. *νομους* aut hic, aut sic ut paulo post pro *αὐτοδίκους* nostrum praebeat.

Αὐτῶν. Cass. Pal. Reg. Gr. Chr. Ald. Flor. Bas. *αὐτῶν.*

Τῆς ἑαυτῶν om. F., solum *τῆς* om. Gr. D. Pro *ἑαυτῶν* Aug. rursus *αὐτῶν.* Mire interpretatur Valla: *et ipsos uti suis legibus, vectigalibus, iudiciis, sua denique terra.* Fortasse verba *καὶ αὐτῶν* non legit, quae in Pal. rec. man. inserta.

3. *Τοῖς Ἀθηναίων.* Reg. (G.) Lugd. cod. Bas. C. D. I. Mosqu. *τῶν Ἀθηναίων.* Gr. *τῶν Λακεδαιμονίων Ἀθηναίων*, sed punctis subscriptis notata. K. *τοῖς Ἀθηναίοις*, sed corr. *Ἀθηναίων.* In Cass. et H. *τοῖς Ἀθ. καὶ Λακ. καὶ τ. ξ.* de., sed in Cass. deinde in marg. adscr.

Καὶ Λακεδαιμονίοις. Gr. *καὶ τοῖς Λακεδ.*

Τοῖς Λακεδαιμονίων. Cl. Reg. (G.) cod. Bas. D. E. Vind. K. Ar. Chr. Dan. *τῶν Λακεδαιμονίων.*

Καὶ κατὰ γῆν om. C. D. E. K. Ab al. man. habet I.

Digitized by Google

4. ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν ἐπὶ πημονῇ, μήτε Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους ἐπ' Ἀθηναίους καὶ τοὺς ξυμμάχους, μήτε Ἀθηναίους καὶ τοὺς ξυμμάχους ἐπὶ Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους, μήτε τέχνῃ μήτε μηχανῇ μηδεμιᾷ· ἢν δέ τι διάφορον ᾖ πρὸς ἀλλήλους, * δικαίῳ * χρήσθων καὶ ὅρκοις, καθότι ἂν ξύνθωνται. 5. ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Ἀμφίπολιν. ὅσας δὲ πόλεις παρέδοσαν Λακεδαιμόνιοι Ἀθηναίοις, ἐξέστω ἀπιέναι ὅποι ἂν βούλωνται, αὐτοὺς καὶ τὰ ἑαυτῶν ἔχοντας· τὰς δὲ πόλεις, φε-

5. *Πρὸς ἀλλήλους*] ἦγουν *Λακεδαιμονίους καὶ Ἀθηναίους*. (λ. *Αὐγ.*) — 6. *Δίκαις*] ἤγουν *κρίσει δικαίᾳ*. (λ. *Αὐγ.*) — 8. ** *Ὅσας δὲ πόλεις*]

Τὸ σὸν σκοτεινὸν καὶ τὸ τοῦ βιβλογράφου
† Χαρυβδίαν δίαν † ἐξεγείρουσιν λόγους.
λοιπὸν τὰ πολλὰ σῶν περιτρέχων λόγων,
τὰ συμφανῆ σύμπασιν ἐγγράψω μόνα·
σὲ γὰρ σολοικίζοντα πικρὸν δεικνύειν. (*Παλ.*)

10. *Φερούσας τὸν φόρον*] *διδούσας τὸ ἐτήσιον τέλος*. (λ. *Αὐγ.*)

4. *Ἐξέστω* s. v. habet H., nec tamen suspectum putamus.

Ἐπιφέρειν. Mosqu. *φέρειν*. In Vat. de.

Μήτε Λακεδαιμονίους. Hinc lacuna ad *καὶ τοὺς ξυμμ. μήτε τέχνῃ* in E.

Ἐπ' Ἀθηναίους. K. (hic a pr. man.) Ar. Chr. *ἐπ' Ἀθήνας*. In Reg. (G.) *ἐπ' Ἀθ. καὶ τ. ξ.* de.

Μήτε Ἀθην. κ. τ. ξ. Hinc lacuna ad *μήτε τέχνῃ* in D.

Ἢν δὲ — Ἀμφίπολιν. „Thom. Mag. in *χρήσθων*, intermissis vocibus *καὶ ὅρκ. κ. ἂν ξ.* et *καὶ οἱ ξύμμ.*" WASS.

Δέ τι. Chr. Dan. *δέ τι καί*. Ar. *δέ που καί*. Statim Mosqu. *διάφορον*. Tum I. *ἦν* pro *ᾖ*.

Δικαίῳ. Reg. (G.) F. cod. Bas. Gr. Ar. marg. Steph. Schol. Haack. et in marg. man. rec. Cass. *δίκαις*. „*Δίκαις* huic loco magis convenire videtur quam *δικαίῳ*. Et Thucydides etiam alibi *δίκην*, *δίκας* et *διάφορα* coniungit, I, 78. *τὰ δὲ διάφορα δίκῃ λύεσθαι*. Et I, 140. *εἰρημένον γὰρ δίκας μὲν τῶν διαφόρων ἀλλήλοις διδόναι καὶ δέχεσθαι*." DUK. „Nolim quidquam mutari. Quidni Thucydides, licet semel vel raro, diceret *iure utuntor* (*δικαίῳ*) pro *iudicio* (*δίκαις*) *disceptanto*?" GOELL.

Ξύνθωνται. Pal. *ξυνθῶνται*. At vid. I. 1. p. 228. sq. et Ephemm. Hall. a. 1826. p. 520.

5. *Ὅσας δέ*. *Δέ* a man. rec. in Pal.

Ὅποι. Cl, D. I. E. *ὅπῃ*.

Βούλωνται Cass. Aug. Pal. It. Vat. D. I. E. Vind. m. Ar. Chr. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Goell. et ex emend. Gr. Vulgo soloece *βούλονται*.

Φερούσας. C. Vind. Mosqu. K. Ar. Chr. Dan. *τὰς φερούσας*, quod Valla expressit, male, quum ad praedicatum pertinent partici-

Digitized by Google

ρούσας τὸν φόρον τὸν ἐπ' Ἀριστείδου, αὐτονόμους εἶναι· ὅπλα δὲ μὴ ἐξέστω ἐπιφέρειν Ἀθηναίους μηδὲ τοὺς ξυμμάχους ἐπὶ κακῷ, ἀποδιδόντων τὸν φόρον, ἐπειδὴ αἱ σπονδαὶ ἐγένοντο. εἰσὶ δὲ Ἄργιλος, Στάγειρος, Ἄκανθος, Σκῶλος, Ὄλυνθος, Σπάρτωλος. ξυμμάχους δ' εἶναι μηδετέρων, μήτε Λακεδαιμονίων μήτε Ἀθηναίων· 330. ἢν δὲ Ἀθηναῖοι πείθωσι τὰς πόλεις, βουλομένας ταύτας ἐξέστω ξυμμάχους ποιεῖσθαι αὐτοὺς Ἀθηναίους. 6. Μηκυβερναίους δὲ, καὶ Σαναίους, καὶ Σιγγαίους, οἰκεῖν

1. Τὸν ἐπ' Ἀριστείδου] ταχθέντα δηλονότι. (λ. Ἀὺγ.) — ** Ἀριστείδαν] τοῦ στρατηγήσαντος ἐν Πλαταιαῖς ἐπὶ τῶν Μηδικῶν, τοῦ κληθέντος δικαίου, τοῦ υἱοῦ Λυσιμάχου. (Ἀὺγ.) — 2. Ὅπλα δὲ μὴ ἐξέστω —] ἐὰν ἀποδιδῶσι τὸν φόρον οἱ σύμμαχοι τοῖς Ἀθηναίοις, ὅπλα μὴ ἐπιφερέτωσαν αὐτοῖς οἱ Ἀθηναῖοι μετὰ τὰς σπονδάς. — 3. Ἐπὶ κακῷ] τῶν πόλεων. (λ. Ἀὺγ.) — Ἀποδιδόντων τὸν φόρον] τῶν ἀνθρώπων τῶν ἐν ταῖς πόλεσι. (λ. Ἀὺγ.)

pium. „*Ita liberas agere, ut tamen tributum pendant.*“ BAU.

Μηδέ. Vat. *μήτε.* Etiam in H. *τέ* s. *δέ.*

Ἀποδιδόντων. F. Mosqu. *τῶν μὴ ἀποδιδόντων*, male.

Τὸν φόρον. Mosqu. om. *τόν.* Tum I. *ἐγέγοντο*, sed in marg. *ἐγένοντο.*

Εἰσὶ δέ. Vulgo *εἰσὶ δὲ αἵδε*, sed *αἵδε* om. Cass. Aug. Cl. Pal. Vat. H. Lugd. D. I. E. m. Ar. (quanquam in hoc ex alicuius emend. reponitur,) Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Bened. Haack. Mirum est igitur a Bekk. et Goell. revocari potuisse, licet etiam c. 23. et apud Xenoph. saepissime ab interpretibus inculcatum sit. Cf. Praef. Cyr. p. XXXI. Gr. aucta interpretatione *εἰσὶ δὲ αἱ πόλεις αἵδε.*

Σπάρτωλος. Mosqu. *Σπάρτελος.* At vid. I. 2. p. 359.

Μηδετέρων. Gr. Mosqu. *μηδ' ἑτέρων.*

Μήτε Λακεδαιμονίων μήτε Ἀθηναίων. Gr. *μήτε Ἀθηναίων μήτε Λακεδαιμονίων.* Cam. vulgato ordine servato post alterum *μήτε* addit *μήν.*

Ἢν δὲ Ἀθηναῖοι. I. *οἱ δὲ Ἀθην.*, in marg. *ἦν.* B. C. *οἱ δ' Ἀθην.*

Ἀθηναίους. Pal. *Ἀθηναίους.* Quod leviter confirmare videatur Haackii suspicionem hoc vocabulum ab interpretibus profectum coniicientis, qui sane non potuissent dativo uti. Sed in foederum formulis elegantia posthabita soli perspicuitati studeri ipse intellexit. Adde I. 1. p. 165.

6. *Μηκυβερναίους.* Mosqu. *Μηκυβερνίους.* Valla *Cyvernaeos.* At vid. Steph. Byz.

Σιγγαίους. Cass. Bas. *Συγγαίους.* Pal. Reg. (G.) Gr. *Σιγγέους.* Mosqu. *Σιγγέους.* „*Σίγγοι, πόλις περὶ τὸν Ἄθων*, [in Sithonia. Vid. I. 2. p. 366.] Steph.“ DUK. Idem Steph.: *τὸ ἐθνικὸν Σίγγιος — καὶ Σιγγαῖος* (vulgo *Συγγ.*) Apud Thuc. *καὶ Σιγγ.* om. B.

Οἰκεῖν. C. *οἰκα* (*ειν* s. *ᾱ* eras.) *τα.* Valla negationem simul invenit; nam interpretatur: *Non*

Digitized by Google

τὰς πόλεις τὰς ἑαυτῶν, καθάπερ Ὀλύνθιοι καὶ Ἀμάνθιοι. 7. ἀποδόντων δὲ Ἀθηναίοις Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι Πάνακτον· ἀποδόντων δὲ καὶ Ἀθηναῖοι Λακεδαιμονίοις Κορυφάσιον, καὶ Κυθηρα, καὶ Μεθάνην, καὶ † Πτελεὸν †, καὶ Ἀταλάντην, καὶ τοὺς ἄνδρας ὅσοι εἰσὶ Λακεδαιμονίων ἐν τῷ δημοσίῳ τῷ Ἀθηναίων, ἢ ἄλλοθί που ὅσης Ἀθηναῖοι ἄρχουσιν ἐν δημοσίῳ, καὶ τοὺς ἐν Σκιώνῃ πολιορκουμένους Πελοποννησίων ἀφεῖναι, καὶ τοὺς ἄλλους ὅσοι Λακεδαιμονίων ξύμμαχοι ἐν Σκιώνῃ εἰσὶ, καὶ ὅσους Βρασίδας ἐξέπεμψε, καὶ εἴ τις τῶν ξυμμάχων τῶν Λακεδαιμονίων ἐν Ἀθήναις ἐστὶν ἐν τῷ δημοσίῳ, ἢ ἄλλοθί που ἧς Ἀθηναῖοι ἄρχουσιν ἐν δημο-

2. Ἀποδόντων] ἀποδότωσαν. (λ. Λύγ.) — 4. Κορυφάσιον] τὴν Πύλον λέγει. — 6. Ἐν τῷ δημοσίῳ] ἐν τῷ δεσμωτηρίῳ. (λ. Λύγ.)

tamen Cyvernaeos — suas ipsorum urbes incolere.

Πόλεις τάς om. Cam. Post Ἀκάνθιοι Valla inepte addit Lacedaemonii ac socii.

7. Ἀποδόντων δέ. Δέ om. Mosqu., qui καὶ Λακεδ. habet.

Οἱ ξύμμαχοι. Οἱ om. B. C.

Ἀθηναῖοι. Vulgo οἱ Ἀθην., sed οἱ om. Cass. Aug. Pal. Vat. H. Reg. (G.) F. Gr. B. C. D. I. E, Vind. K. m. Ar. Chr. Ald. Flor. Bas. Haack. Bekk. Goell. et correctus fortasse It.

Πτελεόν. Nomen vix sanum; nam nec Thessaliae nec Asiae Pteleum, de quibus vid. I. 2. p. 452., hic locum habet. Neque aptius videtur Πτελεὸν τῶν παραθαλαττίων Ἀχαιῶν, quod Steph. Byz. addit; nam ne id quidem ad societatem Laconicam pertinebat:

Τῷ Ἀθηναίων Cass. Aug. Pal. Reg. Vind. Benéd. Haacke. Vulgo (Bekk. Goell.) non deterius τῶν Ἀθηναίων. Nostrum probat Wass. in Praef. et Schaef. Mell. critt. p. 8. Similes dubitationes oriuntur c. 28. 28.

Ὅσης. Cass. cod. Bas. ὅσοις. Sed „γῆς per synesin latet in ἄλλοθι, i. e. ἐν ἄλλῃ χώρᾳ.“ BAU. E. ὅσα.

Καὶ τοὺς ἐν — ἄρχουσιν ἐν δημοσίῳ om. E. ob repetitum ἐν δημοσίῳ, sed in marg. restituta. Ante καὶ vulgo (et Haack.) male comma.

Πολιορκουμένους. Reg. (G.) καθημένους.

Ἐν Σκιώνῃ. Ar. ἐν τῇ Σκιωνῃ.

Ὅσους. E. in marg. ὅσοι, sed ους s. οι.

Ἐξέπεμψε. D. ἐξέπεμψε. Ante Bekk. sequebatur colon.

Τῶν ξυμμάχων. Τῶν de. Gr.

Ἀθήναις. Cass. Ἀθηναίοις.

Ἢ ἄλλοθι — ἐν δημοσίῳ om. Cass., qui in marg. supplet, et a pr. man. Aug. Pro ἄλλοθί που Mosqu. ἄλλο δή που.

Ἐν δημοσίῳ. Mosqu. ἐν τῷ δημοσίῳ.

Digitized by Google

σίφ. ἀποδόντων δὲ καὶ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι σύστινας ἔχουσιν Ἀθηναίων καὶ τῶν ξυμμάχων, κατὰ ταὐτά. 8. Σκιώναίων δὲ, καὶ Τορωναίων, καὶ Σερμυλίων, καὶ εἴ τινα ἄλλην πόλιν ἔχουσιν Ἀθηναῖοι, Ἀθηναίους βουλεύεσθαι περὶ αὐτῶν καὶ τῶν ἄλλων πόλεων ὅ τι ἂν δοκῇ αὐτοῖς. 9. ὅρκους δὲ ποιήσασθαι Ἀθηναίους πρὸς Λακεδαιμονίους καὶ τοὺς ξυμμάχους κατὰ πόλεις. ὀμνύντων δὲ τὸν ἐπιχώριον ὅρκον ἑκάτεροι τὸν μέγιστον ἐξ ἑκάστης πόλεως. ὁ δ' ὅρκος ἔστω ὅδε, „Ἐμμενῶ ταῖς ξυνθήκαις καὶ ταῖς σπονδαῖς ταῖσδε δικαίως καὶ ἀδόλως." ἔστω δὲ Λακεδαιμονίοις καὶ τοῖς ξυμμάχοις κατὰ ταὐτὰ ὅρκος πρὸς Ἀθηναίους. 10. τὸν δὲ ὅρκον ἀνανεοῦσθαι κατ' ἐνιαυτὸν ἀμφοτέρους. στήλας δὲ στῆσαι Ὀλυμπίασι, καὶ Πυθοῖ, καὶ † Ἰσθμῷ †, καὶ [ἐν]

2. Κατὰ ταὐτά] ἤγουν κατὰ τὴν ὁμοίαν συμφωνίαν. (λ. Αὐγ.) — 8. Τὸν μέγιστον] ἤγουν τὸν ἰσχυρότατον. (λ. Αὐγ.)

Ἀποδόντων. H. I. ἀποδόντες. D. ἀποδιδόντων.

Δὲ καί. Καί om. Lugd.

Λακεδαιμόνιοι. Vat. H. D. (non C., quem Bekk. nominat,) I. Mosqu. οἱ Λακεδ.

Οὕστινας. Reg. (G.) cod. Bas. Gr. εἴ τινας.

8. Δοκῇ. Mosqu. δοκῶ.

9. Ποιήσασθαι. Valla in interpretatione futurum posuit. Ante Mosqu. ὅρκους et mox ὅρκον.

Ἑκάτεροι. om. D. Antea Vind. ὁμοσσάντων.

Ἐμμενῶ ex Fr. Porti coniectura reposuit Goell. [Vulgo (Haack. Bekk.) ἐμμένω.] „Frustra, reclamantibus codd. Et ita noster etiam p. 347. [c. 47]" WASS. „Porti coniecturam ne id quidem defendit, quod posterius laudato loco sequitur καὶ οὐ παραβήσομαι. Nam praesens cum futuro iungitur et alibi." HAACK. Vid. I. 1. p. 274. Et in infinitivo praesens post iurandi verba frequens est; sed id ipsum qui firmat Schaeferus ad Eur. Med. v. 751. Pors., quum in indicativo hic et c. 47. ferre nolit, in re tenuissima dissentire a viro praestantissimo noluimus.

Καὶ ταῖς σπονδαῖς s. v. al. man. E.

Κατά. Cass. Aug. Vat. Lugd. καὶ κατά.

Ταὐτά Reg. Haack. Bekk. Goell., et supra recte ita omnes. Hic vulgo ταῦτα.

10. Ὀλυμπίασι Haack. Goell. Vulgo (et Bekk.) Ὀλυμπιάσι. Pal. Ὀλυμπιᾶσι. Cf. ad I, 130. et 143.

Ἰσθμῷ. „Ἐν Ἰσθμῷ. Ἰσθμοῖ." AE. PORP. „Veram puto coniecturam Porti Ἰσθμοῖ: nam sic et alii scriptores. Lucian. de Gymnas. p. 272. et Neron. p. 802." DUC. Consentiunt Haack. et Goell. Cf. Buttm. Gr. II. p. 275.

Καὶ ἐν Ἀθήναις. Ἐν om. Cass. Aug. Cl. Pal. It. Vat. H. F. Gr. C. D. I. E. Vind. Mosqu. K., et uncis inclusit Haack. „Fort. legendum καὶ Ἀθήναις ἐν πόλει

Ἀθήναις ἐν πόλει, καὶ ἐν Λακεδαίμονι ἐν Ἀμυκλαίῳ. 11. *εἰ δέ τι ἀμνημονοῖεν ὁπότεροιοῦν καὶ * ὅτου * πέρι, λόγοις δικαίοις χρωμένοις εὔορκον εἶναι ἀμφοτέροις ταύτῃ μεταθεῖναι ὅπῃ ἂν δοκῇ ἀμφοτέροις, Ἀθηναίοις καὶ Λακεδαιμονίοις.*"

4. *Ὅπῃ ἂν δοκῇ*] *ἤγουν ὡς ἂν δοκῇ.* (λ. *Αὐγ.*)

καὶ Λακ. ἐν Ἀμυκλ. At c. 23. ad eundem modum locutus est." WASS. *Καὶ Ἀθήνησιν* praebet Reg. (G.), ut c. 25. 47. „Mallem quidem *Ἰσθμοῖ καὶ Ἀθήνησι*, si unus et alter probatus liber addiceret. Quum refragentur omnes, scripsi *καὶ Ἰσθμῷ καὶ Ἀθήναις ἐν πόλει*, etsi sequitur *ἐν Λακεδαίμονι ἐν πόλει* et iterum c. 23. ut hic vulgo." HAACK. Praepositionem (quam Bekk. et Goell. servarunt,) omitti posse deinde verbis *ἐν Δελφοῖς καὶ Ὀλυμπίᾳ* I, 121. demonstrare infelicissime conatus est. Utilius conferes not. ad I, 73. et Matth. Gr. §. 405. 8. b.

Ἀμυκλαίῳ. Reg. (G.) Gr. *Ἀμυκλέῳ*, sed in Reg. (G.) *αῖ* int. vers. scriptum. D. I. *Ἀμικλαίῳ.* Cf. c. 23.

Ὁποτεροιοῦν. Reg. (G.) Gr. *καὶ ὁπότεροι οὖν.*

Λυσάντων. Cod. Bas. *κωλυσάντων.* Cam. marg. Steph. *καταλυσάντων.* „In Cass. man. rec. int. vers. scribitur *ἤγουν καταλυσάντων.* Unde apparet scripturam, quae in marg. et Cam. est, ex interpretatione esse.“ DUK.

Αὐτοῖς τοῖς. *Τοῖς* om. Ar. Chr. Dan. *Τῶν* pro eo habet C., *τόν* D., *τοῦ* I., postremus tamen in marg. *τοῖς.*

Λεπρεάταις. Reg. (G.) *Ασπριάταις.*

Τάλαντον. B. Vind. K. Chr. Dan. Ald. Flor. Bas. marg. 1. Steph. *τάλαντα.* Marg. 2. *τάλανταν.* Cam. *τάλαντα ν'.* „Thom. Mag. (in *ἀποφέρεσθαι*) *τάλαντον* legit. Fort. rescribendum *τάλαντα ν'.* Tale mendum Alexandrini Clementis Codices inquinat Strom. I, 141. *Ἀσαμάν* pro *Ἀσά μά.*“ WASS. „Apparet talentorum numerum deesse, quamvis ingens ille (*ν'*) videatur, et fieri possit ut corruptus sit.“ CAMERAR. Nos vulgatam tenemus.

Ἔταξαν. D. I. male *ἐτάξαντο.*

Τῷ Διὶ Cass. Aug. Cl. Pal. It. Vat. G. cod. Bas. Gr. C. D. I. E. Vind. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo *τῷ* de. „Recte *τῷ Διὶ τῷ Ὀλ.* et sic Thom. Mag. in *ἀποφέρεσθαι*, quomodo c. 53. *τοῦ Ἀπόλλωνος τοῦ Πυθέως.* Vid. et p. 39. [I, 13.] 59. [II, 16.] et 127. [III, 104.]“ WASS. Cf. I, 103. III, 96. et Krueg. de Authent. Anab. p. 61. *Δία τὸν Ὀλύμπιον* tamen III, 14.

Ἀποφέρειν. H. *ἐκφέρειν*, sed *ἀπό* s. *ἐκ.* „Thom. l. d. *ἀποφέρειν καὶ ἀποφορὰ τὰ παρὰ τῶν ἡττόνων τοῖς μείζοσι παρεχόμενα χρησά.* Vid. Vales. ad notas Manssaci in Harpocrat. v. *ἀποφορά.* Pro *χρηστά* Ammonius melius, quam Thomas, *χρήματα.*“ DUK.

3. *Μέχρι.* F. Lugd. *μέχρι μέν.*

Ἀττικοῦ πολέμου. Hinc ad proximum *πολέμου* lacuna in I., suppl. in marg.

Ἐπηνάγκαζον. Mosqu. *ἐπήνεγκαζον.* I. *ἐπηνέγκαζον*, cum *α* s. *ε.* Pal. *ἐπηνάγκαζον.*

Τὰς Λακεδαιμονίους. C. I. *αὐτοὺς Λακεδαιμονίους.*

Δίκης. Mosqu. Ar. Chr. *τῆς δίκης.* At vid. c. 41, 2.

Τοῖς Λακεδαιμονίοις. Chr. *τῶν Λακεδαιμονίων.*

Ἐπιτραπείσης. Reg. (G.) et a pr. man. Gr. *ἐπιτραπήσης.* Mox Pal. *ἴσον.* At vid. I. 1. p. 214.

Digitized by Google

ἴσον ἔξειν, ἀνέντες τὴν ἐπιτροπὴν, Λεπρεατῶν τὴν γῆν ἔτεμον. 4. οἱ δὲ Λακεδαιμόνιοι οὐδὲν ἧσσον ἐδίκασαν αὐτονόμους εἶναι Λεπρεάτας, καὶ ἀδικεῖν Ἠλείους· καὶ, ὡς οὐκ ἐμμεινάντων τῇ ἐπιτροπῇ, φρουρὰν ὁπλιτῶν ἐξέπεμψαν ἐς Λέπρεον. 5. οἱ δὲ Ἠλεῖοι, νομίζοντες πόλιν σφῶν ἀφεστηκυῖαν δέξασθαι τοὺς Λακεδαιμονίους, καὶ τὴν ξυνθήκην προφέροντες, ἐν ᾗ εἴρητο, ἃ ἔχοντες ἐς τὸν Ἀττικὸν πόλεμον καθίσταντό τινες, ταῦτα ἔχοντας καὶ ἐξελθεῖν, ὡς οὐκ ἴσον ἔχοντες ἀφίστανται πρὸς τοὺς Ἀργείους· καὶ τὴν ξυμμαχίαν, ὥσπερ προείρητο, καὶ οὗτοι ἐποιήσαντο. 6. ἐγένοντο δὲ καὶ οἱ Κορίνθιοι εὐθὺς μετ' ἐκείνους, καὶ οἱ ἐπὶ Θράκης Χαλκιδῆς, Ἀρ-

1. Ἀνέντες τὴν ἐπιτροπήν] [ἀντὶ τοῦ] παυσάμενοι τοῦ ἐπιτρέψαι τὴν δίκην Λακεδαιμονίοις. — 2. Ἔτεμον] ἐδήουν. (λ. Ἀὐγ.) — Οὐδὲν ἧσσον] ἀντὶ τοῦ ἐπίσης. (λ. Ἀὐγ.) — 4. Ἐμμεινάντων] τῶν Ἠλείων δηλονότι. (λ. Ἀὐγ.) — Τῇ ἐπιτροπῇ] τῆς δίκης δηλονότι. (λ. Κασσ. Ἀὐγ.) — 5. Πόλιν] τὸ Λέπρεον. (λ. Ἀὐγ.) — 6. Σφῶν] τῶν Ἠλείων. (λ. Ἀὐγ.) — 7. Ξυνθήκην] ξύμβασιν. (λ. Ἀὐγ.) — 9. Καὶ ἐξελθεῖν] τοῦ πολέμου. (λ. Ἀὐγ.) — Ἴσον] τὸ δίκαιον. (λ. Ἀὐγ.) ** διότι τὴν αὐτῶν πόλιν εἶχον Λακεδαιμόνιοι ληφθέντος πολέμου. (Λουγδ.) — 11. Ἐγένοντο δὲ καὶ οἱ Κορίνθιοι] σύμμαχοι δηλονότι. (λ. Ἀὐγ.) — 12. Μετ' ἐκείνους] τοὺς Ἠλείους δηλονότι.

Ἀνέντες τὴν ἐπιτροπήν. „Omisso articulo citat Etym. [in ἐπιτροπή]" WASS. Add. not.

Ἔτεμον. Vat. ἔτεμνον.

4. Οἱ δέ. Vat. οὐδέ. Mox G. ἧσσον.

Ἐξέπεμψαν. Gr. ἔπεμψαν. Antea Mosqu. ὁπλητῶν, et Pal. φρουρᾶν.

Λέπρεον. I. Λέπρεσον. E. Δηπραν πεντήκοντα.

5. Πόλιν om. D. I.

Σφῶν. D. I. σφῶν αὐτῶν.

Προφέροντες. E. προσφέροντες. Deinde Lugd. εἴρηται.

Ἔχοντας. F. Lugd. ἔχοντες. Post ἐξελθ. apud Duk. male colon. Post Ἀργ. vulgo punctum, apud Bekk. comma.

Προείρητο. Reg. (G.) προήρητο. Valla *praedictum est*, quasi προείρηται legerit. At vid. §. 1.

Καὶ οὗτοι. Καὶ om. B., et ante Haack. uncis includebatur. At significat *sicut Mantinenses* c. 29.

6. Ἐγένοντο δὲ καί. Καί om. Gr. Ald. Flor. ed. Bas. (non item cod. Bas.), et olim sicut praecedens uncis notabatur, quos sustulit Haack.

Χαλκιδῆς Pal. H. C. K. m. Bekk. Goell. Vulgo (et Haack.) Χαλκιδεῖς et mox Μεγαρεῖς. Aug. utrobique terminationem ῆς habet. Cf. I. 1. p. 221. cum Farr. discr. script.

Digitized by Google

γείων ξύμμαχοι. Βοιωτοὶ δὲ καὶ Μεγαρῆς τὸ αὐτὸ λέγοντες, ἡσύχαζον, περιορώμενοι ὑπὸ τῶν Λακεδαιμονίων, καὶ νομίζοντες σφίσι μὴν Ἀργείων δημοκρατίαν, αὐτοῖς ὀλιγαρχουμένοις, ἧσσον ξύμφορον εἶναι τῆς Λακεδαιμονίων πολιτείας.

(7. Ἀθηναῖοι Σκιώνην μὲν αἱροῦσι, Δηλίους δὲ κατάγουσι. πόλεμος Φωκέων καὶ Λοκρῶν. §. α'. β'. 8. Κορίνθιοι οὔτε Τεγεάτας οὔτε Βοιωτοὺς οἷοί τε ἐγένοντο ἐς τὴν Ἀργείων ξυμμαχίαν ἐξαγαγεῖν.)

λβ'. Περὶ δὲ τοὺς αὐτοὺς χρόνους τοῦ θέρους τούτου Σκιωναίους μὲν Ἀθηναῖοι ἐκπολιορκήσαντες, ἀπέκτειναν τοὺς ἡβῶντας, παῖδας δὲ καὶ γυναῖκας ἠνδραπόδισαν, καὶ τὴν γῆν Πλαταιεῦσιν ἔδοσαν νέμεσθαι· Δηλίους δὲ κατήγαγον πάλιν ἐς Δῆλον, ἐνθυμούμενοι 10
πάς τε ἐν ταῖς μάχαις ξυμφορὰς, καὶ τοῦ ἐν Δελφοῖς θεοῦ χρήσαντος.

2. Καὶ Φωκῆς καὶ Λοκροὶ ἤρξαντο πολεμεῖν.

1. Τὸ αὐτὸ λέγοντες] τὴν αὐτὴν γνώμην ἔχοντες.
λβ'. 7. Ἐκπολιορκήσαντες] ἡττον ἑλόντες καὶ δουλώσαντες ἐκ πολιορκίας. (λ. Ἀνγ.) — 12. Χρήσαντος] [τὸ] κατάγειν δηλονότι Δηλίους. — 13. Ἦρξαντο πολεμεῖν] πρὸς ἀλλήλους δηλονότι. (λ. Ἀνγ.)

Βοιωτοὶ δὲ καὶ, Καὶ om, Vat. Mox Λακεδαιμ. sollicitat Levesqu. Cf. adnot.

Τὴν Ἀργείων. C. I. τὸν Ἀργείων.

Αὐτοῖς om. C, D. I. E. K. (in quo s. v.) m. Ar. Chr. Dan. Comma in ed. Lips, est post αὐτοῖς, sed Benedicto iubente transposuit Haack.

Πολιτείας. F, εἶναι πολιτείας.

CAP. XXXII. Περὶ δὲ τοὺς αὐτοὺς — νέμεσθαι: „Dion. Hal. I. II. p. 143. [p. 858.] περὶ δὲ τοὺς αὐτοὺς χρόνους τούτους Σικυωνίους Ἀθην., sed corrupte.“ WASS. Δέ om. Vat.

Σκιωναίους. Vat. Σμωναίους, ex inutili correct. Mox F. ἠνδραπόδησαν.

Ἔδοσαν. F, Lugd. marg. Steph. Dion. Hal. ἔδωκαν, in hoc numero contra morem Thucydidis, quanquam non Atticorum omnium. Cf. Xen. Cyr. I, 5, 5. (dub.) IV, 6, 12. Ind. Anab. in διδόναι et Buttm. Gr. max. §. 107. adnot. 15. Cod. Bas, ἐδόκαν.

Ἐνθυμούμενοι. „Poll. II, 231, tanquam e Thuc. citat ἐνθυμιζόμενοι τὰς ἐν τῇ μάχῃ συμφοράς. Vid. ibi Iungerm.“ DUK. Cf. adnot. ad VII, 18. Ταῖς om. F. Ξυμφορᾶς scribit Pal., ξυμφοραῖς I.

Θεοῦ χρήσαντος. F. θεοῦ χρ. κατάγειν Δηλίους. Ar. κατάγειν θεοῦ χρήσαντος. Alius κατάγειν Δηλίους θεοῦ χρ. Ex Schol.

2. Φωκῆς Pal. Bekk. Goell. Vulgo Φωκεῖς. Plerique libri et

Digitized by Google

3. Καὶ Κορίνθιοι καὶ Ἀργεῖοι, ἤδη ξύμμαχοι ὄντες, ἔρχονται ἐς Τεγέαν, ἀποστήσοντες Λακεδαιμονίων, ὁρῶντες μέγα μέρος ὂν, καὶ, εἰ σφίσι προςγένοιτο, νομίζοντες ἅπασαν ἂν ἔχειν Πελοπόννησον. 4. ὡς δὲ οὐδὲν ἂν ἔφασαν ἐναντιωθῆναι οἱ Τεγεᾶται Λακεδαιμονίοις, οἱ Κορίνθιοι, μέχρι τούτου προθύμως πράσσοντες, ἀνεῖσαν τῆς φιλονεικίας, καὶ ὠῤῥώδησαν μὴ οὐδεὶς σφίσιν ἔτι τῶν ἄλλων προςχωρῇ. 5. ὅμως δὲ ἐλθόντες ἐς τοὺς Βοιωτοὺς, ἐδέοντο σφῶν τε καὶ Ἀργείων γίγνεσθαι ξυμμάχους, καὶ τἄλλα κοινῇ πράσσειν· τάς τε δεχημέρους ἐπισπονδὰς, αἳ ἦσαν Ἀθηναίοις καὶ Βοιωτοῖς πρὸς ἀλλή-
338. λους οὐ πολλῷ ὕστερον γενόμεναι τούτων τῶν πεντηκονταετίδων σπονδῶν, ἐκέλευον οἱ Κορίνθιοι τοὺς Βοιωτοὺς, ἀκολουθήσαντας Ἀθήναζε, καὶ σφίσι ποιῆσαι,

3. Μέγα μέρος ὂν] τῆς Πελοποννήσου. (λ. Αὐγ.) — Προςγένοιτο] προςκτηθείη. (λ. Αὐγ.) — 4. Οὐδὲν ἂν] ἤγουν οὐκ ἄν. (λ. Αὐγ.) — 5. Ἐναντιωθῆναι] ἐναντίοι γενέσθαι. (λ. Αὐγ.) — 6. Ἀνεῖσαν τῆς φιλονεικίας] ἀπέστησαν τῆς μάχης. (λ. Αὐγ.) — 8. Ἐλθόντες] οἱ Κορίνθιοι. (λ. Αὐγ.) — 14. † Ποιῆσαι] † λείπει τὸ ἠξίουν.

Haack, Φωκεῖς. Cf. I, 1, p. 221. et 474.

3. Καὶ Κορίνθιοι. Καί om. D. I.

Τεγέαν. Vulgo (Haack. Bekk, Goell.) Τέγεαν. Nec aliter c. 62. 64. bis (ubi semel apud Bekk, Τεγέα,) 74. 76. At vid. Additam. ad Luci. D. D. „Solum Τέγεα proparoxytonon putatur; melius tamen id quoque παροξύνεται, Eustath. p. 271. 86.“ GOETTL. de Accent. §. 21. I. c.

Ἀποστήσοντες. Vind. ἀποστήσονται. Marg. Steph. ἀποστήσοντες αὐτήν.

Ἂν ἔχειν. Pal. ἀνέχειν.

4. Δὲ οὐδέν. I. δ' εν, in marg. οὐδέν. D. om. δέ.

Τεγεᾶται Haack, Bekk, Goell, Vulgo Τεγεάται.

Φιλονεικίας. I. φειλονεικίας.

Σφίσιν. K. φησίν.

Προςχωρῇ. Cass. Pal. It. Vat. H. Reg. (G.) Lugd. προςχωρεῖ. C, D, I. προςχωρεῖν, I. cum ῃ s. ει.

5. Καὶ Ἀργείων. It. H. G. F. κἀργείων, quae crasis in prosa oratione non est ferenda.

Τἄλλα, Chr. ἄλλα. Bekk., ut solet, τἆλλα.

Τάς τε. Reg. τὰς δέ.

Βοιωτοῖς. Cod. Bas. τοῖς Βοιωτοῖς.

Πολλῷ. F. πολλα.

Τούτων τῶν. Τῶν om. Dan. Potius τούτων deesse velis, quum eae σπονδαί, quae c. 23. expositae sunt, intelligantur. Male Valla *post alia quadraginta annorum.*

Πεντηκονταετίδων. Gr. male πενταετίδων. De forma cf. Lob. ad Phryn. p. 407.

Ἀκολουθήσαντας. C. I. ἀκολουθήσαντες, I. cum ες s. ας. Prae-

Digitized by Google

ὥσπερ Βοιωτοὶ εἶχον, μὴ δεχομένων δὲ Ἀθηναίων, ἀπειπεῖν τὴν ἐκεχειρίαν, καὶ τὸ λοιπὸν μὴ σπένδεσθαι ἄνευ αὐτῶν. 6. Βοιωτοὶ δὲ, δεομένων τῶν Κορινθίων, περὶ μὲν τῆς Ἀργείων ξυμμαχίας ἐπισχεῖν αὐτοὺς ἐκέλευον· ἐλθόντες δὲ Ἀθήναζε μετὰ Κορινθίων, οὐχ εὗρον τὰς δεχημέρους σπονδάς· ἀλλ' ἀπεκρίναντο οἱ Ἀθηναῖοι Κορινθίοις εἶναι σπονδὰς, εἴπερ Λακεδαιμονίων εἰσὶ ξύμμαχοι. 7. Βοιωτοὶ μὲν οὖν οὐδὲν μᾶλλον ἀπεῖπον τὰς δεχημέρους, ἀξιούντων καὶ αἰτιωμένων Κορινθίων ξυνθέσθαι σφίσι· Κορινθίοις δὲ ἀνακωχὴ ἄσπονδος ἦν πρὸς Ἀθηναίους.

(9. Λακεδαιμονίων στρατεία ἐς Παῤῥασίους, οὓς ἐλευθεροῦσι.)

Ὀλ. πθ'. ἔτ. γ'. πρὸ δ'. Χρ. υκα'.

λγ'. Λακεδαιμόνιοι δὲ τοῦ αὐτοῦ θέρους πανδημεὶ ἐστράτευσαν, Πλειστοάνακτος τοῦ Παυσανίου, Λακεδαιμονίων βασιλέως, ἡγουμένου, τῆς Ἀρκαδίας ἐς Παῤῥασίους, Μαντινέων ὑπηκόους ὄντας, κατὰ στάσιν ἐπικα-

9. Ἀξιούντων καὶ αἰτιωμένων Κορινθίων] ἠτιῶντο οἱ Κορίνθιοι δηλονότι τοὺς Βοιωτοὺς, ὅτι συνέθεντο αὐτοῖς ἀπειπεῖν τὰς πρὸς Ἀθηναίους σπονδάς.

λγ'. 15. Ἐπικαλεσαμένων] τῶν Παῤῥασίων. (λ. Λύγ.)

cedentem virgulam addidimus; aliter etiam post Ἀθήν. abiicienda. Post εἶχον apud Duk. punctum.

Ἀπειπεῖν. Mosqu. ἀναπειπεῖν.

6. Ἀργείων. Marg. Steph. Ἀργείας. Vid. ad c. 30, 4.

Ἐλθόντες. E. ἐλθόντων, sed ες per correct. Idem mox οὐχ εὗρ(ον s. v.) τάς.

Κορινθίοις. E. Bas. Κορινθίους, sed E. cum οις s. ους.

Εἰσί. Pro hoc C. D. I. οἱ.

7. Αἰτιωμένων. D. αἰτουμένων. Sed recte Portus: *quamvis Corinthii hoc flagitarent, et cum expostulatione dicerent ita inter se convenisse*, sive, ut Bauer interpretatur, *et obiicerent Boeotis, quod ita pacti essent, nec tamen efficerent*, Valla tamen cum D. *postulantibus atque flagitantibus*, sicut αἰτοῦνται καὶ δέονται Xen. Anab. VI, 6, 31. et similia multa apud Latinos.

Ξυνθέσθαι. Dan. ξυνθέσεως.

Κορινθίοις γάρ. Cod. Bas. ex emend. Κορινθίοις δέ.

Cap. XXXIII. Πανδημεί. C. πανδημί. Cf. de Art. crit. p. 154.

Ἀρκαδίας. Reg. (G.) Ἀρκαδίους. K. Ἀκαρδίας.

Ἐς. m. Ar. Chr. Dan. ἐπί. E. K. solum s, sed E. cum ττι s. v.

Παῤῥασίους. Reg. (G.) Σπαρασίους. C. Πτασίους.

Μαντινέων. Reg. (G.) Μαντιναίων (sed ε s. αι G.) Deinde ἀποίκους pro ὑπηκόους cod. Bas. ex emend.

Ὄντας in marg. habet I.

Digitized by Google

λεσαμένων σφᾶς, ἅμα δὲ καὶ τὸ ἐν Κυψέλοις τεῖχος ἀναιρήσοντες, ἢν δύνωνται, ὃ ἐτείχισαν Μαντινῆς, καὶ αὐτοὶ ἐφρούρουν, ἐν τῇ Παῤῥασιακῇ κείμενον, ἐπὶ τῇ Σκιρίτιδι τῆς Λακωνικῆς. 2. καὶ οἱ μὲν Λακεδαιμόνιοι τὴν γῆν τῶν Παῤῥασίων ἐδῄουν· οἱ δὲ Μαντινῆς, τὴν πόλιν Ἀργείοις φύλαξι παραδόντες, αὐτοὶ τὴν ξυμμαχίαν ἐφρούρουν· ἀδύνατοι δ' ὄντες διασῶσαι τό τε ἐν Κυψέλοις τεῖχος καὶ τὰς ἐν Παῤῥασίοις πόλεις, ἀπῆλθον. 3. Λακεδαιμόνιοι δὲ, τούς τε Παῤῥασίους αὐτονόμους ποιήσαντες, καὶ τὸ τεῖχος καθελόντες, ἀνεχώρησαν ἐπ' οἴκου.

(10. *Τρόπος*, ὃν οἱ *Λακεδαιμόνιοι* τούς τε μετὰ *Βρασίδου Εἵλωτας* μαχεσαμένους καὶ τοὺς ἐκ *Σφακτηρίας* αἰχμαλώτους διέθεσαν.)

λδ'. Καὶ τοῦ αὐτοῦ θέρους ἤδη ἡκόντων αὐτοῖς τῶν ἀπὸ Θρᾴκης μετὰ Βρασίδου ἐξελθόντων στρατιωτῶν, οὓς ὁ Κλεαρίδας μετὰ τὰς σπονδὰς ἐκόμισεν, οἱ Λακεδαιμόνιοι ἐψηφίσαντο τοὺς μὲν μετὰ Βρασίδου Εἵλωτας μαχεσαμένους ἐλεύθερους εἶναι, καὶ οἰκεῖν ὅπου ἂν βού- ἰδὲ κεφ. κά.

1. Σφᾶς] τοὺς *Λακεδαιμονίους*. (λ. *Λύγ.*) — 3. *Αὐτοί*] οἱ *Μαντινεῖς*. — ** *Αὐτοὶ ἐφρούρουν*] οἱ *Παῤῥάσιοι*· ἦτοι τοὺς *Παῤῥασίους*, οἳ ἦσαν ἐν *Κυψέλῳ*. (*Βασ.*) — *Κείμενον ἐπὶ τῇ Σκ.*] ἐπιτετειχισμένον ὥστε βλάπτειν τὴν Σκιρῖτιν. — 6. ** *Τὴν ξυμμαχίαν*] τὰς † ξυμμαχίας † πόλεις. (*Λουγδ.*)

Δὲ καὶ. Καὶ om. Ar. Chr. Dan.

Κυψέλοις. Mosqu. *Κυψέλλοις*, et sic rursus infra. At vid. I. 2. p. 186. sqq.

Ἀναιρήσοντες. G. *ἀναιρήσοντες*. Marg. Steph. *καθαιρήσοντες*, quod sane de munitionibus evertendis longe usitatius est, ac statim sequitur §. 3. Nostrum tamen redit c. 77.

Μαντινῆς hic et paulo post Pal. Bekk. Goell. Vulgo *Μαντινῆς*. Plerique libri *Μαντινεῖς*. Cf. I. 1. p. 221. et 472.

Παῤῥασιακῇ. K, m. *Παρασκῇ*. It. Vat. *παρασκευῇ*.

Σκιρίτιδι. E. Ar. Chr. Dan. *Σκιριτίδι*. At vid. I. 2. p. 200.

2. *Τῶν Παῤῥασίων*. *Τῶν* om. D. Mosqu. Dan.

Δ' ὄντες. *Δ'* s. v. I. Statim Pal. rursus *διασῶσαι*.

Cap. XXXIV. *Τοὺς μέν*. *Τούς* s. v., sed ead. man. G. Proximum *μετά* om. E.

Εἵλωτας. m. *Εἵλωτας*. Cf. adnot. ad I, 101.

Digitized by Google

λωσται· καὶ ὕστερον οὐ πολλῷ αὐτοὺς μετὰ τῶν Νεοδαμωδῶν ἐς Λέπρεον κατέστησαν, κείμενον ἐπὶ τῆς Λακωνικῆς καὶ τῆς Ἠλείας, ὄντες ἤδη διάφοροι Ἠλείοις· 2. τοὺς δὲ ἐκ τῆς νήσου ληφθέντας σφῶν, καὶ τὰ ὅπλα παραδόντας, δείσαντες μή τι διὰ τὴν ξυμφορὰν νομίσαντες ἐλασσωθήσεσθαι, [καὶ] ὄντες ἐπίτιμοι, νεωτερίσωσιν, ἤδη καὶ ἀρχάς τινας ἔχοντας, ἀτίμους ἐποίησαν, ἀτιμίαν δὲ τοιάνδε, ὥστε μήτε ἄρχειν, μήτε πριαμένους 339. τι ἢ πωλοῦντας κυρίους εἶναι· ὕστερον δὲ αὖθις χρόνῳ ἐπίτιμοι ἐγένοντο. 10

λδ'. 1. *Μετὰ τῶν Νεοδαμ.*] μετὰ τῶν ἐκ τῶν Εἱλώτων ἐλευθέρων. §. ** νέων πολιτῶν. (*Λουγδ.*) — 4. *Ἐκ τῆς νήσου*] τῆς Πύλου. (*λ. Ἀὐγ.*) — *Τὰ ὅπλα παραδόντας*] τότε ἐν τῇ μάχῃ πρὸς Ἀθηναίους. (*λ. Ἀὐγ.*) — 8. *Μήτε πριαμένους τι ἢ πωλοῦντας κυρ. εἶν.*] ἤγουν μὴ εἶναι κυρίους ἢ πρίασθαι ἢ πωλεῖν. (*λ. Ἀὐγ.*) — 10. *Ἐπίτιμοι*] ἤγουν ἔντιμοι. (*λ. Ἀὐγ.*)

Καὶ ὕστερον. Haec ad *Ἠλείοις* genus quoddam parenthesis efficiunt; itaque saltem cum Haack. et Bekk. post *βούλ.* et *Ἠλείοις* minus plene interpungendum erat, ut *τοὺς μὲν — τοὺς δὲ* ad se referantur.

Νεοδαμωδῶν Cass. Aug. Cl. Pal. Reg. Gr. Vind. Ar. Chr. Haack. Vulgo (Bekk. Goell.) *Νεοδαμώδων.* „Omnia in ης exeuntia genitivum pluralem habent in ων perispomenon," BAUER. Fallitur quidem, de omnibus si loquitur; vid. Buttm. Gr. max. §. 49. adnot. 5. Goettl. ad Theod. p. 224. et de Accent. §. 84. I.; in nostro tamen non videmus, cur a libris recedamus. C. *Νεαμάδων.*

Ὄντες s. v. ead. man. I.

Τῆς Λακωνικῆς καὶ τῆς Ἠλείας. Malis *τῇ Λακωνικῇ καὶ τῇ Ἠλείᾳ*, ut modo c. 33. *κείμενον — ἐπὶ τῇ Σκιρίτιδι* et passim. Valent verba *in confiniis Lacon. et El.*

Ἤδη s. v. ead. man. I.

Ἠλείοις. Mosqu. *Ἠλίοις.* K. *Ἠλε* (*ι* al. man.) *οις.*

2. *Τοὺς δέ. Δέ* plene Cass. Aug. Pal. H. Reg. (G.) F. Gr. C. I. K. Mosqu. m. Ar. Chr, pro vulg. *δ'*. Cf. Farr. discr. script.

Ἐκ τῆς νήσου. Mosqu. *ἐν τῇ νήσῳ.* At vid. I. 1. p. 177. Solum *νήσου* sine *ἐκ τῆς* habet Gr.

Ἐλασσωθήσεσθαι. F. *ἐλαττωθήσεσθαι.*

Ὄντες ἐπίτιμοι νεωτερίσωσιν. „Laudat [praefixo *μή* ex antecedd.] Thom. Mag. in *ἐπίτιμος.*" DUK. Cod. Bas. *ἐπὶ τιμῇ.* I. *νεωτερήσ.*, sed *ῑ s. η̄.* Quod ante *ὄντες* legitur *καί*, non agnoscit haec Vallae interpretatio: *veriti ne propter calamitatem acceptam illi, opinantes suam imminutam esse* (debebat saltem dicere *imminutum iri*) *conditionem, aliquid molirentur rerum novarum, si honoribus uterentur.* Cf. adnot.

Ἢ πωλοῦντας om. Vind.

Χρόνῳ om. Gr. „At rectius alibi. Vid. I, 8. et VI, 3." WASS. „Sic III, 85. IV, 21. V, 5." DUK.

Digitized by Google

(11. Θύσσορ αἱρεῖναι. §. α'. 12. Τροφίμι καὶ διαφοραὶ Ἀθηναίων καὶ Λακεδαιμονίων· μένει γε μέντοι ἡσυχία.)

λε'. Τοῦ δ' αὐτοῦ θέρους καὶ Θύσσον τὴν ἐν τῇ Ἄθῳ * Διῆς * εἷλον, Ἀθηναίων οὖσαν ξύμμαχον.

2. Καὶ τὸ θέρος τοῦτο πᾶν ἐπιμιξίαι μὲν ἦσαν τοῖς Ἀθηναίοις καὶ Πελοποννησίοις, ὑπώπτευον δὲ ἀλλήλους αὐθὶς μετὰ τὰς σπονδὰς οἵ τε Ἀθηναῖοι καὶ [οἱ] Λακεδαιμόνιοι κατὰ τὴν τῶν χωρίων ἀλλήλοις οὐκ ἀπόδοσιν. 3. τὴν γὰρ Ἀμφίπολιν πρότεροι λαχόντες οἱ Λακεδαιμόνιοι ἀποδιδόναι καὶ τὰ ἄλλα, οὐκ ἀποδεδώκεσαν· οὐδὲ τοὺς ἐπὶ Θρᾴκης παρεῖχον ξυμμάχους τὰς σπονδὰς δεχομένους, οὐδὲ Βοιωτούς, οὐδὲ Κορινθίους, λέγοντες ἀεὶ ὡς μετ' Ἀθηναίων τούτους, ἢν μὴ θέλωσι, κοινῇ

ιδ' κεφ. κά'.

λε'. 1. ** Ἐν τῇ Ἄθῳ] ἐν τῷ Ἄθῳ. (Ald.) — 3. ** Ἐπιμιξίαι] ὁμιλίαι, συνήθειαι. (Λουνδ.) — 6. Κατὰ τὴν τῶν χωρίων — —], διὰ τὸ ἀλλήλοις μὴ ἀντακοδιδόναι τὰ χωρία.

Mox ἐγένετο in uno incerto Par. s. v., sed ead. man.

Cap. XXXV. Θύσσον. It. Θῦσσον. Ar. et Gr. ex emend. Θᾶσσον. Mosqu. Θάσον. At vid. I, 2. p. 364.

Τῇ Ἄθῳ. Mosqu. Ar. Chr. Dan. τῷ Ἄθῳ. „Quod, ne inconstantiae arguatur Thucyd., probandam censet Benedictus. Equidem libenter sequerer, nisi his ipsis codd., quorum tenuior fides est, lectio alioqui bona quodammodo de correctione suspecta fieret." HAACK. Cf. I. 1. p. 103.

Διῆς Goell. cum Gatterero. Vid. I. 2. p. 365. Vulgo (Haack. et sine ῑ subscr. Bekk.) Δικαιδιῆς. Cass. Aug. Vat. Reg. (G.) Gr. Δικτηδίης, Lugd. cum gloss. ἡ εὐθεῖα Δικτηδιεύς. Pal. Δικτηδὶ ἧς. E. in marg. Δικτυδιῆς. C. D. I. m. et s. v. K. (Vall.) Δικτυδιεῖς. Mosqu. Δικτιδιεῖς. Plane om. Ar. Chr. Dan., primo tamen in marg. adscr. al. man. Quum tamen Dienses IV, 109. fideles manserint Atheniensibus, et demum V, 82. ab iis defecisse narrentur, nos malimus Χαλκιδῆς sive οἱ (quod in Δι latet), Χαλκιδῆς.

2. Οἱ Λακεδαιμόνιοι. Artic. ex Cass. Aug. Cl. Vat. Reg. (G.) Gr. addidit Haack. Ex corr. aut s. v. habent H. K. m. Rursus om. Bekk. et Goell., ut videtur, recte. Vid. c. 39. et adnot. ad I, 71. Hinc lacuna usque ad proximum Λακεδ. in I.

Τὴν τῶν. Τήν om. D. I., τῶν om. cod. Bas. E. (de quo falsa scribit Bekk.) et Dan.

Ἀπόδοσιν. Dan. ἀποδίδοσιν.

3. Καὶ τὰ ἄλλα. Καί om. Ar. Chr. Pro τἆλλα Gr. Bekk. Goell. τἄλλα (nisi quod Bekk. τἆλλα), fortasse recte. Cf. I. 1. p. 214. Mox Pal. rursus αἰεί. Cf. ibid. p. 211.

Τὰς σπονδάς. Τάς om. cod. Bas.

Ὡς om. It.

Digitized by Google

ἀναγκάσουσι· χρόνους τε προὔθεντο ἄνευ ξυγγραφῆς, ἐν οἷς χρῆν τοὺς μὴ ἐξιόντας ἀμφοτέροις πολεμίους εἶναι. 4. τούτων οὖν ὁρῶντες οἱ Ἀθηναῖοι οὐδὲν ἔργῳ γιγνόμενον, * ὑπετόπευον * τοὺς Λακεδαιμονίους μηδὲν δίκαιον διανοεῖσθαι· ὥστε οὔτε Πύλον ἀπαιτούντων αὐτῶν ἀπεδίδοσαν, ἀλλὰ καὶ τοὺς ἐκ τῆς νήσου δεσμώτας μετεμέλοντο ἀποδεδωκότες, τά τε ἄλλα χωρία εἶχον, μένοντες ἕως σφίσι κἀκεῖνοι ποιήσειαν τὰ εἰρημένα. 5. Λακεδαιμόνιοι δὲ τὰ μὲν δυνατὰ ἔφασαν πεποιηκέναι· τοὺς γὰρ παρὰ σφίσι δεσμώτας ὄντας Ἀθηναίων ἀποδοῦναι, καὶ τοὺς ἐπὶ Θρᾴκης στρατιώτας ἀπαγαγεῖν, καὶ εἴ του ἄλλου ἐγκρατεῖς ἦσαν· Ἀμφιπόλεως δὲ οὐκ ἔφασαν κρατεῖν, ὥστε παραδοῦναι· Βοιωτοὺς δὲ πειράσεσθαι καὶ

Τὰ ἀπὸ τοῦ Προὔθεντο σχόλια

1. *Προὔθεντο*] ἔταξαν. — *ξυγγραφῆς*] συμφωνίας γεγραμμένης. — 2. *Ἐξιόντας*] εἰς τὰς σπονδάς. — 4. *Γιγνόμενον*] ἀντὶ τοῦ πραττόμενον. — 7. *Ἄλλα χωρία εἶχον*] τῶν Λακεδαιμονίων οἱ Ἀθηναῖοι. — 8. *Εἰρημένα*] τεταγμένα.

Ἀναγκάσουσι Gr. D. Haack. Bekk. Goell. Vulgo soloece *ἀναγκάσωσι*. „Ὡς nisi [*si non*] consilium seu finem significat, sed est loco τοῦ ὅτι, nunquam cum coniunctivo iungitur." HAACK. Plenam interpunctionem correxit Bekk.

Χρόνους τε. Gr. *χρόνους δέ*.

Χρῆν. C. D. I. *ἐχρῆν*. At vid. ad I, 39. E. *χρή*.

Τοὺς μή. Reg. (G.) *καὶ τοὺς μή*.

Ἐξιόντας. C. D. I. E. Vind. K. *ἐπιόντας*, nisi quod in E. *ες* s. *εσ* et in K. *π* correctum in *ς*. Sic c. 30. *οὐκ ἐξιόντες ἐς τὰς Ἀθηναίων σπονδάς*, et ita alibi.

Πολεμίους. Lugd. *πολεμίοις*.

4. *Ἔργῳ*. Gr. D. I. *ἔργον*.

Ὑπετόπευον Cass. Aug. It. Vat. H. Reg. cod. Bas. K. marg. Steph. Bekk. Goell. Vulgo (et Haack.) *ὑπώπτευον*, sicut §. 2. Vind. *ὑπεπτώκευον*. E. Ar. Chr. *ὑπεπώπτευον*. Nusquam alibi *ὑποτοπεύειν* dicit Thucyd., quam verbi formam Schneideri Lexicon ignorat, Passowii, nescimus unde, habet, sed modo *ὑποτοπεῖν* scribit, modo *ὑποπτεύειν*. Vid. Ind. Verb. Placet igitur *ὑπετόπουν*. Mox ante *ὥστε* vulgo punctum, apud Bekk. comma.

Αὐτῶν om. D. I. E. Ar. Chr. Dan., et potest deesse.

Ἀπεδίδοσαν. H. D. I. *ἀπέδοσαν*. At vid. ad IV. 23.

Ἐκ τῆς. C. *ἐκ τούς*, sed a sec. man. *τῆς*. Mox Vind. K. *δεσμώτας*. tum H. F. D. I. Vind. *μετεμέλοντο*. Post *ἀποδεδ.* vulgo (et apud Haack.) male colon; *τέ* in *τά τε* ad *οὔτε* refertur.

Μένοντες. Mosqu. *μένοντας*.

5. *Λακεδαιμόνιοι δέ*. Vat. H. *Λακεδ. μέν*, sed H. *δέ* s. v.

Πεποιηκέναι a sec. man. C.

Καὶ εἰ. Aug. *εἰ καί*.

Εἴ του. D. I. *εἴ τι*, I. tamen in marg. *εἴ του*.

Βοιωτοὺς δέ. *Δέ* om. It. Vat. H.

Digitized by Google

Κορινθίους ἐς τὰς σπονδὰς ἐσαγαγεῖν, καὶ Πάνακτον ἀπολαβεῖν, καὶ Ἀθηναίων ὅσοι ἦσαν ἐν Βοιωτοῖς αἰχμάλωτοι, κομιεῖν. 6. Πύλον μέντοι ἠξίουν σφίσιν ἀποδοῦναι· εἰ δὲ μή, Μεσσηνίους * τε * καὶ τοὺς Εἵλωτας ἐξαγαγεῖν, ὥσπερ καὶ αὐτοὶ τοὺς ἀπὸ Θρᾴκης, Ἀθηναίους δὲ φρουρεῖν τὸ χωρίον αὐτούς, εἰ βούλονται. 7. πολλάκις δὲ καὶ πολλῶν λόγων γενομένων ἐν τῷ θέρει τούτῳ, ἔπεισαν τοὺς Ἀθηναίους ὥστε ἐξαγαγεῖν ἐκ Πύλου Μεσσηνίους καὶ τοὺς ἄλλους Εἵλωτάς τε καὶ ὅσοι ηὐτομολήκεσαν ἐκ τῆς Λακωνικῆς· καὶ κατῴκισαν αὐτοὺς ἐν Κρανίοις τῆς Κεφαλληνίας. 8. τὸ μὲν οὖν θέρος τοῦτο ἡσυχία ἦν καὶ ἔφοδοι παρ' ἀλλήλους.

12. Ἡσυχία ἦν] ἀπραξία πολέμου. — Καὶ ἔφοδοι παρ' ἀλλήλους] ἐπιμιξίαι. τοῦ κεφαλ. τοῦδε λ. Ἀγ.

Καὶ Κορινθίους. *Καί* om. cod. Bas.

Ἐσαγαγεῖν. D. I. ἐπαγαγεῖν. At nostro supra respondent ἐξιέναι et ἐξελθεῖν. Cod. Bas. solum ἀγαγεῖν habet.

Πάνακτον. Reg. Πανακτόν. At vid. I. 2. p. 261.

6. Πύλον. Vind. Πόλον.

Μεσσηνίους. Lugd. Gr. C. D. E. Mosqu. K. Ar. Chr. *Μεσηνίους* hic et iidem, vel saltem plerique eorum, etiam paulo post. At vid. I. 2. p. 531. et Bekk. ad I, 101. Statim Reisk. Bekk. Goell. γέ pro τέ sane probabiliter. Nam quanquam Messenii commode ab Helotis sic distingui posse videantur, ut sint *Μεσσήνιοι οἱ ἐκ Ναυπάκτου*, quos Pylum praesidium misisse IV, 41. audivimus, tamen, quod §. 7. *Μεσσηνίους καὶ τοὺς ἄλλους Εἵλωτας* legimus, et ipsae, quae antecedunt, particulae *εἰ δὲ μή* commendant γέ.

Καὶ τούς. Vat. καὶ τά.

Τοὺς ἐπί. Cod. Bas. τοὺς ἀπό.

Ἐξαγαγεῖν. I. ἐγαγεῖν, cum nostro in marg.

Αὐτούς. Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) F. K. marg. Steph. αὐτοῖς, quod nec de Lacedaemoniis nec de Atheniensibus (αὐτοῖς) intellectum videtur probari posse.

Βούλονται. Gr. βούλωνται, sed corr. βούλονται.

7. Πύλου. Nonnulli Parr., si Gailium recte intelligimus, Πύλοι. Cod. Bas. τῆς Πύλου.

Ὅσοι. Gr. ὅσους, quae VI, 17. rursus confusa videbimus. In C. de.

Ηὐτομολήκεσαν. Mosqu. ηὐτομόλησαν.

Κρανίοις. C. *Κρενίοις*. K. Ar. Chr. Dan. *Καρανίοις*. „Procul dubie mendose.“ HUDS. Vid. ad II, 30.

Κεφαλληνίας. Pal. Vind. K. Mosqu. m. *Κεφαληνίας*. At vid. I. 2. p. 152. sq.

8. Ἀλλήλους. Cass. Vat. G. ἀλλήλοις. At ἐπεμίγνυντο παρ' ἀλλήλους I, 146. II, 1.

Digitized by Google

B. Χειμών. Κεφ. λς'—λθ'.

(1. Κλεόβουλος καὶ Ξενάρης πειρῶνται τὰς σπονδὰς διαλῦσαι. λς'—λη'. παραινοῦσιν οὖν τοῖς Βοιωτοῖς καὶ Κορινθίοις Ἀργείους Λακεδαιμονίοις φίλους ποιῆσαι.)

Ὀλ. πθ'. ἔτ. δ'. πρὸ Χρ. νυκτ. μετὰ τὴν ἡ. τοῦ Ὀκτωβρ. μην.

λς'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος (ἔτυχον γὰρ Ἔφοροι ἕτεροι, καὶ οὐκ ἐφ' ὧν αἱ σπονδαὶ ἐγένοντο, ἄρχοντες ἤδη, καὶ τινὲς αὐτῶν καὶ ἐναντίοι σπονδαῖς,) ἐλθουσῶν πρεσβειῶν ἀπὸ τῆς ξυμμαχίδος, καὶ παρόντων Ἀθηναίων καὶ Βοιωτῶν καὶ Κορινθίων, καὶ πολλὰ ἐν ἀλλήλοις εἰπόντων, καὶ οὐδὲν ξυμβάντων, ὡς ἀπῆεσαν ἐπ' οἴκου, τοῖς Βοιωτοῖς καὶ Κορινθίοις Κλεόβουλος καὶ Ξενάρης, οὗτοι οἵπερ τῶν Ἐφόρων ἐβούλοντο μάλιστα διαλῦσαι τὰς σπονδὰς, λόγους ποιοῦνται

λς'. 4. Ἐλθουσῶν πρεσβειῶν] εἰς τὴν Λακεδαίμονα. (λ. Ἀὺγ.) — 6. Οὐδὲν ξυμβάντων] ἤγουν κατ' οὐδέν. (λ. Ἀὺγ.) — Ὡς ἀπῆεσαν] οἱ Βοιωτοὶ καὶ οἱ Κορίνθιοι. (λ. Ἀὺγ.) — 9. Λόγους ποιοῦνται ἰδίους] ἰδίᾳ διελέχθησαν αὐτοῖς. (λ. Ἀὺγ.) [τοῦ λῦσαι τὰς σπονδές.]

CAP. XXXVI. Δ' ἐπιγιγνομένου. Ar. δὲ γιγνομένου.

Ἔτυχον γάρ. Γάρ om. Lugd. Mosqu.

Ἔφοροι ἕτεροι. Reg. (G.) Ἕτεροι Ἔφοροι. Pro Ἔφοροι Vind. Ἔφοδοι.

Καὶ οὐκ. Οὐκ hic om. et post ἐγέν. habet D.

Αὐτῶν. Lugd. Ar. Flor. ed. Bas. Steph. 1. καὶ αὐτῶν.

Ἐναντίοι. Aug. G. ἐναντίοις, in priore tamen superscr. οῖ.

Σπονδαῖς. Cl. Ar. Chr. Dan. et a rec. man. int. vers. Reg. (G.) ταῖς σπονδαῖς, quod cum Kistem. recepit Haack., articulum hic non minus necessarium esse arbitratus quam antea in αἱ σπονδαὶ ἐγένοντο. At hic scriptor in universum dicere potest illos Ephoros minus ad pacem quam ad bellum proclives fuisse, antea de certis foederibus loquitur. Cf. Krueg. ad Xen. Anab. II, 3, 7. quem noli sequi ibid. §. 6.

Ἐλθουσῶν. G. F. Mosqu. ἐλθόντων.

Πρεσβειῶν. Cass. (in quo man. rec. πρεσβειῶν,) Aug. Reg. (G.) Lugd. cod. Bas. πρέσβεων. Pal. πρεσβέων. Alterutrum etiam F. E. In Gr. fuerat πρεσβεῶν, deinde circumflexus deletus et accentus in prima syllaba scriptus.

Καὶ Βοιωτῶν. Καὶ om. Mosqu.

Ἐν ἀλλήλοις. Ἐν om. Gr.

Καὶ Κορινθίοις. Καὶ om. E.

Ξενάρης. It. Vat. H. (non Cass., quem nominavit Bekk. et nos cum eo de Art. crit. p. 185.,) Ξενάρκης, quod hic recepit Bekk. At vid. de Art. crit. l. d. Mosqu. Ξεναράς. Reg. (G.) Ξεναρίδης. Vulgata in H. s. v. cum γρ. adnotata est.

Οἵπερ. H. E. ὑπέρ, sed in H. ol s. v. Mox Mosqu. διαλύσαι.

Digitized by Google

ἰδίους, παραινοῦντες ὅτι μάλιστα ταὐτὰ τε γιγνώσκειν, καὶ πειρᾶσθαι Βοιωτοὺς, Ἀργείων γενομένους πρώτον αὐτοὺς ξυμμάχους, αὖθις μετὰ Βοιωτῶν Ἀργείους Λακεδαιμονίοις ποιῆσαι ξυμμάχους· οὕτω γὰρ ἥκιστα † ἀναγκασθῆναι Βοιωτοὺς ἐς τὰς Ἀττικὰς σπονδὰς ἐσελθεῖν· ἑλέσθαι γὰρ Λακεδαιμονίους πρὸ τῆς Ἀθηναίων ἔχθρας καὶ διαλύσεως τῶν σπονδῶν Ἀργείους σφίσι φίλους καὶ ξυμμάχους γενέσθαι. τὸ γὰρ Ἄργος ἀεὶ ἠπίσταντο ἐπιθυμοῦντας τοὺς Λακεδαιμονίους καλῶς σφίσι φίλιον γενέσθαι, ἡγούμενοι τὸν ἔξω Πελοποννήσου πόλεμον ῥᾷω ἂν εἶναι. 2. τὸ μέντοι Πάνακτον ἐδέοντο † Βοιωτοὺς † ὅπως * παραδῶσουσι * Λα-

1. *Γιγνώσκειν*] † *εἰς νοῦν* † *ἔχειν.* §. ** *τὴν αὐτὴν τῇ πρότερα γνώμην ἔχειν.* (*Λουγδ.*) — 6. ** *Ἑλέσθαι*] *προελέσθαι.* (*Λουγδ.*) — 9. ** *Ἠπίσταντο*] *ἔγνωσαν.* (*Λουγδ.*) — *Καλῶς σφίσι φίλιον γενέσθαι.*] *βεβαίως φίλιον τοῖς Λακεδαιμονίοις γενέσθαι· ἢ αὐτοὶ βεβαίως ἠπίσαντο, ὃ καὶ μᾶλλον.* — 10. *Ἡγούμενοι*] *τὸ ἡγούμενοι οὐκ ἔστι καταλληλον πρὸς τὸ ἐπιθυμοῦντας τοὺς Λακεδαιμονίους, ἀλλ' ἐσχημάτισται ἀντὶ τοῦ ἡγουμένων.* — 11. ** *Ῥᾷω*] *εὐκολώτερον.* (*Λαγγδ.*) — 12. *Ὅπως παραδώσωσιν*] *οἱ Βοιωτοὶ δηλονότι.* (*λ. Ἀϋγ.*) — *Ἐδέοντο — Λακεδαιμονίοις*] *τὸ μέντοι Πά-*

Ἰδίους. Ar. Chr. Dan. *ἰδία.* „Vid. Dorv. ad Char. p. 451." GOELL.

Ταὐτά Reisk. Hellm. Bredow. et Haack. Vulgo (Bekk. Goell.) *ταῦτα.* Cf. not.

Τέ. It. *γέ.* In Ar. Chr. Dan. de.

Ἀργείων. C. I. *Ἀργείους,* quod in Gr. supra scr. Contra I. *ὠν* s. *ῶν.*

Γενομένους. Lugd. *γινομένους.* E. *γιγνομε.*

Βοιωτῶν. Hinc in I. lacuna ad *Βοιωτούς,* suppl. in marg.

Λακεδαιμονίοις. C. *Λακεδαιμονίους.* I. et ex emend. cod. Bas. *Λακεδαιμονίων.*

Ἥκιστα. Imo *ἧκιστ' ἄν,* quum in *οὕτως* lateat sententia conditionalis. Sequitur quidem statim rursus *ἑλέσθαι,* sed ibi *ἄν,* si antea positum fuerit, cogitatione suppleri potest.

Ἐσελθεῖν. It. Vat. cod. Bas. F. *ἐπελθεῖν,* sicut nonnulli *ἐπιόντας* c. 35, 3. et *ἐπαγαγεῖν* c. 35, 6. Lugd. *ἐλθεῖν.* Nostrum redit c. 48.

Τὸ γὰρ — γενέσθαι om. D., sed suppl. in marg. Omnis enunciatio a *τὸ γὰρ — ἂν εἶναι* genus quoddam parenthesis efficit. Pal. rursus *αἰεί* habet.

Φίλιον. B. C. D. I. Dan. *φίλον.* At vid. ad c. 41.

Ἡγούμενοι. Non sollicitaverim. Vid. I. 1. p. 125.

2. *Μέντοι.* Reg. (G.) *μέντ.*

Βοιωτούς. Mira structura pro *Βοιωτῶν,* quod Reiskius coniecit. Scholiasta nonnulla addit. „Habet structuram verbi *αἰτεῖν.* cf. Matth. Gr. §. 531. adnot. 2. [ubi tamen tantum de *ὅπως* post *δέομαι* posito agitur.]" GOELL.

Παραδώσουσι Cass. Gr. Ar. Chr.

Digitized by Google

κεδαιμονίοις, ἵνα, ἀντ' αὐτοῦ Πύλον, ἢν δύνωνται, ἀπολαβόντες, ῥᾷον καθιστῶνται Ἀθηναίοις ἐς πόλεμον.

(Ἀργεῖοι δοκοῦσι τῶν αὐτῶν ἐπιθυμεῖν· καὶ δὴ καὶ οἱ Βοιωτάρχαι ἀρέσκονται τοῖς λόγοις.)

λζ. Καὶ οἱ μὲν Βοιωτοὶ καὶ Κορίνθιοι, ταῦτα ἐπεσταλμένοι ἀπό τε τοῦ Ξενάρους καὶ Κλεοβούλου, καὶ ὅσοι φίλοι ἦσαν αὐτοῖς τῶν Λακεδαιμονίων, ὥςτε ἀπαγγεῖλαι ἐπὶ τὰ κοινὰ, ἑκάτεροι ἀνεχώρουν. 2. Ἀργείων δὲ δύο ἄνδρες τῆς ἀρχῆς τῆς μεγίστης ἐπετήρουν ἀπιόντας αὐτοὺς καθ' ὁδόν· καὶ ξυγγενόμενοι ἐς λόγους ἦλθον, εἴ πως οἱ Βοιωτοὶ σφίσι ξύμμαχοι γένοιντο, ὥςπερ Κορίνθιοι καὶ Ἠλεῖοι καὶ Μαντινῆς· νομίζειν γὰρ

νακτον ἐδέοντο Βοιωτοὺς οὕτω ποιῆσαι ὅπως παραδώσουσι Λακεδαιμονίοις.

λζ. 3. Ταῦτα ἐπεσταλμένοι] ἀντὶ τοῦ τούτων ἐντεταλμένων αὐτοῖς ὑπὸ τῶν Ἐφόρων. — Ἐπεσταλμένοι] δεδιδαγμένοι. (Λουγδ.) — 6. Ἐπὶ τὰ κοινὰ] βουλευτήρια δηλονότι. (λ. Αὐγ.) — 8. Ξυγγενόμενοι] ἤγουν συνάφθεντες. (λ. Αὐγ.) — Ἐς λόγους] ἐς κοινολογίαν. (λ. Αὐγ.) — 9. Σφίσι] τοῖς Ἀργείοις. (λ. Αὐγ.)

Ald. Flor. Bas. et longe plurimi libri. „Antea παραδώσωσι, sicut Aug. et Mosqu., in Aug. tamen, ου man. sec. supersc." BAU. „Παραδώσουσι vel παραδῶσι, legendum esse monet Ae. Port." HUDS. Παραδῶσι It. Vat. H. Bekk. Goell., nisi quod in H. σουσι s. ῶσι. Utrum melius sit, quis definiat! Cf. II. 1. p. 422. Ind. Xenoph. Anab. in ὅπως et Ind. Thucyd. ibid.

Ἤν. Lugd. εἰ.

Ἀπολαβόντες. Mosqu. ἀποβάντες.

Καθιστῶνται. Dan. καθιστῶντες.

Ἀθηναίοις. C. D. Ἀθηναίων.

Cap. XXXVI. Καὶ οἱ μὲν —, Κλεοβούλου. Zon. in ἐπίσταλμα, ubi ὑπὸ τοῦ Ξελάρους.

Καὶ Κορίνθιοι. Vulgo καὶ οἱ Κορίνθιοι, sed οἱ om. Aug. Pal. It. Vat. Reg. (G.) cod. Bas. Gr. E. Mosqu. K. Ar. Chr. Dan. Haack. Bekk. Goell. „C. 35. οἵ τε Ἀθηναῖοι καὶ [οἱ] Λακεδαιμόνιοι." WASS. Τοῖς Βοιωτοῖς καὶ Κορινθίοις c. 36. „Cf. ad I, 71." HAACK.

Κλεοβούλου. Mosqu. τοῦ Κλεοβούλου.

Ὅσοι. H. ὅσα.

2. Ἀργείων. Vind. Ἀργεῖοι. In K. syllaba ων a man. sec.

Ἐπετήρουν. Cod. Bas. ἐπεχείρουν.

Ἀπιόντας. C. D. F. Mosqu. et a sec. man. E. ἐπιόντας. Dan. ἃ ἐπιόντας. Pal. ἀπιοναυτούς pro ἀπιόντας αὐτούς.

Εἴ πως. D. ὅπως.

Ὥςπερ. D. ὥςπερ καί.

Μαντινῆς Pal. Bekk. Goell. Vulgo rursus Μαντινῆς, et plerique codd. cum Haack. Μαν-

Digitized by Google

ἂν, τούτου προχωρήσαντος, ῥᾳδίως ἤδη καὶ πολεμεῖν καὶ σπένδεσθαι καὶ πρὸς Λακεδαιμονίους, εἰ βούλοιντό, κοινῷ λόγῳ χρωμένους, καὶ εἴ τινα πρὸς ἄλλον δέοι. 3. τοῖς δὲ τῶν Βοιωτῶν πρέσβεσιν ἀκούουσιν ἤρεσκε· κατὰ τύχην γὰρ ἐδέοντο τούτων ὥνπερ καὶ οἱ ἐκ τῆς Λακεδαίμονος αὐτοῖς φίλοι ἐπεστάλκεσαν. καὶ οἱ τῶν Ἀργείων ἄνδρες ὡς ἤσθοντο αὐτοὺς δεχομένους τὸν λόγον, εἰπόντες ὅτι πρέσβεις πέμψουσιν ἐς Βοιωτούς, ἀπῆλθον. 4. ἀφικόμενοι δὲ οἱ Βοιωτοὶ ἀπήγγειλαν τοῖς Βοιωτάρχαις τά τε ἐκ τῆς Λακεδαίμονος καὶ τὰ ἀπὸ τῶν ξυγγενομένων Ἀργείων, καὶ οἱ Βοιωτάρχαι ἠρέσκοντό τε, καὶ πολλῷ προθυμότεροι ἦσαν, ὅτι ἀμφοτέρωθεν ξυνεβεβήκει αὐτοῖς, τούς τε φίλους τῶν Λακεδαιμονίων τῶν αὐτῶν δεῖσθαι, καὶ τοὺς Ἀργείους ἐς τὰ ὅμοια σπεύδειν. 5. καὶ οὐ πολλῷ ὕστερον πρέσβεις παρῆσαν Ἀργείων, τὰ εἰρημένα προκαλούμενοι. καὶ αὐτοὺς ἀπέπεμψαν ἐπαινέσαντες τοὺς λόγους οἱ Βοιωτάρχαι, καὶ

2. *Κοινῷ λόγῳ χρωμένους*] ὁμοφρονοῦντας, [δηλονότι] *Ἀργείους τε καὶ Κορινθίους καὶ Βοιωτούς.* — 5. *Οἱ ἐκ τῆς Λακεδαίμονος*] *οἱ περὶ τὸν Κλεόβουλον δηλονότι.* — 6. *Ἐπεστάλκεσαν*] προσέταξαν. (λ. *Ἀνγ.*) — 13. *Τούς τε φίλους*] *τοὺς ἐκ Λακεδαίμονος δηλονότι αὐτοῖς φίλους.* — 16. *Προκαλούμενοι*] [γράφεται] *παρακινοῦντες* (λ. *Ἀνγ.*)

τινεῖς. Cf. I. 1. p. 221. et 473. Sequebatur vulgo punctum. Antea Pal. *Ἥλειοι.*

Γὰρ ἄν. Pal. *γὰρ αὖ.*

Προχωρήσαντος. C. D. I. K. m. Ar. Chr. Dan. *χωρήσαντος*, sed in K. et m. *προ* a corr. adscr.

Βούλοιντο. Ar. *βούλονται.*

3. *Τῶν Βοιωτῶν. Τῶν* om. Mosqu.

Πρέσβεσιν. D. *πρέσβευσιν.*

Ἀκούουσιν. Mosqu. *ἀκούσασιν.*

Ὥνπερ. Mosqu. *ὥςπερ.* Ab *ἐπεστάλκεσαν* ad *δεχομ. τὸν λόγ.* lacuna in D. I. Inferius E. *βρεσυεις* pro *πρέσβεις.*

4. *Οἱ Βοιωτάρχαι. Οἱ* om. Ar. Chr.

Ξυνεβεβήκει. H. *ξυνεβεβλήκει*, sed *s. v. βεβη.* E. *ξυνεβεβήκοι.* Mox Bekk., ut solet, *ὁμοῖοι.* Cf. I. 1. p. 213. sq.

5. *Προκαλούμενοι.* E. *παρακαλούμ.*, sed *προ s. v.* „Non admittendum arbitror *παρακινοῦντες*, quod margo [Steph.] habet et pro varia lectione adnotat Scholiastes. In cod. Cass. hoc int. vers. scribitur, ut aliae interpretationes a magistris profectae.“ DUK. Cf. id. in adnot.

Ἀπέπεμψαν. D. *ἔπεμψαν.* I. *ἐπέπεμψαν, α ε. ε eras.*

Digitized by Google

πρέσβεις ὑποσχόμενοι ἀποστελεῖν καὶ τῆς ξυμμαχίας ἐς Ἄργος.

(Τῶν τεσσάρων βουλῶν τῶν Βοιωτῶν ἀντιστασῶν γίγνεται ἀμέλεια τοῦ παντὸς πράγματος.)

λή. Ἐν δὲ τούτῳ ἐδόκει πρῶτον τοῖς Βοιωτάρχαις, καὶ Κορινθίοις, καὶ Μεγαρεῦσι, καὶ τοῖς ἀπὸ Θράκης πρέσβεσιν, ὁμόσαι ὅρκους ἀλλήλοις, ἢ μὴν ἕν τε τῷ παρατυχόντι * ἀμύνειν * τῷ δεομένῳ, καὶ μὴ πολεμή- 841.
σειν τῳ μηδὲ ξυμβήσεσθαι ἄνευ κοινῆς γνώμης· καὶ οὕτως ἤδη τοὺς Βοιωτοὺς καὶ Μεγαρέας (τὸ γὰρ αὐτὸ ἐποίουν) πρὸς τοὺς Ἀργείους σπένδεσθαι. 2. πρὶν δὲ τοὺς ὅρκους γενέσθαι, οἱ Βοιωτάρχαι ἐκοίνωσαν ταῖς τέσσαρσι βουλαῖς τῶν Βοιωτῶν ταῦτα, αἵπερ ἅπαν τὸ κῦρος ἔχουσι, καὶ παρήνουν γενέσθαι ὅρκους ταῖς πόλεσιν ὅσαι βούλονται ἐπ' ὠφελείᾳ σφίσι ξυνομνύναι. 3. οἱ δ' ἐν ταῖς βουλαῖς τῶν Βοιωτῶν ὄντες οὐ προσδέχονται τὸν λόγον δεδιότες μὴ ἐναντία Λακεδαιμονίοις ποιήσωσι, τοῖς ἐκείνων ἀφεστῶσι Κορινθίοις ξυνομνύντες· οὐ γὰρ εἶπον αὐτοῖς οἱ Βοιωτάρχαι τὰ ἐκ τῆς Λακεδαίμονος, ὅτι τῶν τε Ἐφόρων Κλεόβουλος καὶ Ξενά-

λή. 3. Ἐν δὲ τούτῳ] τῷ καιρῷ (λ. Λύγ.) — 8. Τὸ γὰρ αὐτὸ ἐποίουν] ἤγουν τὴν κοινὴν πρᾶξιν ἐποίησαν. (λ. Λύγ.) — 13. Ἐπ' ὠφελείᾳ] συμμαχίᾳ. (λ. Λύγ.)

Ἀποστελεῖν. I. ἀπροστέλλειν, sed alterum λ. eras. Mosqu. ἀποστελλεῖν. Idem mox om. ἐς.

Cap. XXXVIII. Ἀμύνειν. Coniicias ἀμυνεῖν. Vid. tamen I. 1. p. 274. item ad Xenoph. Anab. II, 3, 27. ac Schaef. ad Theocr. XXVII, 60. et Eur. Med. I. 751. Statim Vind. τὸ δεομένῳ. Mox ante ed. Lips. πολεμήσειν τῷ, sicut Pal. „Recte Abr. τῳ. Sic ed. Porti." GOTTL.

Πρὸς τοὺς Ἀργείους om. D. I.

2. Κῦρος. Mosqu. m. male κόρος.

Ὅρκους. C. ὅρκος. I. ὅρκας, in marg. ὅρκους.

Ὠφελείᾳ. Pal. Gr. Bekk. ὠφελίᾳ. Cf. de Art. crit. p. 153.

Ξυνομνύναι Mosqu. Haack. Bekk. Goell. Vulgo male ξυνομνῦναι.

3. Προσδέχονται. Mosqu. προσδέχονσε. Ar. Chr. προσεδέχονσε.

Ποιήσωσι. Gr. ποιήσουσι. Cf. ad I, 86. et II, 72.

Τὰ ἐκ. Τά om. Vat.

Παραινοῦσιν. B. παρουσιν, sed cum αιν s. ον ead. man.

Τὰ ἐκ. Τά om. Vat.

Ξενάρης. Cod. Bas. Ξανάρχης.

Digitized by Google

ους καὶ οἱ φίλοι παραινοῦσιν, Ἀργείοις πρῶτον καὶ Κορινθίοις γενομένους ξυμμάχους, ὕστερον μετὰ τῶν Λακεδαιμονίων γίγνεσθαι, οἰόμενοι τὴν βουλὴν, κἂν μὴ εἴκωσιν, οὐκ ἄλλα ψηφιεῖσθαι ἢ ἃ σφίσι προδιαγνόντες πραμοῦσιν. 4. ὡς δὲ ἀντέστη τὸ πρᾶγμα, οἱ μὲν Κορίνθιοι καὶ οἱ ἀπὸ Θράκης πρέσβεις ἄπρακτοι ἀπῆλθον· οἱ δὲ Βοιωτάρχαι, μέλλοντες πρότερον, εἰ ταῦτα ἔπεισαν, καὶ τὴν ξυμμαχίαν πειράσεσθαι πρὸς Ἀργείους ποιεῖν, οὐκέτι ἐγήνεγκαν περὶ Ἀργείων ἐς τὰς βουλάς, οὐδὲ ἐς τὸ Ἄργος τοὺς πρέσβεις οὓς ὑπέσχοντο ἔπεμπον, ἀμέλεια δέ τις ἐνῆν καὶ διατριβὴ τῶν πάντων.

(2. *Μηνύβερνα αἱρεῖται.* §. α'. 3. *Λακεδαιμόνιοι Βοιωτοῖς ξυμμαχίαν ἰδίαν ποιοῦνται· τούτου δὲ γενομένου Πάκτον καθαιρεῖται.*)

λθ'. Καὶ ἐν τῷ αὐτῷ χειμῶνι τούτῳ Μηνύβερνα τοῦ Χρ. Ὀλύνθιοι, Ἀθηναίων φρουρούντων, ἐπιδραμόντες εἷλον. νυκ. τελευτ. ἢ νύ. ἀρχομ.

2. Μετὰ δὲ ταῦτα (ἐγίγνοντο γὰρ ἀεὶ λόγοι τοῖς τε Ἀθηναίοις καὶ Λακεδαιμονίοις περὶ ὧν εἶχον ἀλλήλων) ἐλπίζοντες οἱ Λακεδαιμόνιοι, εἰ Πάκτον Ἀθηναῖοι παρὰ Βοιωτῶν ἀπολάβοιεν, κομισασθαι ἂν αὐτοὶ Πύλον,

3. *Τὴν βουλήν*] τοὺς βουλευτάς. (λ. Λύγ.) — *Κἂν μὴ εἴκωσιν, οὐκ ἄλλα ψηφιεῖσθαι* —] [ἀντὶ τοῦ,] οἱ Βοιωτάρχαι ἕκαστος ᾤετο τὴν ἰδίαν βουλὴν, κἂν μὴ † μαθὼν † τὰ ὑπὸ τῶν Ἐφόρων ἐπεσταλμένα, μηδὲν ἄλλο ψηφίσεσθαι, ἥπερ ταῦτα, ἅπερ οἱ μαθόντες ἐκ Λακεδαίμονος παραινοῦσιν. — 5. *Ἀντέστη*] [ἀντὶ τοῦ] ἄλλως ἀπέβη. ** ἐκωλύθη. (Λουγδ.)

Καὶ Κορινθίων. C. *καὶ Κορινθίους*, D. *καὶ Κορινθίους* sine *καί*.

Ξυμμάχους ὕστερον. Reg. (G.) *ὕστερον ξυμμάχους.* In *ξυμμ.* C. *ων s. ους.*

4. *Πρότερον, εἰ.* In I. *ει s. v.* Pro *εἰ* cod. Bas. *οἱ.*

Πειράσεσθαι. Mosqu. *πειράσασθαι.*

Πρὸς Ἀργείους. E. *προς* (s. v. *περὶ*) *Ἀργείων.*

Βουλάς. K. *βουλάς s. v. ex corr. βουλ.*

Ἔπεμπον. E. K. *non male ἔπεμψαν*, sed *in* K. *πον s. ψαν.*

CAP. XXXIX. *Τούτῳ* om. Reg. (G.)

2. *Εἶχον.* Ar. *εἶλον.* Antea Pal., rursus *αἰεί.*

Εἰ. C. *ου*, sec. man. *εἰ.*

Κομισασθαι. Dan. *κομίσεσθαι.*

Αὐτοί. Ar. *αὐτούς.*

Digitized by Google

ἦλθον ἐς τοὺς Βοιωτοὺς πρεσβευόμενοι, καὶ ἐδέοντο σφίσι Πάνακτόν τε καὶ τοὺς Ἀθηναίων δεσμώτας παραδοῦναι, ἵνα ἀντ' αὐτῶν Πύλον κομίσωνται. 3. οἱ δὲ Βοιωτοὶ οὐκ ἔφασαν ἀποδώσειν, ἢν μὴ σφίσι ξυμμαχίαν ἰδίαν ποιήσωνται, ὥσπερ Ἀθηναίοις. Λακεδαιμόνιοι δὲ, εἰδότες μὲν ὅτι ἀδικήσουσιν Ἀθηναίους, εἰρημένον ἄνευ ἀλλήλων μήτε σπένδεσθαι τῳ μήτε πολεμεῖν, βουλόμενοι δὲ τὸ Πάνακτον παραλαβεῖν, ὡς τὴν Πύλον ἀντ' αὐτοῦ κομιούμενοι, καὶ ἅμα τῶν ξυγχέαι σπευδόντων τὰς σπονδὰς προθυμουμένων * τὰ * ἐς Βοιωτοὺς, ἐποιήσαντο τὴν ξυμμαχίαν; τοῦ χειμῶνος τελευτῶντος ἤδη καὶ πρὸς ἔαρ· καὶ τὸ Πάνακτον εὐθὺς καθῃρεῖτο· καὶ ἐνδέκατον ἔτος τῷ πολέμῳ ἐτέλευτα.

Ὀλ. πθ'. ἔτ. δ'. πρὸ Χρ. νέ. πρὸ τῆς ε'. Ἀπριλ. μην.

λθ', 1. Ἦλθον ἐς τοὺς Βοιωτούς] οἱ Λακεδαιμόνιοι. — 12. Καθῃρεῖτο] ὑπὸ τῶν Βοιωτῶν. (l. Ἀγ.)

Πρεσβευόμενοι. F. Ald. Flor. ed. Bas. Steph. 1. et marg. Steph. 2. πρεσβευσόμενοι. Cf. I, 31.

Ἐδέοντο — παραδοῦναι. „Thom. Mag. in βούλομαι, ubi emendandus est numerus libri." DUK.

Ἀθηναίων. Ar. Chr. Dan. Ἀθηναίους.

3. Ἰδίαν om. Reg. (G.) At vid. 40, 1.

Λακεδαιμόνιοι. Ar. Chr. Dan. καὶ Λακεδ.

Ἀθηναίους. Vat. H. Ἀθηναίων.

Εἰρημένον. Reg. (G.) εἰρημένων.

Ἄνευ ἀλλήλων. E. ἀλλήλοιν ἄνευ. Cf. ad Xen. Cyr. VI, 1, 14.

Μήτε — μήτε. F. μὴ — μηδέ. Μή etiam Lugd.

Ξυγχέαι. C. ξυμμαχέαι. Antea Mosqu. ἅμα τῷ.

Σπευδόντων. H. Mosqu. σπενδόντων, sed H. cum εν s. ev.

Τὰ ἐς Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. Haack. Artic. om. Ar. Chr. Dan. Vulgo (Bekk. Goell.) τὰς ἐς, et sane supra c. 17. legimus προὐθημήθη τὴν ξύμβασιν, ac similia alibi. Vid. ad VIII, 90. Nostrum tamen comparamus cum σπονδὰς ποιησαμένους τὰ περὶ Πύλον IV, 15., τὰ πρὸς ἡμᾶς ἐπάγεσθαι αὐτούς III, 63. et similibus, de quibus vid. Ind. in ὁ, ἡ, τό. Etiam VI, 2, 2. librariis haec locutio fraudi fuit.

Τοῦ χειμῶνος. Ar. Chr. Dan. τοῦ χειμῶνος δέ.

Πρὸς ἔαρ· καὶ τό. Cod. Bas. πρὸς ἔαρ τό.

Ἐτελεύτα. Mosqu. ἐτελεύτα τῷδε.

Digitized by Google

XII. Δωδέκατον ἔτος τοῦ πολέμου. Κεφ. μ΄—μά.

Δ. Θέρος. Κεφ. μ΄—ν΄.

(1. Ἀργεῖοι καὶ Λακεδαιμόνιοι ἐς λόγους ξυνέρχονται. μ΄. μά΄. διὰ τί Ἀργεῖοι ἐς Λακεδαίμονα πρέσβεις ἔπεμψαν.)

μ΄. ΑΜΑ ΔΕ ΤΩι ΗΡΙ εὐθὺς τοῦ ἐπιγιγνομένου θέρους οἱ Ἀργεῖοι, ὡς οἵ τε πρέσβεις τῶν Βοιωτῶν, οὓς ἔφασαν πέμψειν, οὐχ ἵκοντο, τό τε Πάνακτον ᾔσθοντο καθαιρούμενον, καὶ ξυμμαχίαν ἰδίαν γεγενημένην τοῖς Βοιωτοῖς πρὸς τοὺς Λακεδαιμονίους, ἔδεισαν μὴ μονω-
342. θῶσι, καὶ ἐς Λακεδαιμονίους πᾶσα ἡ ξυμμαχία χωρήσῃ. 2. τοὺς γὰρ Βοιωτοὺς ᾤοντο πεπεῖσθαι ὑπὸ Λακεδαιμονίων τό τε Πάνακτον καθελεῖν, καὶ ἐς τὰς Ἀθηναίων σπονδὰς ἐσιέναι, τούς τε Ἀθηναίους εἰδέναι ταῦτα, ὥστε οὐδὲ πρὸς Ἀθηναίους ἔτι σφίσιν εἶναι ξυμμαχίαν ποιήσασθαι, πρότερον ἐλπίζοντες ἐκ τῶν διαφορῶν, εἰ μὴ μείνειαν αὐτοῖς αἱ πρὸς Λακεδαιμονίους σπονδαί, τοῖς γοῦν Ἀθηναίοις ξύμμαχοι ἔσεσθαι. 3. ἀποροῦντες οὖν ταῦτα οἱ Ἀργεῖοι, καὶ φοβούμενοι μὴ Λακεδαιμονίοις

Ὀλ. πθ΄. ἔτ. δ΄. πρὸ Χρ. νκ μετὰ τὴν ε΄. Ἀπριλ. μην.

μ΄. 1. Ἅμα δὲ τῷ ἦρι] ἀρχομένῳ. (λ. Ἀὺγ.) — ** Ἐπιγιγνομένου] ἑπομένου. (Λουγδ.) — 2. Οὓς ἔφασαν πέμψειν] οἱ Βοιωτοί. (λ. Ἀὺγ.) — 4. Ἰδίαν] μονομερῆ. (λ. Ἀὺγ.) — 5. Μὴ μονωθῶσι] τῆς συμμαχίας. (λ. Ἀὺγ.) — 9. Τούς τε Ἀθηναίους εἰδέναι ταῦτα] ᾤοντο δηλονότι. (λ. Ἀὺγ.)

Cap. XL. Ἀργεῖοι, ὡς οἱ. Pro his Dan. Πάνακτον.

Ἵκοντο. Aug. Pal. Lugd. Gr. ἧκοντο, sed in Aug. recte ῆ in ῑ mutat. Cf. Buttm. Gr. max. in ἱκνέομαι, quod simplex in prosa rarum.

Προς τοὺς Λακεδαιμονίους. Pal. πρὸς τοὺς Λακεδαιμονίοις. (Quae de E. hic narrat Bekk., falsissima sunt.)

Χωρήσῃ. Nescio qui Par. χωρήσει.

2. Πεπεῖσθαι. C. I. πεποιεῖσθαι, sed I. in marg. πεπεῖσθαι.

Οὐδέ. Μηδέ si exspectes, vid. adnot. Ante ὥστε apud Duk. colon.

Πρὸς Ἀθηναίους. E. πρὸς τοὺς Ἀθηναίους.

Ποιήσασθαι. E. ποιήσεσθαι.

Διαφορῶν Cass. Aug. Cl. Pal. It. Reg. Gr. Ar. Chr. Dan. Ald. Flor. Bas. Haack. Bekk. Goell. Vulgo διαφόρων. „Add. infra c. 45." WASS. „Permutantur haec etiam IV, 86." DUK. Comma Haack. cum Abresch. ante ἐκ posuit, nos cum Bekk. post διαφ.; non enim cum Huds. controversias Lacedaemoniorum et Argivorum, sed Lacedaemoniorum et Atheniensium intelligimus. Mox alii malint αὐτοῖς. Praeterea G. μειναν, sed ει superscr.

Digitized by Google

καὶ Τεγεάταις, Βοιωτοῖς καὶ Ἀθηναίοις ἅμα πολεμεῖσθαι, πρότερον οὐ δεχόμενοι τὰς Λακεδαιμονίων σπονδάς; ἀλλ' ἐν φρονήματι ὄντες τῆς Πελοποννήσου ἡγήσεσθαι, ἔπεμπον ὡς ἐδύναντο τάχιστα ἐς τὴν Λακεδαίμονα πρέσβεις Εὔστροφον καὶ Ἄλσανα, οἳ ἐδόκουν προσφιλέστατοι αὐτοῖς εἶναι, ἡγούμενοι, ἐκ τῶν παρόντων κράτιστα πρὸς Λακεδαιμονίους σπονδὰς ποιησάμενοι, ὅπη ἂν ξυγχωρῇ, ἡσυχίαν ἔχειν.

(Περὶ τῆς Κυνουρίας γῆς ἄτοπα αἰτούντων τῶν Ἀργείων, ὅμως ξυγγράφονται αἱ σπονδαί, οὐ μέντοι κῦρός πω ἔχουσι.)

μα΄. Καὶ οἱ πρέσβεις ἀφικόμενοι αὐτῶν λόγους ἐποιοῦντο πρὸς τοὺς Λακεδαιμονίους, ἐφ' ᾧ ἂν σφίσιν αἱ σπονδαὶ γίγνοιντο. 2. καὶ τὸ μὲν πρῶτον οἱ Ἀργεῖοι ἠξίουν δίκης ἐπιτροπὴν σφίσι γενέσθαι, ἢ ἐς πόλιν τινὰ, ἢ ἰδιώτην, περὶ τῆς Κυνουρίας γῆς, ἣν καὶ πέρι

3. Ἀλλ' ἐν φρονήματι ὄντες] διανοίᾳ ἐπηρμένῃ. ἀντὶ τοῦ ἐλπίζοντες· [ἤτοι φρονηματίζοντες.] — 6. Ἡγούμενοι ἐκ τῶν παρόντων κράτιστα — —] ὡς ἐν τῷ παρόντι, [φησὶν,] ἡγοῦντο κράτιστον εἶναι πρὸς Λακεδαιμονίους σπονδὰς ποιήσασθαι, ὡς ἂν ἐνδέχηται, καὶ ἡσυχάζειν. — Ἐκ τῶν παρόντων] ἤγουν ἐκ τῶν δυνατῶν. (λ. Ἀϋγ.) — 7. Ὅπη ἂν ξυγχωρῇ] ἤγουν καθὼς ἂν συγχωρῇ ὁ καιρός. (λ. Ἀϋγ.)

μα΄. 9. Αὐτῶν] τῶν Ἀργείων. (λ. Ἀϋγ.) — 12. Δίκης ἐπιτροπήν] κρίσεως φροντίδα. (λ. Ἀϋγ.)

8. Πρότερον. Dan. πρότεροι.

Ἄλσανα. Cass. Aug. G. Ἔσανα, sed G. cum αι s. s. Pal. Ἄλσανα super rasura. Vind. Ἄλσονα.

Ἡγούμενοι. Alii non hic, sed cum Schol. post, κράτ. interpungunt. At vid. adnot. C. παρόντων.

Ὅπη. Cass. Aug. Pal. Bekk. ὅπῃ. Lugd. ὅποι. Mox Pal. ἔχει.

Cap. XLI. Ἐποιοῦντο. Gr. ἐποιήσαντο, sed in marg. ἐποιοῦντο.

2. Τὸ μέν. F. τὸ μὲν οὖν.

Δίκης. Gr. τῆς δίκης. „Sed in hac voce noster fere articulum respuit," WASS. Cl. c. 31, 3.

Ἢ ἰδιώτην Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) F. Gr. B. C. D. I. K. Ar. Chr. Dan. Ald. Flor. Bas. Haack. Bekk. Goell. Vulgo ἢ ἐς ἰδιώτην. Sic altero ἐς expuncto III, 21. scripsimus ἐς τὰ τὸ ἔσω μέτωπον καὶ οἱ αὐτοὶ καὶ τὸ ἔξω. Cf. VI, 78. init.

Κυνουρίας. It. Vat. H. Bekk. Κυνοσουρίας. D. I. Κυνουργίας. F. Κινουρίας. „Respicit ad hunc Thucididis locum Strabo VIII. 376." WASS. „Vide supra IV, 56." DUK. Cf. I. 2. p. 205.

Γῆς om. D. I., sed additum est etiam IV, 56. V, 14.

Ἀεί. Pal. rursus αἰεί. Statim Mosqu. περιδιάφερ.

Digitized by Google

διαφέρονται, μεθορίας οὔσης· (ἔχει δὲ ἐν αὐτῇ Θυρέαν καὶ * Ἀνθήνην * πόλιν· νέμονται δ' αὐτὴν Λακεδαιμόνιοι·) ἔπειτα δ' οὐκ ἐόντων Λακεδαιμονίων μεμνῆσθαι περὶ αὐτῆς, ἀλλ' εἰ βούλονται σπένδεσθαι ὥσπερ πρότερον, ἕτοιμοι εἶναι, οἱ Ἀργεῖοι πρέσβεις τάδε ὅμως ἐπηγάγοντο τοὺς Λακεδαιμονίους ξυγχωρῆσαι, ἐν μὲν τῷ παρόντι σπονδὰς ποιήσασθαι ἔτη πεντήκοντα, ἐξεῖναι δ' ὁποτέροισοῦν προκαλεσαμένοις, μήτε νόσου οὔσης μήτε πολέμου Λακεδαίμονι καὶ Ἄργει, διαμάχεσθαι περὶ τῆς γῆς ταύτης ὥσπερ καὶ πρότερόν ποτε, ὅτε αὐτοὶ ἑκάτεροι ἠξίωσαν νικᾶν, διώκειν δὲ μὴ ἐξεῖναι περαιτέρω τῶν πρὸς Ἄργος καὶ Λακεδαίμονα ὅρων. 3. τοῖς δὲ Λακεδαιμονίοις τὸ μὲν πρῶτον ἐδόκει μωρίᾳ εἶναι ταῦτα· ἔπειτα (ἐπεθύμουν γὰρ τὸ Ἄργος πάντως

2. *Νέμονται δ' αὐτὴν Λακεδαιμόνιοι*] ἦγον τὴν νομὴν καὶ τὸ κέρδος ἔχουσι. (λ. *Λύγ.*) — 14. *Πάντως*] ἐξ ἀνάγκης. (λ. *Λύγ.*)

Αὐτῇ. Cass. Aug. Pal. Reg. Gr. Ar. Chr. Ald. Flor. Bas. *αὐτῇ.* Mosqu. *ἑαυτῇ.* Similes locos vid. in Farr. discr. script.

Θυρέαν. Pal. H. B, C, I. et in marg. Cl. *Θυραίαν.* „Sed Steph. Herodot. alii ab editis stant. Dixi supra." WASS. Vid. I. 2. p. 206, unde scripturam non valde certam esse disces.

Ἀνθήνην. Cass. Aug. Pal. It. Vat. Reg. *Ἀθήνην*, quod quum etiam a Paus. confirmetur, fortasse non spernendum. Repugnant tamen reliqui scriptores. Vid. I. 2. p. 207. Mosqu. *Ἀθίνην.*

Πόλιν om. Gr.

Οὐκ ἐώντων. Vind. Mosqu. K. *οὐκ ἐόντων.*

Λακεδαιμονίων. Lugd. Gr. *τῶν Λακεδ.*

Βούλονται. Marg. Steph. *βούλοιντο.*

Ἕτοιμοι. Syllaba *μοι* in G. s. v. Structuram satis tuili sumus I. 1. p. 116. Cf. Lob. ad Phryn. p. 756.

Ἐπηγάγοντο. Ar. Chr. Dan. *ἀπηγάγοντο.*

Ἐξεῖναι. D. I. *ἐξῆναι.* Statim *ὁποτέροις οὖν* disiungunt plerique libri, ut similia I. 1. p. 467.

Προκαλεσαμένοις Cass. Aug. Cl. It. Vat. G. F. Gr. Vall. Haack. Bekk. Goell. suadente Dukero. Cf. adnot. Vulgo *προσκαλεσαμένοις.*

Ἄργει. „Post *Ἄργει* virgula distinximus praeeunte Kistem., ut *οὔσης* his dativis iungatur." HAACK.

Διαμάχεσθαι. F. *μάχεσθαι*, sed nostrum valet *pugna decernere.*

Ὅτε. Dan. *ὅτι.*

Νικᾶν. D. *νικῶντες.* I. *νικῶν*, in marg. *νικᾶν.*

Ἐξεῖναι. E. *ἐξιέναι.*

Καὶ Λακεδαίμονα. Καί om. D.

3. *Τοῖς δέ.* Mosqu. *καὶ τοῖς.* Ar. *τοῖς μὲν οὖν.*

Μωρία. Reg. (G.) *μυρία*, sed cum ω rec. man. superscr.

Πάντως. C. *πάντων.* In Gr. I. de. „Male. Ita Aristot. Plat. Xe-

Digitized by Google

* φίλιον * ἔχειν) ξυνεχώρησαν ἐφ' οἷς ἠξίουν, καὶ ξυνεγράψαντο. ἐκέλευον δ' οἱ Λακεδαιμόνιοι, πρὶν τέλος τι 343.
αὐτῶν ἔχειν, ἐς τὸ Ἄργος πρῶτον ἐπαναχωρήσαντας αὐ-
Ἑκα- τοὺς, δεῖξαι τῷ πλήθει, καὶ ἢν ἀρέσκοντα ᾖ, ἤκειν ἐς τὰ
τομβ. μην. Τακίνθια, τοὺς ὅρκους ποιησομένους. καὶ οἱ μὲν ἀνε- 5
(? Θαρ- γηλ. μην.?) χώρησαν.

(2. Ἀθηναῖοι τῇ Πανάκτου καθαιρέσει καὶ ἰδίᾳ Βοιωτῶν καὶ Λακεδαιμονίων ξυμμαχίᾳ ἀγανακτοῦσιν.)

μβ'. Ἐν δὲ τῷ χρόνῳ τούτῳ, ᾧ οἱ Ἀργεῖοι ταῦτα ἔπρασσον, οἱ πρέσβεις τῶν Λακεδαιμονίων, Ἀνδρομέδης καὶ Φαίδιμος καὶ Ἀντιμενίδας, οὓς ἔδει τὸ Πάνακτον καὶ τοὺς ἄνδρας τοὺς παρὰ Βοιωτῶν παραλαβόντας 10
Ἀθηναίοις ἀποδοῦναι, τὸ μὲν Πάνακτον ὑπὸ τῶν Βοιωτῶν αὐτῶν καθῃρημένον εὗρον, ἐπὶ προφάσει ὡς ἠσάν

1. Ξυνεγράψαντο] συνθήκην ἔγγραφον δεδώκασι. (λ. Αὐγ.) — 4. Δεῖξαι] τὴν συγγραφήν, ὡς τὸ εἰκός. — Ἐς τὰ Τακίνθια] εἰς τὴν ἑορτὴν τοῦ Τακίνθου. (λ. Αὐγ.)

noph. Haud alibi tamen noster, sed πάντῃ, παντάπασι, παντὶ τρόπῳ." WASS. Fallitur. Vid. VII, 87.

Φίλιον Ar. Chr. Dan. Bekk. Vulgo (Haack. Goell.) φίλον. Hoc nonnunquam pro illo poni statuimus in Ind. Xenoph. Cyrop., statuit etiam Krueg. ad Dion. p. 296. Retractavimus tamen sententiam in Ind. Xenoph. Anab., et apud Thucyd. saltem talem inconstantiam haud facile feramus. , Supra c. 36. de hac re habet φίλιαν. v. Abr. 512. "GOTTL. Adde adnot. ad c. 44.

Ἔχειν. Lugd. ἕξειν. Mosqu. ἕξιν.

Πρῶτον. Gr. πρώτους.

Δεῖξαι. C. δέξαι.

Ποιησομένους. D. I. ποιησαμένους.

Cap. XLII. Τῷ χρόνῳ τούτῳ. C. D. I. τῷ αὐτῷ χρόνῳ τούτῳ.

Ὡι. D. ὡς.

Οἱ Ἀργεῖοι. Οἱ om. Mosqu.

Ἀνδρομέδης Cass. Aug. Cl. Pal. It. Vat. H. Vind. (Vall.?) Bekk. Goell. hic et infra, ubi etiam in K. et m. δ superscr. Vulgo Ἀνδρομένης. „Vulgatum praefero, quia alioqui scribendum videretur e Dorica dialecto Ἀνδρομέδας et infra Ἀνδρομέδαν." HAACK. Hoc argumentum non magnam vim habet; Dorica enim nomina propria in Attica dialecto modo ᾱ suum retinent, modo η recipiunt. (Idem in barbara nomina valet. Cf. ad Xen. Cyr. p. XXXVI. sq.)

Ἀντιμενίδας. Ar. Αὐτομενίδας.

Ἀποδοῦναι. D. παραδοῦναι.

Αὐτῶν om. Cl.

Εὗρον. Cass. Aug. Pal. Vat. ηὗρον. At. vid. I. 1, p. 227.

Digitized by Google

ποτε Ἀθηναίοις καὶ Βοιωτοῖς ἐκ διαφορᾶς περὶ αὐτοῦ ὅρκοι παλαιοὶ μηδετέρους οἰκεῖν τὸ χωρίον, ἀλλὰ κοινῇ νέμειν· τοὺς δ' ἄνδρας, οὓς εἶχον αἰχμαλώτους Βοιωτοὶ Ἀθηναίων; παραλαβόντες οἱ περὶ τὸν Ἀνδρομέδην ἐκόμισαν τοῖς Ἀθηναίοις, καὶ ἀπέδοσαν· τοῦ τε Πανάκτου τὴν καθαίρεσιν ἔλεγθν αὐτοῖς, νομίζοντες καὶ τοῦτο ἀποδιδόναι· πολέμιον γὰρ οὐκέτι ἐν αὐτῷ Ἀθηναίοις οἰκήσειν οὐδένα. 2. λεγομένων δὲ τούτων, οἱ Ἀθηναῖοι δεινὰ ἐποίουν, νομίζοντες ἀδικεῖσθαι ὑπὸ Λακεδαιμονίων τοῦ τε Πανάκτου τῇ καθαιρέσει, ὃ ἔδει ὀρθὸν παραδοῦναι, καὶ πυνθανόμενοι ὅτι καὶ Βοιωτοῖς ἰδίᾳ ξυμμαχίαν πεποίηνται, φάσκοντες πρότερον κοινῇ τοὺς μὴ δεχομένους τὰς σπονδὰς προσαναγκάσειν. τά τε ἄλλα ἐσκόπουν ὅσα ἐξελελοίπεσαν τῆς ξυνθήκης, καὶ ἐνόμιζον ἐξηπατῆ-

μβ΄. 2. Μηδετέρους] Ἀθηναίους καὶ Βοιωτούς. — Κοινῇ νέμειν] ἦγουν κοινὴν νομὴν ἔχειν ἐν αὐτῷ. — 9. Δεινὰ ἐποίουν] ἐδεινοπάθουν. — 11. Ἰδίᾳ] ἄνευ τῶν Ἀθηναίων. — 13. Ἐσκόπουν] ἐπιμελῶς ἀνελογίζοντο. — 14. Ὅσα ἐξελελοίπεσαν] ὅσα ἐποίησαν ἐάσαντες τὴν συνθήκην.

Τὰ τοῦ κεφαλ. τοῦδε σχόλια πλὴν

Περὶ αὐτοῦ post ὅρκοι ponit E. In Chr. περὶ τοῦ αὐτοῦ.

Ὅρκοι παλαιοί. C. I. E. K. m. Ar. Chr. Dan. παλαιοὶ ὅρκοι. Valla: *quoddam olim—iusiurandum intercessisse*, unde noli aliter ab eo lectum putare quam παλαιοί.

Μηδετέρους. Gr. μηδ' ἑτέρους. Post νέμειν cum Haack. colo pro commate interpunximus.

Αἰχμαλώτους post οἱ Βοιωτοί collocant F. Lugd. Mosqu.

Ἐξελθόντες. Reg. (G.) C. D. I. E. ἐξελθόντος, sed D. I. cum ες s. ος.

Τετράδι. Lugd. τετράδην. E. τετάρτῃ. C. D. I. εἰκοστῇ ἑβδόμῃ, ex interpr.

Ἡμέραν. G. ἡμετέραν. Virgulam non post ταύτην, sed post χρόνον perperam collocavit Bekk. Ἀνέντες pro ἄγοντες aliquando coniiciebat Reisk. Vid. adnot.

Ἐσέβαλλον Vat. H. Gr. Bredov. Goell. Vulgo (Haack. Bekk.) ἐσέβαλον. „Fortassis praestat lectio ἐσέβαλλον propter verba πάντα τὸν χρόνον, quod sive de tota aestate cum Bredov. intelligas, sive de tempore τῶν ἱερομηνίων, quod mihi verisimilius videtur, certe non conveniat aoristo, nisi si hunc statueris accipiendum esse pro participio ἐσβαλόντες ἐδῄουν, ut magis ad ἐδῄουν quam ad ἐσέβαλον pertineant verba πάντα τὸν χρόνον. Quae ratio ferri posse videtur." HAACK. Ita haec comparanda essent cum τὸ αὐτὸ ἕνα ἕκαστον παραγαγόντες καὶ ἐρωτῶντες III, 68. ubi vid. adnot. Non plane similia sunt quae ex Homero adnotavit Matth. Gr. p. 1098.

Ἐπιδαυρίαν. D. Ἐπιδαυρίων.

4. Προὐφασίσαντο. E. marg. Steph. προφασίσαντες.

Cap. LV. Ἐπιδαύρῳ. Pal. Ἐπιδαυρίῳ.

Οἱ Ἀργεῖοι Cass. Aug. Cl. It. Vat. H. Reg. cod. Bas. Gr. C. D. I. E. K. m. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo οἱ δε.

Ἀπό. H. rursus ἐκ. Cf. ad c. 3.

Παρακαλεσάντων. Lugd. παρακελευσάντων, sed ᾱ s. ᾰ et ᾰ s. ευ.

Εὐφαμίδας Cass. Aug. Cl. Pal.

Digitized by Google

τοῖς ἔργοις ὁμολογεῖν· σφεῖς μὲν γὰρ περὶ εἰρήνης ξυγκαθῆσθαι, τοὺς δ' Ἐπιδαυρίους καὶ τοὺς ξυμμάχους καὶ τοὺς Ἀργείους μεθ' ὅπλων ἀντιτετάχθαι· διαλῦσαι οὖν πρῶτον χρῆναι * ἐφ' * ἑκατέρων ἐλθόντας τὰ στρατόπεδα, καὶ οὕτω πάλιν λέγειν περὶ τῆς εἰρήνης. 2. καὶ πεισθέντες ᾖχοντο, καὶ τοὺς Ἀργείους ἀπήγαγον ἐκ τῆς Ἐπιδαυρίας. ὕστερον δὲ ἐς τὸ αὐτὸ ξυνελθόντες, οὐδ' ὡς ἐδυνήθησαν ξυμβῆναι, ἀλλ' οἱ Ἀργεῖοι πάλιν ἐς τὴν Ἐπιδαυρίαν ἐσέβαλον, καὶ ἐδῄουν. 3. ἐξεστράτευσαν δὲ καὶ οἱ Λακεδαιμόνιοι ἐς Καρύας· καὶ ὡς οὐδ' ἐνταῦθα τὰ διαβατήρια αὐτοῖς ἐγένετο, ἐπανεχώρησαν. 4. Ἀργεῖοι δὲ, τεμόντες τῆς Ἐπιδαυρίας ὡς τὸ τρίτον μέρος, ἀπῆλθον ἐπ' οἶκον. καὶ Ἀθηναίων αὐτοῖς χίλιοι ἐβοήθη-

Σεπτεμβρ μην.

νε'. 1. Ὁμιλεῖν] γράφεται ὁμολογεῖν. (λ. Κασσ. Λύγ.) — 3. ** Διαλῦσαι —] τὸ ἐξῆς, διαλῦσαι ἐλθόντας ἀφ' † ἑκατέρας. † (Λουγδ.) — 6. Ἦιχοντο] οἱ πρέσβεις δηλονότι. (λ. Λύγ.) — 7. Ἐς τὸ αὐτὸ ξυνελθόντες] ἑνωθέντες. (λ. Λύγ.) — 11. ** Τὰ διαβατήρια] τὰ ἱερεῖα εἰς διάβασιν. (Λουγδ.) — Τὰ διαβατήρια αὐτοῖς ἐγένετο] καλὰ δηλονότι. (λ. Λύγ.) — 13. Ἐβοήθησαν] μετὰ

It. Vat. Reg. (G.) cod. Bas. Gr. C. K. Ar. Chr. Dan. Haack. Bekk. Goell. Vulgo Ἐφαμίδας. H. Ἀφαμίδας. „Vid. Valck. ad Herodot. IV, 150." GOTTL. Cf. II, 83. IV, 119.

Ὁμολογεῖν. Cam. et marg. Steph. ex Schol. vulg. ὁμιλεῖν. Cf. adnot. Deinde bis colon puncto substituit Bekk.

Σφεῖς. Lugd. σφᾶς. At vid. ad IV, 114.

Καὶ τοὺς Ἀργείους. „Aliter [κατὰ τ. Ἀ.] legisse videtur Valla; nam vertit: *Epidaurios autem et socios cum armis adversus Argivos in acie stare.*" HUDS. Potuit tamen etiam nostrum sic interpretari.

Ἀντιτετάχθαι. C. ἀντετάχθαι. K. ἀτιτετάχθαι. Statim C. διαλυσα, Mosqu. διαλύσαι.

Ἐφ' Cass. (in quo rec. man. in ἀφ' mutavit,) Goell. Idem in m. superscr. Vulgo (Haack. Bekk.) ἀφ'. Cf. adnot.

Ἐλθόντας. Pal. ἐλθόντα, sicut Ae. Portus coniiciebat. At vid. adnot.

Περὶ τῆς εἰρήνης. „Cl. περὶ εἰρήνην. Fort. περὶ εἰρήνης." WASS. K. ἐειρήνης. Articulus non sollicitandus.

2. Ἀπήγαγον. C. ἐπηγαγουν (? ἐπήγαγον?)

Ξυνελθόντες. H. G. ξυνελθόντας.

Ἐσέβαλον. H. ἐσέβαλλον, sed hic alia ratio est quam c. 54, 3.

3. Τὰ διαβατήρια. Τά om. Reg. At. vid. c. 54, 2. (G. διαβατήριον, cum ᾰ s. ον ead. man.)

4. Ὡς s. v. habet H., om. Vat. Antea B. τῆς τῆς Ἐπιδ. Post οἴκ. vulgo colon, post στρατ. punctum, quod recte invertit Bekk.

Digitized by Google

σαν ὁπλῖται, καὶ Ἀλκιβιάδης στρατηγὸς· πυθόμενοι δὲ τοὺς Λακεδαιμονίους ἐξεστρατεῦσθαι, καὶ ὡς οὐδὲν ἔτι
352. αὐτῶν ἔδει, ἀπῆλθον. καὶ τὸ θέρος οὕτω διῆλθε.

B. Χειμών. Κεφ. νε'.

(*Λακεδαιμονίων ἐς Ἐπίδαυρον φρουρὸς ἐκπεμφάντων Ἀθηναῖοι τοὺς Εἵλωτας ἐς Πύλον ἀνακομίζουσιν. Ἐπιδαύριοι Ἀργεῖοι ἀποπειρῶσι.*)

5 νε'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος Λακε- Ὀλ. ϟ. ἔτ. β. πρὸ Χρ. νιθ'. ἀπὸ τῆς ιη Ὀκτωβρ. μην.
δαιμόνιοι, λαθόντες Ἀθηναίους, φρουρούς τε τριακοσίους καὶ Ἀγησιππίδαν ἄρχοντα κατὰ θάλασσαν ἐς Ἐπίδαυρον ἐξέπεμψαν. 2. Ἀργεῖοι δ' ἐλθόντες παρ' Ἀθηναίους ἐπεκάλουν ὅτι, γεγραμμένον ἐν ταῖς σπονδαῖς
10 διὰ τῆς ἑαυτῶν ἑκάστους μὴ ἐᾶν πολεμίους διϊέναι, ἐάσειαν κατὰ θάλασσαν παραπλεῦσαι· καὶ εἰ μὴ κἀκεῖνοι ἐς Πύλον κομιοῦσιν ἐπὶ Λακεδαιμονίους τοὺς Μεσση-

βοηθείας ἦλθον. (λ. Λύγ.) — 2. ** Ὡς] ὅτι. (Δουγδ.)

νε'. 7. Ἐξέπεμψαν] εἰσέβαλον πέμψαντες. — 9. Ἐάσειαν] οἱ Ἀθηναῖοι. — 10. Καὶ εἰ μὴ κἀκεῖνοι ἐς Πύλον — —] οἱ Ἀργεῖοι τοῖς Ἀθηναίοις ἔλεγον ὅτι, ἐὰν μὴ εἰσαγάγωσι πάλιν ἐς Πύλον τοὺς Εἵλωτας καὶ Μεσσηνίους, οὓς ἐξήγαγον ἐκ Πύλου διὰ τὰς πρὸς † Μεσσηνίους † συνθήκας, ἀδικήσεσθαι αὐτοὶ οἱ Ἀργεῖοι. ἔνιοι δὲ, αὐτοὶ οἱ Ἀθηναῖοι, ἤκουσαν. — 11. ** Ἐπὶ Λακεδαιμονίους] κατὰ τῶν Λακεδαιμονίων. (Δουγδ.)

Τὰ τοῦ κεφαλαίου τούτου σχόλια πλὴν τοῦ τρίτου λ. Λύγ.

Ἀλκιβιάδης. Gr. ὁ Ἀλκιβ. Antea Mosqu. ὁπλίται.

Πυθόμενοι. Cass. Aug. Reg. (G.) F. Lugd. cod. Bas. Gr. C. D. E. K. πυθόμενος. „Sic legit et distinguit Fr. Port. στρατηγὸς, πυθόμενοι τοὺς Λακεδ.“ HUDS. Reiskio οὐκ ante ἐξεστρ. excidisse videbatur. Consule adnot. Pessime Levesqu. Καρύαις pro praeced. αὐτοῖς coniecit.

Ἀπῆλθον. D. I. ἀπῆλθε. Deinde H. I. θῆρος, E. οὕτως.

Διῆλθε. Cass. Pal. H. C. I. Bekk. bene διῆλθεν, ut in fine librorum.

Cap. LVI. Ἀθηναίους. D. τοὺς Ἀθην.

Τὰ τριακοσίους. Gr. τετρακοσίους. Cod. Bas. τέ om.

Ἀγησιππίδαν. Pal. Ἀγησιπίδαν. Lugd. Ἀγισιππίδαν. „Supra [c. 52.] Ἡγησιππίδαν [si idem est].“ HUDS.

Ἐς. Cl. ὡς. „Quomodo noster IV, 50. 79. VIII, 31.“ WASS. „Sed omnibus his locis de hominibus dicitur.“ DUK. Cf. adnot. ad I, 50. In Vat. de.

Ἐπίδαυρον. E. Ἐπιδαυρίαν.

Ἐξέπεμψαν. Cod. Bas. ἔπεμψαν.

Ἑκάστους. Mosqu. ἑκάστου. Mox C. παραπλῆσαι.

Καὶ εἰ. Gr. κεἰ, quod pedestris oratio non admittit.

Μεσσηνίους. Gr. C. D. I. E.

Digitized by Google

νίους καὶ Εἵλωτας, ἀδικήσεσθαι αὐτοί. 8. Ἀθηναῖοι δὲ, Ἀλκιβιάδου πείσαντος, τῇ μὲν Λακωνικῇ στήλῃ ὑπέγραψαν ὅτι οὐκ ἐνέμειναν οἱ Λακεδαιμόνιοι τοῖς ὅρκοις, ἐς δὲ Πύλον ἐκόμισαν τοὺς ἐκ Κρανίων Εἵλωτας ληΐζεσθαι· τὰ δ' ἄλλα ἡσύχαζον. 4. τὸν δὲ χειμῶνα τοῦτον πολεμούντων Ἀργείων καὶ Ἐπιδαυρίων, μάχη μὲν οὐδεμία ἐγένετο ἐκ παρασκευῆς, ἐνέδραι δὲ καὶ καταδρομαὶ, ἐν αἷς ὡς τύχοιεν ἑκατέρων τινὲς διεφθείροντο. 5. καὶ τελευτῶντος τοῦ χειμῶνος πρὸς ἔαρ ἤδη κλίμακας ἔχοντες οἱ Ἀργεῖοι ἦλθον ἐπὶ τὴν Ἐπίδαυρον, ὡς, ἐρήμου οὔσης διὰ τὸν πόλεμον, βίᾳ αἱρήσοντες· καὶ ἄπρακτοι ἀπῆλθον. καὶ ὁ χειμὼν ἐτελεύτα, καὶ τρίτον καὶ δέκατον ἔτος τῷ πολέμῳ ἐτελεύτα.

ἰδ. κεφ. λε'. πρὸ Χρ. νιθ'. τελευτ. καὶ νιη'. ἀρχομ. πρὸ Χρ. νιη'. πρὸ τῆς ιγ'. Ἀπριλ. μην.

κεφ. ιη'. κγ'.

1. Ἀδικήσεσθαι αὐτοί] ἤγουν ἀδικηθήσεσθαι οἱ Ἀργεῖοι. — 2. Τῇ μὲν Λακωνικῇ στήλῃ] ἣν ἔστησαν οἱ Ἀθηναῖοι, ἔχουσαν τὰς Λακωνικὰς σπονδάς. — 4. Ληΐζεσθαι] ὥστε ληΐζεσθαι. — 5. Τὰ δ' ἄλλα] ἤγουν κατὰ τὰ ἄλλα. — 7. Ἐκ παρασκευῆς] ἤγουν ἐκ φανερᾶς παρατάξεως. — Ἐνέδραι δὲ καὶ καταδρομαί] λεληθυῖαι ἐπιθέσεις. — 10. Ὡς ἐρήμου οὔσης] συμμαχίας δηλονότι.

Mosqu. K. rursus *Μεσηνίους*. Cf. I., 2. p. 531. et Bekk. ad I, 101. Pro praecedente *τούς* I. *καί*.

Εἵλωτας. Cass. *Εἵλωτας*, „ut et paulo post et plerumque." Cf. adnot. ad I, 101.

8. *Ὑπέγραψαν*. Vind. *ἐπέγραψαν*.

Ἐκ Κρανίων. Reg. (G.) *ἐν Κρανίῳ*. At vid. I. 2. p. 176. E. *ἐκ Κρανείου*.

Τὰ — ἡσύχαζον om. D. I.

4. *Ἀργείων*. Vat. H. *τῶν Ἀργείων*.

Καταδρομαί. H. *ἐκδρομαί*, sed *κατα* s. v. Antea C. *ἐναιδραι*.

Διεφθείροντο. Gr. Mosqu. *ἐφθείροντο*, in Gr. tamen nostrum superscr.

5. *Ἦλθον*. Vat. H. *ἐλθόντες*, at sequitur *καὶ ἀπῆλθον*. Virgula post *ὡς* ante Haack. deerat, et tamen altera post *πόλ.* exstabat.

Αἱρήσοντες. D. *αἱρήσοντας*.

Καὶ τρίτον — ἐτελεύτα om. D. Pro *τρίτον* Reg. (G.) *τὸ τρίτον*. At vid. ad II, 70. et Engelh. ad Plat. Menex §. 2.

Digitized by Google

XIV. Τέταρτον καὶ δέκατον ἔτος τοῦ πολέμου. Κεφ. νζ' — πά'.

Α. Θέρος. Κεφ. νζ' — οε'. Πόλεμος Ἀργείων καὶ Λακεδαιμονίων.

(1. Πρώτη στρατεία Λακεδαιμονίων Ἄγιδος ἡγουμένου ἐπ' Ἄργος. τετράμηνοι σπονδαί. νζ' — ξ'. Αἰτίαι τῆς στρατείας. καταρίθμησις τοῦ ξυλλεγέντος στρατεύματος.)

νζ'. ΤΟΥ Δ' ΕΠΙΓΙΓΝΟΜΕΝΟΥ ΘΕΡΟΥΣ' Ὀλ. ϟ'. μεσοῦντος Λακεδαιμόνιοι, ὡς αὐτοῖς οἵ τε Ἐπιδαύριοι, ἔτ. β'/γ'. ξύμμαχοι ὄντες, ἐταλαιπώρουν, καὶ τἄλλα ἐν τῇ Πελοπόννησῳ τὰ μὲν ἀφειστήκει, τὰ δ' οὐ καλῶς εἶχε, νομίσαντες, εἰ μὴ προκαταλήψονται ἐν τάχει, ἐπὶ πλέον χωρήσεσθαι αὐτὰ, ἐστράτευον αὐτοὶ καὶ οἱ Εἵλωτες πανδημεὶ ἐπ' Ἄργος· ἡγεῖτο δὲ Ἄγις ὁ Ἀρχιδάμου, Λακεδαιμονίων βασιλεύς. 2. ξυνεστράτευον δ' αὐτοῖς Τεγεᾶται καὶ ὅσοι ἄλλοι Ἀρκάδων Λακεδαιμονίοις ξύμμαχοι ἦσαν. οἱ δ' ἐκ τῆς ἄλλης Πελοποννήσου ξύμμαχοι καὶ οἱ ἔξωθεν ἐς Φλιοῦντα ξυνελέγοντο, Βοιωτοὶ μὲν πεντακισχίλιοι ὁπλῖται, καὶ τοσοῦτοι ψιλοὶ, καὶ ἱππῆς πεν-

πρὸ Χρ. υιη'. ἀπὸ τῆς ιβ'. Ἰουν. μην. μέχρι τῆς ια'. Ἰουλ.

νζ'. 3. Καὶ τἄλλα] ἔθνη δηλονότι. — 4. Τὰ μὲν ἀφειστήκει] τῶν Λακεδαιμονίων δηλονότι. τουτέστιν Ἦλις καὶ Μαντίνεια. — Τὰ δ' οὐ καλῶς εἶχεν] ἤγουν ἐστασίαζον. τουτέστιν ἡ Κόρινθος. — 5. Ἐπὶ πλέον] ἤγουν κακόν. (λ. Αὐγ.) — 10. Καὶ οἱ ἔξωθεν] Πελοποννήσου δηλονότι. (λ. Αὐγ.)

Cap. LVII. Μεσοῦντος om. Mosqu.

Τἄλλα. D. τ' αλα. Bekk. τἄλλα.

Ἀφειστήκει. It. Vat. H. Bekk. ἀφεστήκει. Nihil refert. Vid. I. 1. p. 228. C. F. ἀφιστήκει.

Προκαταλήψονται. Aug. It. Vat. H. καταλήψονται, sed in Aug. προ additum a corr.

Αὐτά. Gr. τὰ αὐτά. C. αὐτούς.

Ἐπ'. Gr. C. D. I. ἐς.

Ἄργος. Mosqu. Ἄργους.

Ὁ Ἀρχιδάμου. Ὁ om. H. At vid. II, 19. Haackium ubique Ἄγις exarare iam c. 24. adnotavimus.

Λακεδαιμονίων om. Reg. (G.)

2. Τεγεᾶται. Vulgo Τεγεάται τε, sed τέ om. Cass. Aug. It. Vat. F. E. Mosqu. Bekk. Goell.

Ἀρκάδων. Mosqu. Ar. Chr. Dan. Ἀρκάδες.

Φλιοῦντα. Pal. Φλειοῦντα, sed corr. rec. man. I. Φλοιοῦντα. Vat. H. Φιλιοῦντα. Mosqu. Φιλοῦντα.

Καὶ τοσοῦτοι — δισχίλιοι ὁπλῖται om. I. Caeterum vulgo ἱππῆς, plerique libri ἱππεῖς. Cf. I. 1. p. 221. et 475.

Digitized by Google

τακόσιοι, καὶ ἄμιπποι ἴσοι· Κορίνθιοι δὲ διςχίλιοι ὁπλῖται· οἱ δ' ἄλλοι, ὡς ἕκαστοι· Φλιάσιοι δὲ πανστρατιᾷ, ὅτι ἐν τῇ ἐκείνων ἦν τὸ στράτευμα.

(Ἄγις, τοὺς Ἀργείους λαθὼν, τρισὶ τάγμασιν ἐς τὴν αὐτῶν ἐσβάλλει.)

νη'. Ἀργεῖοι δὲ, προαισθόμενοι τό τε πρῶτον τὴν παρασκευὴν τῶν Λακεδαιμονίων, καὶ ἐπειδὴ ἐς τὸν Φλιοῦντα, βουλόμενοι τοῖς ἄλλοις προσμῖξαι, ἐχώρουν, τότε δὴ ἐξεστράτευσαν καὶ αὐτοί. ἐβοήθησαν δ' αὐτοῖς καὶ Μαντινῆς, ἔχοντες τοὺς σφετέρους ξυμμάχους, καὶ Ἠλείων τρισχίλιοι ὁπλῖται. 2. καὶ προϊόντες ἀπαντῶσι τοῖς Λακεδαιμονίοις ἐν Μεθυδρίῳ τῆς Ἀρκαδίας. καὶ καταλαμβάνουσιν ἑκάτεροι λόφον· καὶ οἱ μὲν Ἀργεῖοι ὡς μεμονωμένοις τοῖς Λακεδαιμονίοις παρεσκευάζοντο 353.

2. ** Ὡς ἕκαστοι] ἐδύναντο. (Λουγδ.)

νη'. 4. Ἀργεῖοι δὲ προαισθόμενοι τό τε πρῶτον — —] Ἀργεῖοι προαισθόμενοι τήν τε πρώτην τῶν Λακεδαιμονίων παρασκευὴν, καὶ αὖθις προσχωροῦντας τοὺς Λακεδαιμονίους ἐπὶ Φλιοῦντος ὑπὲρ τοῦ τοῖς ἰδίοις συμμίξαι συμμάχοις, τότε καὶ αὐτοὶ ἐξεστράτευσαν. ἔνιοι δὲ τὸ τότε πρῶτον ὠθήθησαν σημαίνειν ἐν τῷ τότε καιρῷ. — 5. ** Ἐς τὸν Φλιοῦντα] τὸν Φλιοῦντα, ἀρσενικῶς. (Αὐγ.) — 6. Ἐχώρουν] οἱ Λακεδαιμόνιοι. (λ. Αὐγ.) — 7. Αὐτοῖς] τοῖς Ἀργείοις. (λ. Αὐγ.) — 12. Ὡς μεμονωμένοις] ἐρήμοις συμμάχων. (λ. Αὐγ.)

Ἄμιπποι. „Antea nullo sensu ἄνιπποι.“ WASS. Ita Aug. Pal. It. Vat. G. Lugd. C. K. m. Vall. et haud dubie plures. At vid. adnot.

Ἴσοι. Pal. ἶσοι. It. Vat. ὅσοι. In E. καὶ ἅμ. ἴσ. de.

Φλιάσιοι. Pal. Φλειάσιοι, corr. rec. man. G. Φλιάσιος. Deinde Mosqu. πανστρατιά.

Cap. LVIII. Τό τε. Ante Haack. τότε. Correxit Heilm.

Φλιοῦντα. Pal. Φλειοῦντα, ut mox H., qui hic s. v. cum γρ. habet, et infra Pal. Φλειάσιοι ac cap. sequ. Φλειασίων, et sic semper. C. I. Φλοιοῦντα, sicut infra solus I. In Vat. H. Φιλιοῦντα, sicut infra solus Vat. In Mosqu. Φιλοῦντα.

Τότε δή. Mosqu. τότε δέ.

Μαντινῆς. Vulgo rursus Μαντινῆς, in plerisque Μαντινεῖς. Nostrum Pal. Bekk. Goell. Sic rursus c. 59. bis et in proximis, ubi non amplius memorabitur, usque ad c. 81. constanter, nisi quod c. 61. 62. 72. 73. de Pal. tacetur.

Τοὺς σφετέρους. Τούς om. D. 2. Προϊόντες. Ar. Chr. Dan. προσιόντες.

Καταλαμβάνουσιν. Vind. λαμβάνουσιν.

Μεμονωμένοις. H. μεμονωμένοι. I. μενωμένοις, sed μο s. v.

Digitized by Google

μάχεσθαι, ὁ δὲ Ἄγις, τῆς νυκτὸς ἀναστήσας τὸν στρατὸν, καὶ λαθὼν, ἐπορεύετο ἐς Φλιοῦντα παρὰ τοὺς ἄλλους ξυμμάχους. 3. καὶ οἱ Ἀργεῖοι, αἰσθόμενοι, ἅμα ἕῳ ἐχώρουν πρῶτον μὲν ἐς Ἄργος, ἔπειτα δὲ, ἢ προσεδέχοντο τοὺς Λακεδαιμονίους μετὰ τῶν ξυμμάχων καταβήσεσθαι, τὴν κατὰ Νεμέαν ὁδόν. 4. Ἄγις δὲ ταύτην μὲν, ἣν προσεδέχοντο, οὐκ ἐτράπετο, παραγγείλας δὲ τοῖς Λακεδαιμονίοις καὶ Ἀρκάσι καὶ Ἐπιδαυρίοις, ἄλλην ἐχώρησε χαλεπὴν, καὶ κατέβη ἐς τὸ Ἀργείων πεδίον· καὶ Κορίνθιοι καὶ Πελληνῆς καὶ Φλιάσιοι * ὄρθιον * ἑτέραν ἐπορεύοντο· τοῖς δὲ Βοιωτοῖς καὶ Μεγα-

2. *Λαθών*] τοὺς Ἀργείους δηλανότι. (λ. Αὐγ.) — 9. *Χαλεπήν*] δύσοδον. (λ. Αὐγ.)

3. *Οἱ Ἀργεῖοι.* Οἱ om. F. „Fortasse distinguendum post ἕῳ, nam sensus erit apertior" AE. PORT. Initium tamen proximi cap. aliquantum repugnat.

Ἔπειτα δὲ. Δέ non male om. It. Vat. H. Bekk. Goell.

Προσεδέχοντο. Hinc ad ἐτράπετο lacuna in C. D. I.

Τοὺς Λακεδαιμονίους μετὰ τῶν ξυμμάχων. Aug. It. Vat. H. Bekk. μετὰ τῶν ξυμμ. τοὺς Λακεδ., sed in Aug. literis β′ α′ vulgaris ordo indicatus. Cf. de Art. crit. p. 132. sq.

4. Ἐτράπετο, Mosqu. ἐτράποντο. B. ἐτράποτο.

Ἀργείων. Gr. Dan. Ἀργεῖον, sed in marg. Gr. Ἀργείων.

Πελληνῆς. Vat. H. perperam Παλληνεῖς. Cf. ad IV, 120. et I. 2. p. 370. Plerique libri Πελληνεῖς, vulgo Πελληνῆς, nostrum Pal. Bekk. Goell. Sic etiam c. 59. 60.

Φλιάσιοι. Gr. οἱ Φλιάσιοι.

Ὄρθιον. Gr. ὁδόν. Cass. Aug. It. Vat. H. Reg. Lugd. B. C. I. E. Vind. K. Dan. Ald. Flor. Bas. marg. Steph. ὄρθριον. Ar. Chr. κατὰ ὄρθριον. m. κτ τ" ὄρθρ. D. ὄρθρειοι. Mosqu. ὄρθριει, i. e. ὄρθριοι. Ita „legebat Valla; nam vertit *diverso itinere matutini perrexere.*" HUDS. post Steph. Ad ὄρθιον „subintellige ὁδόν, et respondent τοῖς, ἄλλην χαλεπήν. Nihil ergo mutandum." WASS. „Scriptura, quam Vallam secutum esse putat Stephanus, defendi posset ex hoc Menandri in Ὀργῇ apud Athenaeum VI, 10. ὄρθριος πρὸς τὴν σελήνην ἔτρεχε. [Cf. Matth. Gr. §. 446. 8.] Sed haud dubie rectum est ὄρθιον. Vel pueris notum est hoc Hesiodi μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτήν." DUK. „Ὄρθιον aptum sane videtur loco. In altera lectione magis diceret ὄρθριοι [quam ὄρθριον], et ineptum plane fuerit *aliam matutinam viam ingressi.* Ceterum ὄρθιος in femin. habet ὀρθίαν; sed pluxa hoc faciunt adiectiva. [Cf. Matth. Gr. §. 117. 8.]" BAU. „Nolunt quidem interpretes codicum lectionem admittere. Sed haud dubie est vera et ex Herodoti dictione deprompta. Sic ille l. II. c. 173. scripsit: τὸ μὲν ὄρθριον μέχρι ὅτου πληθούσης ἀγορῆς προθύμως ἔπρησσε τὰ προσφερόμενα πρήγματα. Nostro

ρεῦσι καὶ Σικυωνίοις εἴρητο τὴν ἐπὶ Νεμέας ὁδὸν καταβαίνειν, ᾗ οἱ Ἀργεῖοι καθῆντο, ὅπως, εἰ σὶ Ἀργεῖοι ἐπὶ σφᾶς ἰόντες ἐς τὸ πεδίον βοηθοῖεν, ἐφεπόμενοι τοῖς ἵπποις χρῷντο. 5. καὶ ὁ μὲν, οὕτω διατάξας, καὶ ἐσβαλὼν ἐς τὸ πεδίον, ἔδῃου Σάμινθόν τε καὶ ἄλλα.

(Ἀργεῖοι πανταχόθεν ἀποκόπτονται.)

νθ'. Οἱ δὲ Ἀργεῖοι, γνόντες, ἐβοήθουν ἡμέρας ἤδη ἐπὶ τῆς Νεμέας, καὶ περιτυγχάνοντες τῷ Φλιασίων καὶ Κορινθίων στρατοπέδῳ, τῶν μὲν Φλιασίων ὀλίγους ἀπέκτειναν, ὑπὸ δὲ τῶν Κορινθίων † αὐτοὶ † οὐ πολλῷ πλείονας διεφθάρησαν. 2. καὶ οἱ Βοιωτοὶ καὶ οἱ Μεγαρῆς καὶ οἱ Σικυώνιοι ἐχώρουν, ὥςπερ εἴρητο αὐτοῖς, ἐπὶ τῆς Νεμέας, καὶ τοὺς Ἀργείους οὐκέτι κατέλαβον·

1. *Εἴρητο*] ὥρισται (l. Αὐγ.)

loco igitur illud ὄρθριον apte respondet antecedenti ἅμα ἕῳ." BENED. Paruit Haack. Sed primum quod in τὸ ὄρθριον Herodotus fecit, in solo ὄρθριον admisisse Thucydidem nondum probabile est. Nec multum iuvat Aristophanis ὄρθριον ᾄδει (de gallo). Nos igitur aut vulgatam tenemus, aut legimus ὄρθριοι. Caeterum cf. init. prox. cap. et de αἰφνίδιον atque αἰφνίδιοι dicta VI, 49.

Εἴρητο. Dan. ἤρητο, et paulo inferius. Mox D. *Νομέας*, sed ō s, ō ead. man.

Ἧι οἱ. Οἱ om. Mosqu.

Καθῆντο Pal. Bekk. Goell. In Cass. Aug. It. Vat. cod. Bas. Gr. (nisi quod hic οι s. η) et in marg. Cl. *κάθηντο*. Alterutrum etiam H. Vulgo *ἐκάθηντο*, ut III, 97. IV, 44. E. *ἐπεκάθηντο*. Sed nostrum non deterius. Cf. Pors. Praef. ad Eur. Hec. p. XVII. et Buttm. Gr. §. 86. adnot. 2.

Εἰ οἱ. Εἰ om. C. D., s. v. habet I. K. *Οἱ* om. Reg. (G.) F. Lugd. cod. Bas., ὁ pro eo habet Mosqu., qui mox *σφας* sine accent.

Ἰόντες ἐς. Ἐς pro vulg. *εἰς* Cass. Aug. Cl. H. Reg. (G.) Gr. I. Ar. Chr. Ald. Bas. Steph. 1. Haack. Bekk. Goell.

Βοηθοῖεν. C. D. *βοηθεῖεν.*

Χρῷντο. C. D. I. *ἔχρῶντο.*

5. *Ἐς τὸ πεδίον* om. D. I. Statim Gr. *ἐδῄουν* habet.

CAP. LIX. *Ἐβοήθουν.* Mosqu. *ἐσεβοήθουν.*

Τῷ Φλιασίων. B. C. D. I. Ald. Flor. Bas. *τῶν Φλιασίων.*

Αὐτοί. Reiskius *αὐτοῖς* coniecit, quod iure placet Goellero. Valla: *ex ipsis haud multo plures a Corinth. obtruncantur.*

Πλείονας. F. *πλείω.*

2. *Βοιωτοὶ καὶ οἱ. Οἱ* om. Gr. (et G.?) Mox *Μεγαρῆς* hic et c. 60. Pal. Bekk. Goell. Vulgo *Μεγαρεῖς*, plerique codd. *Μεγαρεῖς.*

Digitized by Google

ἀλλὰ καταβάντες, ὡς ἑώρων τὰ ἑαυτῶν δῃούμενα, ἐς μάχην παρετάσσοντο. ἀντιπαρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι. 3. ἐν μέσῳ δὲ ἀπειλημμένοι ἦσαν οἱ Ἀργεῖοι· ἐκ μὲν γὰρ τοῦ πεδίου οἱ Λακεδαιμόνιοι εἶργον τῆς πόλεως καὶ οἱ μετ' αὐτῶν, καθύπερθεν δὲ Κορίνθιοι καὶ Φλιάσιοι καὶ Πελληνῆς, τὸ δὲ πρὸς Νεμέας Βοιωτοὶ καὶ Σικυώνιοι καὶ Μεγαρῆς. ἵπποι δὲ αὐτοῖς οὐ παρῆσαν· οὐ γάρ πω οἱ Ἀθηναῖοι μόνοι τῶν ξυμμάχων ἧκον.

(Θράσυλλος καὶ Ἀλκίφρων ἀφ' ἑαυτῶν Ἄγιδι μόνῳ σπένδονται τέσσαρας μῆνας, ὃ καὶ Λακεδαιμόνιοι καὶ Ἀργεῖοι ἀγανακτοῦσι.)

4. Τὸ μὲν οὖν πλῆθος τῶν Ἀργείων καὶ τῶν ξυμμάχων οὐχ οὕτω δεινὸν τὸ παρὸν ἐνόμιζον, ἀλλ' ἐν καλῷ ἐδόκει ἡ μάχη ἔσεσθαι, καὶ τοὺς Λακεδαιμονίους ἀπειληφέναι ἐν τῇ αὐτῶν τε καὶ πρὸς τῇ πόλει. 5. τῶν

νθ'. 1. Καταβάντες] οἱ Ἀργεῖοι. — Ἐς μάχην] φανερὰν δηλονότι. — 4. Οἱ Λακεδαιμόνιοι εἶργον — πόλ.] ὥστε μὴ ἔρχεσθαι εἰς τὴν πόλιν. — 5. Τῆς πόλεως] τοῦ Ἄργους. — 7. Αὐτοῖς] ἤγουν τοῖς Ἀργείοις. — 11. Ἐν καλῷ] ἐπὶ συμφέροντι.

Τὰ τοῦ κεφαλαίου τούτου σχόλια

Ἑαυτῶν δῃούμενα. C. ἑ δειούμενα.

Ἀντιπαρεσκευάζοντο. Cass. Aug. (hic tamen a man. rec.,) F. Lugd. Gr. B. C. I. Vind. K. ἀντεπαρεσκευάζοντο, quod vitium redit VII, 3. et in ἀντιπαρατάσσειν VII, 5. D. ἀντεπαρασκευάζοντο.

Καὶ οἱ Λακεδαιμόνιοι. Καί om. Gr. Proxima ab ἐν (ante quod Haack. non recte colon posuit) ad alterum Λακ. om. I. E.

3. Μέσῳ. Gr. μέσσῳ.

Μὲν γάρ. Μέν s. v. ead. man. G. Γάρ om. C. I.

Εἶργον om. D. I. Caeterum εἶργον Pal. Bekk. Cf. de Art. crit. p. 152. et Buttm. Ind. verb. Sequebatur vulgo ἀπό, quod om. Cass. Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) F. Gr. Ar. Chr. Dan. Ald. Bas. Haack. Bekk. Goell. Noster II, 85. καὶ μὴ ὑπ' ἐλίγων νεῶν εἴργεσθαι τῆς θαλάσσης." WASS. Cf. Matth. Gr. §. 353. 3.

Καθύπερθεν H. Reg. (G.) D. I. E. K. m. Ar. Chr. Vulgo (Haack. Bekk. Goell.) male καθύπερθε. Vid. Lob. ad Phryn. p. 285., cui tamen non assentitur Schaef. Appar. ad Demosth. II. p. 273. Cass. κάθυπερ. Aug. Pal. καθύπερ, in Aug. tamen man. 2. add. θεν.

Κορίνθιοι. Gr. οἱ Κορίνθιοι.

Πελληνῆς. H. rursus Παλληνεῖς. C. Πεληνεῖς. Cf. c. 58, 3.

Μόνοι om. C., in marg. habet I.

4. Οὐχ. Gr. οὐκ.

Αὐτῶν Cass. Aug. Cl. Pal. Gr. Mosqu. m. Ar. Chr. et haud dubie plures pro vulg. (Haack. Bekk. Goell.) αὑτῶν. Cf. Farr. discr. script.

Digitized by Google

δὲ Ἀργείων δύο ἄνδρες, Θράσυλλός τε, τῶν πέντε στρατηγῶν εἷς ὤν, καὶ Ἀλκίφρων, πρόξενος Λακεδαιμονίων, ἤδη τῶν στρατοπέδων ὅσον οὐ ξυνιόντων, * προσελθόντε * Ἄγιδι, διελεγέσθην μὴ ποιεῖν μάχην· ἑτοίμους γὰρ εἶναι Ἀργείους δίκας δοῦναι καὶ δέξασθαι ἴσας καὶ ὁμοίας, εἴ τι ἐπικαλοῦσιν Ἀργείοις Λακεδαιμόνιοι, καὶ τὸ λοιπὸν εἰρήνην ἄγειν, σπονδὰς ποιησαμένους. 354

ξ'. Καὶ οἱ μὲν ταῦτα εἰπόντες τῶν Ἀργείων ἀφ' ἑαυτῶν, καὶ οὐ τοῦ πλήθους κελεύσαντος, εἶπον· καὶ ὁ Ἄγις, δεξάμενος τοὺς λόγους αὐτὸς, καὶ οὐ μετὰ τῶν πλειόνων οὐδὲ αὐτὸς βουλευσάμενος, ἀλλ' ἢ ἑνὶ ἀνδρὶ κοινώσας τῶν ἐν τέλει ξυστρατευομένων, σπένδεται τέσσαρας μῆνας, ἐν οἷς ἔδει ἐπιτελέσαι αὐτοὺς τὰ ὡρθέναται· καὶ ἀπήγαγε τὸν στρατὸν εὐθύς, οὐδενὶ φράσας τῶν ἄλλων ξυμμάχων. 2. οἱ δὲ Λακεδαιμόνιοι καὶ οἱ

ἀπὸ Ἰουλ. μην. ἄρχομ.

πλὴν τοῦ τελευταίου λ. Ἀνγ.

2. *Πρόξενος*] φίλος. — 3. *Ὁσονοὺ ξυνιόντων*] ἤγουν ὁσονοὺκ ἤδη μελλόντων.

ξ'. 14. *Ἀπήγαγε*] ἔστρεψεν. (λ. Ἀνγ.)

5. *Θράσυλλος*. Pal. *Θράσυλος*. Aut hoc aut *Θρασύλος* F. D. E. Cf. c. 66. et ad VIII, 73.

Οὐ ξυνιόντων. It. Vat. H. *οὐκ ἐξιόντων*. E. *οὔπω ξυνιόντων*.

Προσελθόντε. Cass. Aug. Cl. It. F. Lugd. cod. Bas. C. E. Vind. K. (nisi quod hic *προσελφόντες*,) m. Ar. Chr. *προσελθόντες*. D. I. *προελθόντες*. Illud praeferunt Ae. Port. et Bened., sed quum *διελεγέσθην* sequatur, vide ne iis, quae a Matth. Gr. §. 301. et Buttm. §. 116. 7. adnot. 4. observata sunt, non satis confirmetur.

Ἄγιδι. Cass. *τῷ Ἀγιδι*. Mox Mosqu. *διετεγ*. Pro *μάχην* C. *μάχη*.

Cap. LX. *Τῶν Ἀργείων* om. D, *Ἀφ' ἑαυτῶν*. Lugd. *ἐφ' ἑαυτῶν*. At vid. adnot. ad VI, 40.

Κελεύσαντος. E. *κελεύοντος*. Antea Lugd. *οὐδέ* pro *οὐ*.

Ὁ Ἄγις. *Ὁ* om, D. I. Post *Ἄγις* ante *δεξ*. Abresch. *δέ* ob praeced. *μέν* excidisse suspicabatur, quod probant Gottl. et Bau. Remittitur Haack.

Τῶν πλειόνων. *Τῶν* om. Gr., non repugnante Wassio. Incisum post *πλ*. Abreschio auctore sustulit Bau., post *λόγους* Bekk.

Ἢ om. D.

Ἑνί in marg. ponit I., om. E., post *ἀνδρὶ* habet Ar.

Κοινώσας. Aug. It. H. Lugd. E. *κοινώσασθαι*, sed Lugd. nostrum in marg. Mosqu. *κοινωσάμενος*, non contra linguam (cf. Schneid. ad Xen. Anab. V, 6, 36.), sed contra consuetudinem Thucydidis. Vid. Ind. verb.

Ξυστρατευομένων. Gr. et fortasse D., ex quo nostrum temere affertur, *ξυστρατευσαμένων*.

Φράσας. C. *φράσαι*.

Digitized by Google

ξύμμαχοι ἔσπουδο μὲν ὡς ἡγεῖτο, διὰ τὸν νόμον, ἐν αἰτίᾳ δ' εἶχον κατ' ἀλλήλους πολλῇ τὸν Ἄγιν, νομίζοντες, ἐν καλῷ παρατυχὸν σφίσι ξυμβαλεῖν, καὶ πανταχόθεν αὐτῶν ἀποκεκλημένων καὶ ὑπὸ ἱππέων καὶ πεζῶν, οὐδὲν δράσαντες ἄξιον τῆς παρασκευῆς ἀπιέναι. 3. στρατόπεδον γὰρ δὴ τοῦτο κάλλιστον Ἑλληνικὸν τῶν μέχρι τοῦδε ξυνῆλθεν· ὥφθη δὲ μάλιστα, ἕως ἔτι ἦν ἀθρόον ἐν Νεμέᾳ, ἐν ᾗ Λακεδαιμόνιοί τε πανστρατιᾷ ἦσαν, καὶ Ἀρκάδες, καὶ Βοιωτοί, καὶ Κορίνθιοι, καὶ Σικυώνιοι, καὶ Πελληνῆς, καὶ Φλιάσιοι, καὶ Μεγαρῆς· καὶ οὗτοι πάντες λογάδες ἀφ' ἑκάστων, ἀξιόμαχοι δοκοῦντες εἶναι οὐ τῇ Ἀργείων μόνον ξυμμαχίᾳ, ἀλλὰ καὶ ἄλλῃ ἔτι προσ-

1. Ὡς ἡγεῖτο] ἦγουν προηγεῖτο. (λ. Αὐγ.) — 3. Ἐν καλῷ παρατυχὸν σφίσι ξυμβαλεῖν] τοῖς Ἀργείοις τῆς τύχης δούσης ἐπὶ συμφέροντι συμβαλεῖν. (λ. Αὐγ.) — 4. Αὐτῶν] τῶν Ἀργείων. (λ. Αὐγ.) — 5. Ἄξιον τῆς παρασκευῆς] οὔσης μεγάλης δηλονότι. (λ. Αὐγ.) — 6. Τῶν μέχρι τοῦδε] τῶν στρατοπέδων. (λ. Αὐγ.) — 7. Μάλιστα] ἀκριβῶς. (λ. Αὐγ.) — Ἕως ἔτι ἦν ἀθρόον ἐν Νεμέᾳ] ζητεῖται πῶς, τριτῇ διαιρεθέντος τοῦ τῶν Πελοποννησίων στρατεύματος εἰς Φλιασίους, καὶ ἑνὸς μόνου μέρους τὴν ἐπὶ Νεμέαν ἰόντος, τῶν δὲ ἄλλων ἄλλαις χρησαμένων ὁδοῖς καὶ οὐδαμοῦ συμμιξάντων, ἔφη ἀθρόους αὐτοὺς ὤφθαι περὶ Νεμέαν. μήποτε δὲ μετὰ τὰς σπονδὰς ἀναχωροῦντα τὰ τρία μέρη ὅπίσω ἐπὶ Φλιοῦντα, ἓν Νεμέᾳ πάντα ἐγένετο· εὔπορος γὰρ ἦδε ἡ ὁδός· καὶ διὰ τοῦτο καὶ οἱ Ἀργεῖοι, ἐγγύθεν πάντας ἥξειν ἐπὶ τὴν μάχην προσδεχόμενοι, προσαπῆντων εἰς τὴν Νεμέαν. — 11. Λογάδες] ἐκλελεγμένοι (λ. Αὐγ.) — 12. Ἔτι προσγενομένῃ] προστεθείσῃ. (λ. Αὐγ.)

2. *Πολλῇ* ante *κατ'* ponit Dan. *Ἐν καλῷ.* Gr. *ἐν τῷ καλῷ.* „Male." WASS. „Thuc. cap. praeced. *ἀλλ' ἐν καλῷ ἐδόκει ἡ μάχη ἔσεσθαι.*" DUK.

Παρατυχόν. Pal. *παρὰ τυχόν.* At vid. Matth. Gr. §. 564. Mox *πανταχόθεν* in K. ex corr.

Ἀποκεκλημένων Aug. K. m. (hic et K. sine ¯ subscr.) Ar. Chr. Bekk. Goell., etiam Reg. teste Duk., sed G. *ἀποκεκλιμ.* teste Gail. In Cass. detrita erat scriptura inter *λ* et *μ*, sed spatium tantum uniuslitterae capax erat. Pal. It. Vat. H. *ἀποκλειμένων.* Cod. Bas. *ἀποκεκλιμένων.* Vulgo (et Haack.) *ἀποκεκλεισμένων.* Cf. I. 1. p. 213. Lugd. *ἐπικεκλεισμένων*, cum *απο* s. *επι* et *ι* s. *ει*.

Ἀπό. D. *ἀπό.*

3. *Λακεδαιμόνιοι.* Gr. *οἱ Λακεδ.*

Καὶ Πελλ. καὶ Φλιάσιοι om. Gr.

Ἀφ'. E. *ἐφ'.*

Καὶ ἄλλῃ om. Dan. *Κἂν ἄλλῃ* mavult Bekk., non idonea de causa.

Ἔτι. Ar. Chr. Dan. *τῇ ἔτι.*

Προσγενομένῃ. Dan. (non Mos-

Digitized by Google

γενομένῃ. 4. τὸ μὲν οὖν στρατόπεδον, οὕτως ἐν αἰτίᾳ ἔχοντες τὸν Ἄγιν, ἀνεχώρουν τε καὶ διελύθησαν ἐπ' οἴκου ἕκαστοι. 5. Ἀργεῖοι δὲ καὶ αὐτοὶ ἔτι ἐν πολλῷ πλείονι αἰτίᾳ εἶχον τοὺς σπεισαμένους ἄνευ τοῦ πλήθους, νομίζοντες κἀκεῖνοι, μὴ ἂν σφίσι ποτὲ κάλλιον παρασχὸν, Λακεδαιμονίους διαπεφευγέναι· πρός τε γὰρ τῇ σφετέρᾳ πόλει καὶ μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων τὸν ἀγῶνα ἂν γίγνεσθαι. 6. τόν τε Θράσυλλον, ἀναχωρήσαντες, ἐν τῷ Χαράδρῳ, οὗπερ τὰς * ἀπὸ στρατείας * δίκας, πρὶν ἐξιέναι, κρίνουσιν, ἤρξαντο λεύειν. ὁ δὲ, καταφυγὼν ἐπὶ τὸν βωμὸν, περιγίγνεται· τὰ μέντοι χρήματα ἐδήμευσαν αὐτοῦ.

2. ** Ἔχοντες] σημείωσαι τὴν σύνταξιν. (Κασσ.) — Ἐπ' οἴκου ἕκαστοι] μεμερισμένως εἰς τὴν ἑαυτῶν πατρίδα. (λ. Ἀὐγ.) — 5. Κἀκεῖνοι] οἱ Ἀργεῖοι. (λ. Ἀὐγ.) — 6. Πρός] πλησίον. (λ. Ἀὐγ.) — 9. Ἀναχωρήσαντες] εἰς τὴν πόλιν δηλονότι. (λ. Ἀὐγ.) — 11. Περιγίγνεται] σάζεται. (λ. Ἀὐγ.) — 12. Ἐδήμευσαν] δημόσια ἐποίησαν. (λ. Ἀὐγ.)

qu., quem Bekk. memorat,) προγιγνομένῃ.

4. Ἐν αἰτίᾳ. D. I. ἐναντία, I. tamen in marg. ἐν αἰτίᾳ.

Ἐν πολλῷ. Ἐν om. Mosqu., post πολλῷ ponunt Ar. Chr. „Aliter solet noster." WASS.

Αἰτίᾳ om. Dan. Mox. C. τὸ (pro τοῦ) πλήθους habet.

Ποτέ om. cod. Bas.

Παρασχόν. D. I. male παρασχεῖν. Cf. 63, 1.

Ξυμμάχων. Mosqu. καὶ ξυμμ.

6. Θράσυλλον. Pal. Θράσυλον. Cum uno λ etiam E. Cf. ad 59, 5.

Χαράδρῳ. D. I. male Χαράνδρῳ. Vid. Paus. II, 25, 2.

Ἀπὸ στρατείας Ar. Chr. „atque ita legendum esse docuit Ae. Port." HUDS. Consentit Kistem., receperunt Haack. et Goell., intelligentes lites in expeditionibus ortas. Cass. Aug. ἀποστρατείας. Quae „lectio, ut ut haud contemnenda, [et probata Schneidero in Lex. Gr.,] angustior tamen est; quippe et alia iudicabantur." BAU. Unde hoc cognitum habeat vir doctus, nos ignorantes ad scripturam ἀποστρατείας amplectendam inclinamus. Vulgo (et Bekk.) ἀπὸ στρατιᾶς. H. rursus ἐκ στρατιᾶς.

Ἐξιέναι. Cl. ex emend. male ἐκιέναι.

Λεύειν. Gr. λίγειν, nostrum int. vers. In Reg. super vers. ead. man. est γρ. λιθεύειν. In incerto Par. λειθίζειν (? λιθάζειν ?). „Λεύειν poeticum paene; adiectivum tamen frequentius paulo λιθόλευστος." BAU. Compositum καταλεύειν usurpant Herodot. Xenoph.

Καταφυγὼν — περιγίγνεται. „Thom. Mag. in περιεγένετο." DUK.

Ἐδήμευσαν. C. ἐδήμησαν.

Digitized by Google

(2. Αἱ σπονδαὶ λύονται. Ἀργεῖοι καὶ οἱ ξύμμαχοι Ὀρχομενὸν μὲν αἱροῦσι, παρασκευάζονται δὲ καὶ ἐς ἐπὶ Τεγέαν. ξα'. ξβ'.)

ξα'. Μετὰ δὲ τοῦτο, Ἀθηναίων βοηθησάντων χιλίων ὁπλιτῶν καὶ τριακοσίων ἱππέων, ὧν ἐστρατήγουν Λάχης καὶ Νικόστρατος, οἱ Ἀργεῖοι (ὅμως γὰρ τὰς σπονδὰς ὤκνουν λῦσαι πρὸς τοὺς Λακεδαιμονίους) ἀπίεναι ἐκέλευον αὐτούς, καὶ πρὸς τὸν δῆμον οὐ προσῆγον, βουλομένους χρηματίσαι, πρὶν ἢ Μαντινῆς καὶ Ἠλεῖοι (ἔτι γὰρ παρῆσαν) κατηνάγκασαν δεόμενοι. 2. καὶ ἔλεγον οἱ Ἀθηναῖοι, Ἀλκιβιάδου πρεσβευτοῦ παρόντος, ἔν τε τοῖς Ἀργείοις καὶ ξυμμάχοις ταῦτα, ὅτι οὐκ ὀρθῶς αἱ σπονδαὶ ἄνευ τῶν ἄλλων ξυμμάχων καὶ γένοιντο, καὶ νῦν (ἐν καιρῷ γὰρ παρεῖναι σφεῖς) ἅπτεσθαι χρῆναι τοῦ πολέμου. 3. καὶ πείσαντες ἐκ τῶν λόγων τοὺς ξυμμάχους, εὐθὺς ἐχώρουν ἐπὶ Ὀρχομενὸν τὸν Ἀρκαδικὸν πάντες, πλὴν Ἀργείων· οὗτοι δὲ, ὅμως καὶ πεισθέντες, ὑπελείποντο πρῶτον, ἔπειτα δ' ὕστερον καὶ οὗτοι ἦλθον.

Ol. 4. ἔτ. γ. μετὰ τὴν ια'. Ἰουλ. μην.

ξα'. 6. ** Χρηματίσαι] ἀποκρίνεσθαι. (Δουγδ.) — 13. Τὸν Ἀρκαδικόν] τὸν παρ' Ὁμήρῳ πολύμηλον.

Cap. LXI. *Ὁπλιτῶν καὶ τριακοσίων ἱππέων.* H. *ἱππέων καὶ τριακοσίων ὁπλιτῶν.* Pro trecentis equitibus Diod. l. XII. c. 79. ducentos nominat.

Ἐστρατήγουν. D. I. *ἐστρατήγει*, ne id quidem vitiose.

Λῦσαι. Hinc ad *χρηματίσαι* lacuna in D. In Mosqu. *χριματ.* exaratur.

Πρὶν ἤ. D. *πρὶν οἱ.*

2. *Οἱ Ἀθηναῖοι.* *Οἱ* om. Gr. Mox ante Bau. virgula non post *παρόντος* erat, sed post *ξυμμ.*

Γένοιντο. D. *ἐγενήνητο.* I. *ἐγεγένοιντο.* E. *γεγένοινται.* Iidem tres antecedens *καί* omittere videntur.

Σφεῖς. F. *σφᾶς.* Cf. ad IV, 6. Statim Vind. K. *ἅπτεσθε.*

3. *Ἐκ τῶν λόγων.* Gr. *ἐν τῷ λόγῳ.* „Hoc defendi quidem poset, sed non est recedendum a scriptura vulgata, quam tuentur alii omnes scripti et editi libri. Lucian, Catapl. p. 440. *ἐκ τοῦ λόγου δείξω φανερώτερον.* Idem de Sacrific. p. 363. *κατεδυνάστευσεν αὐτὸν ἐκ τῶν λόγων.* Plutarch. Romul. p. 45. *πεπεισμένον ἔκ τινων ἄρα λογίων.*" DUK.

Ὀρχομενόν. Cl. *τὸν Ὀρχομενόν.* At sic alibi *Ὀρχομενὸς ὁ Μινύειος, ὁ Βοιώτιος.*

Πάντες om. D. Verba *οὗτοι δὲ — ἦλθον* Haack. parenthesin esse voluit, quod quanquam ob repetitum *πάντες* ante *ἐπολιόρκουν* non necessarium videtur, saltem cum Goell. ante *οὗτοι* minus plene interpungendum erat.

Digitized by Google

4. καὶ προσκαθεζόμενοι τὸν Ὀρχομενὸν πάντες ἐπολιόρκουν, καὶ προσβολὰς ἐποιοῦντο, βουλόμενοι ἄλλως τε προσγενέσθαι σφίσι, καὶ ὅμηροι ἐκ τῆς Ἀρκαδίας ἦσαν αὐτόθι ὑπὸ Λακεδαιμονίων κείμενοι. 5. οἱ δὲ Ὀρχομένιοι, δείσαντες τήν τε τοῦ τείχους ἀσθένειαν, καὶ τοῦ στρατοῦ τὸ πλῆθος, καὶ, ὡς οὐδεὶς αὐτοῖς ἐβοήθει, μὴ προαπόλωνται, ξυνέβησαν ὥστε ξύμμαχοί τε εἶναι, καὶ ὁμήρους σφῶν τε αὐτῶν δοῦναι Μαντινεῦσι, καὶ οὓς κατέδεντο Λακεδαιμόνιοι, παραδοῦναι.

ξβ'. Μετὰ δὲ τοῦτο, ἔχοντες ἤδη τὸν Ὀρχομενόν, ἐβουλεύοντο οἱ ξύμμαχοι ἐφ' ὅ τι χρὴ πρῶτον ἰέναι τῶν λοιπῶν. καὶ Ἠλεῖοι μὲν ἐπὶ Λέπρεον ἐκέλευον, Μαντινῆς δὲ ἐπὶ Τεγέαν· καὶ προσέθεντο οἱ Ἀργεῖοι καὶ Ἀθηναῖοι τοῖς Μαντινεῦσι. 2. καὶ οἱ μὲν Ἠλεῖοι, ὀργισθέντες ὅτι οὐκ ἐπὶ Λέπρεου ἐψηφίσαντο, ἀνεχώρησαν ἐπ' οἴκου· οἱ δὲ ἄλλοι ξύμμαχοι παρεσκευάζοντο ἐν τῇ Μαν-

Τὰ ἀπὸ τοῦ προσγενέσθαι] προσκαθῆναι. — 4. Αὐτόθι] ἐν τῷ Ὀρχομενῷ.

ξβ'. 13. Προσέθεντο] συνῆλθαν τῇ γνώμῃ.

4. Προσκαθεζόμενοι. Gr. B. C. Chr. Dan. Ald. Flor. ed. Bas. (non item cod. Bas.) προκαθεζόμενοι. At vid. Ind. verb. in προσκαθίζ. Statim Lugd. ἐπολιώρκουν.

Ὅμηροι. B. ὅμοιροι.

5. Ὀρχομένιοι. Pal. Ὀρχέμενοι. H. s. v. γρ. Ὀρχόμεναι. G. ἀρχόμενοι.

Τήν τε. Τἠ hoc, (non, ut Bekk. scribit, id quod post ἄλλως legitur,) om. D. Ar. Chr. Dan.

Προαπόλωνται. F., qui etiam ante ἐβοήθη, ἀπροαπόλωνται. G. ἀπόλωνται. „Ante quod ergo tempus? Nempe, priusquam auxilio quisquam veniret." BAU.

Μαντινεῦσι. Vulgo καὶ Μαντινεῦσι, sed ineptum καί om. Cass. Aug. Cl. It. Vat. H. Reg. cod. Bas. Gr. Mosqu. Vall. Haack. Bekk. Goell. In K. erasum est. „Rem illustrat locus c. 77. καὶ τοὺς ἄνδρας τοὺς ἐν Μαντινείᾳ." HAACK. Mox errore typogr. apud Duk. κατέδοντο, quod repetiverunt Lips. et Alter.

Cap. LXIII. Ἐβουλεύοντο. Lugd. ἐβούλοντο, sed nostrum in marg.

Τεγέαν. De accentu vid. ad c. 32, 3.

Καὶ Ἀθηναῖοι. Καί om. Pal.

2. Ἀνεχώρησαν. Mosqu. ἀνεχωρήσαντους.

Μαντινείᾳ. Pal. Gr. Μαντινίᾳ.

Digitized by Google

τινεία ὡς ἐπὶ Τεγέαν ἰόντες. καὶ τινες αὐτοῖς καὶ αὐτῶν Τεγεατῶν ἐν τῇ πόλει ἐνεδίδοσαν τὰ πράγματα.

(8. Δευτέρα στρατεία Ἀγιδος εἰς Ἄργος. ξγ'—οε'. α) Πορεῖαι καὶ ἀντιστρατοπεδεύσεις ἑκατέρων. ξγ'—ξς'. Λακεδαιμόνιοι Ἀγιδι χαλεπαίνουσι, καὶ δέκα αὐτῷ ξυμβούλους διδόασι.)

ξγ'. Λακεδαιμόνιοι δὲ ἐπειδὴ ἀνεχώρησαν ἐξ Ἄργους τὰς τετραμήνους σπονδὰς ποιησάμενοι, Ἄγιν ἐν μεγάλῃ αἰτίᾳ εἶχον, οὐ χειρωσάμενον σφίσιν Ἄργος, παράσχον καλῶς, ὡς οὔπω πρότερον αὐτοὶ ἐνόμιζον· ἀθρόους γὰρ τοσούτους ξυμμάχους καὶ τοιούτους οὐ ῥᾴδιον εἶναι λαβεῖν. 2. ἐπειδὴ δὲ καὶ περὶ Ὀρχομενοῦ ἠγγέλλετο ἁλωπέναι, πολλῷ δὴ μᾶλλον ἐχαλέπαινον, καὶ ἐβούλευον εὐθὺς ὑπ' ὀργῆς, παρὰ τὸν τρόπον τὸν ἑαυτῶν, ὡς χρὴ τήν τε οἰκίαν αὐτοῦ κατασπάψαι, καὶ δέκα μυριάσι δραχμῶν ζημιῶσαι. 3. ὁ δὲ παρητεῖτο μηδὲν τούτων δρᾶν· ἔργῳ γὰρ ἀγαθῷ ῥύσεσθαι τὰς αἰτίας στρα-

2. Ἐν τῇ πόλει ἐνεδίδοσαν τὰ πράγματα] ἠμέλουν τῶν κατὰ μέχρι τοῦ τὴν πόλιν πραγμάτων. (λ. Κασσ.)

ξγ'. 5. Σφίσιν] τοῖς Λακεδαιμονίοις. — Παρασχὸν καλῶς] ἀντὶ ἐξ ὁλίτου συμβάντος καλῶς τοῦ χειρώσασθαι αὐτούς. — 7. Τοσούτους] γου ἤγουν πολλούς. — Τοιούτους] ἤγουν ἀνδρείους. — 8. Λαβεῖν] κεφ. ξδ'. ἀντὶ τοῦ συλλαβεῖν. ** ἀθροίζειν. (Δουγδ.) — 12. Ὁ δὲ] ὁ Ἄγις. σχόλια — 13. Ῥύσεσθαι] ἀπολύσειν. λ. Ἀϊγ.

Ἰόντες. Vat. ἰόντας.

Αὐτοῖς om. Reg. (G.)

Αὐτῶν Τεγεατῶν. Vulgo (et Bekk.) post αὐτῶν interponitur τῶν, quod om. Cass. Aug. Cl. Pal. Vat. H. Lugd. Gr. B. C. I. K. (quorum multos tacuit Bekk.) m. Ar. Chr. Ald. Flor. Bas. Haack. Goell. Cf. Krueg. ad Dion. p. 454 sq. et Ind. verb. in αὐτός.

Ἐνεδίδοσαν. Mosqu. K. ἐνέδοσαν.

Cap. LXIII. Τετραμήνους. Vat. τετραμμένους. H. τετραμμένας.

Αἰτίᾳ in marg. ponit Mosqu.

Χειρωσάμενον. H. χειρωσάμενοι. D. κοινωσάμενον. Valla: quod secum rem non communicasset in tanta cum Argivis opportunitate bene pugnandi.

Παρασχόν. D. rursus παρασχεῖν. Cf. 60, 5.

Καλῶς. E. καλόν.

2. Ἁλωπέναι. Mosqu. ἁλῶν. Antea C. ἠγγέλετο.

Ἐβούλευον. Mosqu. ἐβούλοντο.

Εὐθύς de. Dan.

Τὸν ἑαυτῶν. K. Ar. Ald. Flor. Bas. τῶν ἑαυτῶν. In cod. Bas. vulgata est ex emend.

Τήν τε. Τέ om. C. D. I. Ar. Chr. Dan., s. v. habet K.

3. Ῥύσεσθαι. Cl. Ar. ῥύσασθαι.

Στρατευσάμενος. Cass. Aug. Cl. Pal. It. Vat. H. στρατευσόμενος.

Digitized by Google

τευσάμενος· ἢ τότε ποιεῖν αὐτοὺς ὅ τι βούλονται. 4. οἱ δὲ τὴν μὲν ζημίαν καὶ τὴν κατασκαφὴν ἐπέσχον, νόμον δὲ ἔθεντο ἐν τῷ παρόντι, ὃς οὔπω πρότερον ἐγένετο αὐτοῖς· δέκα γὰρ ἄνδρας Σπαρτιατῶν προσείλοντο αὐ- 356
τῷ ξυμβούλους, ἄνευ ὧν μὴ κύριον εἶναι ἀπάγειν στρα- 5
τιὰν ἐκ τῆς πόλεως.

(Λακεδαιμόνιοι μετὰ τῶν ἐξ Ἀρκαδίας ξυμμάχων ἐς Τεγέαν ἀφικόμενοι, ἐς τὴν Μαντινικὴν ἐςβάλλουσιν.)

ξδ'. Ἐν τούτῳ δ' ἀφικνεῖται αὐτοῖς ἀγγελία παρὰ τῶν ἐπιτηδείων ἐκ Τεγέας ὅτι, εἰ μὴ παρέσονται ἐν τάχει, ἀποστήσεται αὐτῶν Τεγέα πρὸς Ἀργείους καὶ τοὺς ξυμμάχους, καὶ ὅσον οὐκ ἀφέστηκεν. 2. ἐνταῦθα δὴ βοή- 10
θεια τῶν Λακεδαιμονίων γίγνεται αὐτῶν τε καὶ τῶν Εἱλώτων πανδημεὶ ὀξεῖα, καὶ οἷα οὔπω πρότερον. 3. ἐχώ-

3. Ἐν τῷ παρόντι] τῷ τοτε καιρῷ, ὅτε ὠργίζοντο. — 5. Μὴ κύριον] τὸν Ἄγιν.

ξδ'. 7. Παρὰ τῶν ἐπιτηδείων] τῶν ἐν τῇ Τεγέᾳ. — 8. Εἰ μὴ παρέσονται] οἱ Λακεδαιμόνιοι. §. ἡ στρατιὰ ἡ βοηθήσουσα. — 10. ** Ὅσον οὐκ] μόνον οὐχί. (Λουγδ.) — 12. Καὶ οἷα οὔπω] γράφεται καὶ ὡς οὔπω. (λ. Κασσ.) — Ἐχώρουν δὲ ἐς Ὀρέστειον]

„Quod praeferendum vulgato [cum Levesqu.] non est. Sensus est: „simulac *profectus fuerit* in bellum", non *profecturus*." HAACK.

4. Τὴν μέν. Μέν om. D.

Ἐπέσχον. Lugd. ὑπέσχον.

Ἀπάγειν. Mosqu. ἐπάγειν.

Ἐκ τῆς πόλεως. „Si, in quo rex antea deliquerit, probe meministi, non dubitabis scribere ἐκ τῆς πολεμίας. In eo enim res vertebatur, ut rex, quod ante ipse fecerat, ne in posterum faceret, iniussuque horum decemvirorum copias ex agro hostium reduceret." LINDAU. Spicil. p. 10. At scriptor nihil aliud dicere vult quam non licuisse amplius regi sine his comitibus in bellum proficisci. Diod. l. XII. c. 78. παρακατέστησαν συμβούλους καὶ προςέταξαν μηδὲν ἄνευ τῆς τούτων γνώμης πράττειν.

Cap. LXIV. Αὐτοῖς ante ἀφικνεῖται ponit Ar. Antea δέ plene Cass. Aug. Gr.

Ὅτι. H. s. v. γρ. ὡς.

Τεγέα. H. s. v. addit ται.

Ἀφεστήκει. Reg. (G.) in marg. ἀφειστήκει. Mosqu. ἀφέστησαν.

2. Εἱλώτων. Gr. Εἰλώτων. Cf. adnot. ad I, 101.

Ὀξεῖα om. D.

Οἷα Cass. It. Vat. Reg. (G.) cod. Bas. Vind. m. Dan. Haack. Bekk. Goell. et ex corr. Aug. In Cl. Gr. Mosqu. et cap. Schol. οἷα, uti Tus. Alterutrum etiam H. C. D. I. E. K., utrumque marg. Steph. Vulgo ὡς. „Si quid mutandum sit, malim οἷα; nam οἷα plurale neutrum hic vix potest locum habere. Thuc. V, 14. τῇ ἐν τῇ τήσῳ

Digitized by Google

ρουν δὲ ἐς Ὀρέσθειον τῆς Μαναλίας· καὶ τοῖς μὲν Ἀρκάδων σφετέροις οὖσι ξυμμάχοις προεῖπον ἀθροισθεῖσιν ἰέναι κατὰ πόδας αὐτῶν ἐς Τεγέαν· αὐτοὶ δὲ, μέχρι μὲν τοῦ Ὀρεσθείου πάντες ἐλθόντες, ἐκεῖθεν δὲ τὸ ἔκτον μέρος σφῶν αὐτῶν ἀποπέμψαντες ἐπ' οἴκου, ἐν ᾧ τὸ πρεσβύτερόν τε καὶ τὸ νεώτερον ἦν, ὥστε τὰ οἴκοι φρουρεῖν, τῷ λοιπῷ στρατεύματι ἀφικνοῦνται ἐς Τεγέαν. καὶ οὐ πολλῷ ὕστερον οἱ ξύμμαχοι ἀπ' Ἀρκάδων παρῆσαν. 4. πέμπουσι δὲ καὶ ἐς τὴν Κόρινθον, καὶ Βοιωτοὺς, καὶ Φωκέας, καὶ Λοκροὺς, βοηθεῖν κελεύοντες κατὰ τάχος ἐς Μαντίνειαν. ἀλλὰ τοῖς μὲν ἐξ ὀλίγου τε ἐγίγνετο, καὶ οὐ ῥᾴδιον ἦν μὴ ἀθρόοις καὶ ἀλλήλους περιμείνασι διελθεῖν τὴν πολεμίαν· (ξυνέκλῃε γὰρ διὰ μέσου·) ὅμως δὲ

οἱ βοηθήσοντες. [γράφεται ἐς Ὀρίσειον. (λ. Καισ.)] — 1. Ἀρκάδων] ἦγουν ἐκ τῶν Ἀρκάδων. — 5. Ἐπ' οἴκου] ἦγουν εἰς τὴν Λακεδαίμονα. — 11. Ἐξ ὀλίγου] ἐξαίφνης. §. ** διαστήματος. (Λουγδ.) — ** Ἐγίγνετο] ἐλθεῖν. (Λουγδ.) — 13. Ξυνέκλειε γὰρ διὰ μέσου] [ἀντὶ τοῦ] ἐν μέσῳ γὰρ οὖσα ἡ πολεμία γῆ ἐφύλαττεν αὐτούς. ἢ,

ξυμφορᾷ, οἷα οὔπω γεγένητο τῇ Σπάρτῃ." DUK. Ὡς interpretationem esse corruptae scripturae οἷα addit Haack.

3. Ὀρέσθειον et mox Ὀρεσθείου Cass. Aug. Cl. Pal. It. Vat. cod. Bas. m. Bekk. Goell., nisi quod Cass. infra cum Cl. Ὀρισθείου. Ald. Flor. Ὀρίσθειον. (?) Vulgo (et Haack.) Ὀρέστειον. Mosqu. Ὀρεστίειον. Gr. Ὀρέστιον hic in contextu et marg., sed infra Ὀρεσθίου, ubi Reg. (G.) E. Ὀρεστίου. Cass. in marg. et Aug. ibid. γρ. Ὀρίσειον. Cl. in marg. et m. ibid. γρ. Ὀρίσιον, quam scripturam etiam Schol. atque marg. Vind. et marg. Steph. admotavit. Vid. ad IV, 134.

Προεῖπον om. Gr.

Μέχρι μέν. Μέν om. D.

Ἐκεῖθεν δέ. C. ἐκεῖθέν τε.

Ἀποπέμψαντες. H. ἐκπέμψ., ne in composito quidem odium praepositi. ἀπό occultans.

Πρεσβύτερόν τε. Τέ om. Dan.

Τὸ νεώτερον. Τό om. C. Ar. Chr. Dan., s. v. habet K. Utrumque Thucydideum. Vid. I. 1. p. 196. Caeterum Mosqu. νεότερ. Parenthesis notas ante ἐν et ὥστε sustulit Haack.

Τὰ οἴκοι. D. Ar. Chr. τὰ οἶκον. C. τοὺς οἴκους.

4. Λοκροὺς. Pal. rursus Λωκρούς. Mox βοηθεῖν in marg. ponit I.

Ἐγίγνετο. F. ἐγένετο.

Ἀλλήλους. Cass. Aug. Pal. E. ἀλλήλοις, in E. tamen ους s. οις ead. man.

Τὴν πολεμίαν om. Cl., s. v. habet H., in marg. Aug. et Vat., Aug. tamen a man. vet. addito signo λ" (i. e. λείπει). Ob sequens ξυνέκλῃε deesse nequeunt. Solum τήν om. Mosqu.

Ξυνέκλῃε Reg. (G.) Gr. Bekk. Goell. Vulgo (et Haack.) ξυνέκλειε. Cf. I. 1. p. 218.

Digitized by Google

ἠπείγοντο. 5. Λακεδαιμόνιοι δὲ, ἀναλαβόντες τοὺς παρόντας Ἀρκάδων ξυμμάχους, ἐξέβαλον ἐς τὴν Μαντινικὴν, καὶ στρατοπεδευσάμενοι πρὸς τῷ Ἡρακλείῳ, ἐδήουν τὴν γῆν.

(Ἅγις ὀλίγου δεῖ μάχεσθαι ἐν χωρίῳ ἀνεπιτηδείῳ· ἀναχωρεῖ μέντοι ἐς τὴν Τεγεᾶτιν, καὶ οἱ Ἀργεῖοι ἐπιδιώκοντες αὐτὸν προέρχονται ἐς τὸ ὁμαλόν.)

ξε'. Οἱ δ' Ἀργεῖοι καὶ, οἱ ξύμμαχοι ὡς εἶδον αὐτοὺς, καταλαβόντες χωρίον ἐρυμνὸν καὶ δυσπρόοδον, παρετάξαντο ὡς ἐς μάχην. 2. καὶ οἱ Λακεδαιμόνιοι εὐθὺς αὐτοῖς ἐπῆεσαν· καὶ μέχρι μὲν λίθου καὶ ἀκοντίου βολῆς ἐχώρησαν· ἔπειτα τῶν πρεσβυτέρων τις Ἄγιδι ἐπεβόησεν, ὁρῶν πρὸς χωρίον καρτερὸν ἰόντας σφᾶς, ὅτι διανοεῖται κακὸν κακῷ ἰᾶσθαι, δηλῶν τῆς ἐξ Ἄργους ἐπαιτίου

δ μᾶλλον, ἀπέκλειε τοῖς ἐξ Ἄργους. — 1. Ἀναλαβόντες] ἤγουν ἀναστήσαντες, καὶ λαβόντες. (λ. Ἀὐγ.) — 2. Ἀρκάδων] ἤγουν ἐκ τῶν Ἀρκάδων. (λ. Ἀὐγ.) — 3. Πρὸς τῷ Ἡρακλείῳ] ναῷ δηλονότι. (λ. Ἀὐγ.)

ξε'. 6. Ἐρυμνὸν] ὀχυρόν. (λ. Ἀὐγ.) — Δυσπρόοδον] δυσέμβατον. (λ. Ἀὐγ.) — 7. Αὐτοῖς] τοῖς Ἀργείοις δηλονότι. (λ. Ἀὐγ.) — 9. Τῶν πρεσβυτέρων] Λακεδαιμονίων. — Ἄγιδι ἐπεβόησεν] ἤγουν ἐνώπιον πάντων. (λ. Ἀὐγ.) — 10. Διανοεῖται] ὁ Ἄγις. — 11. Κακὸν κακῷ ἰᾶσθαι] τὸ προγεγονὸς τῷ νῦν δηλονότι. τὴν ἀρχαίαν παροιμίαν ἐξ Ὀρέστου τοῦ Ἀγαμέμνονος ῥηθεῖσαν, ὅτις τὸν τοῦ πατρὸς θάνατον τῷ τῆς μητρὸς φόνῳ ἐθεράπευσε. — Τῆς ἐξ Ἄρ-

5. *Παρόντας* s. v. G.

Ξυμμάχους. Gr. *ξυμμάχων*, sed nostrum int. vers.

Μαντινικήν. D. I. *Μαντινεικήν*.

Cap. LXV. *Οἱ δ' Ἀργεῖοι. Δ'* per apostrophum plerique libri. Vid. I. 1. p. 437. Vulgo (Haack. Bekk. Goell.) *δέ*.

Αὐτούς. K. *ἀστούς*.

Καταλαβόντες. Gr. *ἀπολαβόντες*.

Χωρίον. Vat. *τὸ χωρίον*.

Δυσπρόοδον. „Thom. Mag. h. v. exponit *δύσκολον περὶ τὴν εἴσοδον*. Add. eundem in *εὐπρόοδος*. Priore loco interposita particula *τέ* legit *ἐρυμνόν τε καὶ δυσπρόοδον*." DUK.

2. *Ἄγιδι*. Gr. *τῷ Ἄγιδι*.

Ἐπεβόησεν. Vat. *ἐβόησεν*. H. *διεβόησεν*, sed *επε* s. *δια*. C. *ἐπεβοήθησεν*.

Ὁρῶν. C. D. I. *ἰδών*.

Πρός. Cam. C. D. I. *ἐς*.

Χωρίον. Cam. *χωρίων*. Ar. Chr. Dan. *τὸ χωρίον*.

Κακὸν κακῷ ἰᾶσθαι. „Citat Plutarch. in Moral. p. 797., et legit *ἰάσασθαι*." WASS. Similes locos vid. in adnot.

Τῆς ἐξ. Cass. a. pr. man. (nam deinde factum *τῆς*,) Aug. Gr. *τὴν ἐξ*.

Ἐπαιτίου. Cass. Aug. *ἐπ' αἰτίου*. Plutarch. l. d. *εὐπετοῦς* et

Digitized by Google

ἀναχωρήσεως τὴν παροῦσαν ἄκαιρον προθυμίαν ἀνάληψιν βουλομένην εἶναι. 3. ὁ δὲ, εἴτε καὶ διὰ τὸ ἐπιβού-
857. μα, εἴτε καὶ αὐτῷ ἄλλο τι, ἢ κατὰ τὸ αὐτὸ, δόξαν ἐξαίφνης, πάλιν τὸ στράτευμα κατὰ τάχος, πρὶν ξυμμίξαι,
5 ἀπῆγε. 4. καὶ ἀφικόμενος πρὸς τὴν Τεγεᾶτιν, τὸ ὕδωρ ἐξέτρεπεν ἐς τὴν Μαντινικὴν, περὶ οὗπερ, ὡς τὰ πολλὰ βλάπτοντος ὁποτέρωσε ἂν ἐσπίπτῃ, Μαντινῆς καὶ Τεγεᾶ-

γους ἐπαιτίου ἀναχωρήσεως] διὰ τὴν ἐξ Ἄργους δηλονότι ἀναχώρησιν ἐν αἰτίᾳ γενόμενον, νῦν ἀκαίρως αὐτὴν προθυμεῖσθαι ἀναλαβεῖν καὶ ἐπανορθῶσαι [τὴν τότε γενομένην ἁμαρτίαν. (λ. Ἀνγ.)] — 1. Ἀνάληψιν] θεραπείαν. (λ. Ἀνγ.) ** κατόρθωσιν. (Λουγδ.) — 3. Ἄλλο τι, ἢ κατὰ τὸ αὐτὸ, δόξαν] ἀντὶ τοῦ ἄλλο τι δόξαν ἢ τὸ αὐτό. (λ. Κασσ.) — 5. Ἀπῆγεν] εἰς τοὐπίσω ἔστρεψε. (λ. Ἀνγ.) — 6. Ἐξέτρεπε] μετωχέτευεν. (λ. Ἀνγ.) — 7. Ὁποτέρωσε ἂν ἐσπίπτῃ] εἰς ὁποτέραν πόλιν ἔβη. (λ. Ἀνγ.)

βουλόμενον. [C. βουλομένην.] Non videtur recedendum a scriptura recepta," DUK.

3. Ὁ δὲ — ἀπῆγε. „Laudat Suidas in ἐπιβόημα, ὁ δὲ εἴτε τὸ ἐπ. [sic etiam Zon., et εἶπε pro εἴτε Phav.] qui ex h. l. emendandus εἴτε καὶ διὰ τὸ ἐπιβ." WASS. Εἴτε s. v. H. *Καί* ante *διά* om. etiam Mosqu. At vid. Ind. Xen. Cyr. in *εἰ*. Ipsum *διά* om. etiam Dan.

Ἐπιβόημα. „Σκληρόν esse autumat Pollux VI, 208., pro quo ἐπιβόησις apud Dion. Hal. in Arte VII, 2. Noster ἐπιβούλευμα et ex illo Iosephus pro ἐπιβούλευσις." WASS. „Si ἐπιβόημα tam durum videbatur Polluci, non debebat ipse eo uti IX, 123." DUK. Cf. I. 1. p. 250.

Εἴτε καὶ αὐτῷ. Suid. ἢ καὶ αὐτῷ. *Καί* rursus om. Mosqu.

Ἄλλο τι. Gr. ἀλλότι. Proxima virgula vulgo abest, et tamen post αὐτό interpungitur.

Δόξαν ἐξαίφνης. „Post δόξαν in Suida [et Pal.] distinctio ponitur, et ἐξαίφνης coniungitur cum sequentibus; non deterius quam in edd. Thuc." DUK. Nec multum obstat κατὰ τάχος.

Ξυμμίξαι. Vat. H. ξυμβῖναι, sed in H. s. v. γρ. ξυμμίξαι.

4. Τεγεᾶτιν. Pal. C. I. Τεγεάτην. m. Τεάτιν. K. Γεάτιν. Ante Haack. Τεγεάτιν et mox Τεγεᾶται.

Ἐξέτρεπεν ἐς Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) F. Cam. Gr. C. D. I. B. Mosqu. K. m. Ar. Chr. Dan. Valck. ad Herodot. VII. c. 208. Haack. Bekk. Goell., nisi quod Ar. Chr. Dan. εἰς. Vulgo ἐξέτρεπε πρός.

Τὴν Μαντινικήν. Τήν om. Ar. Chr.

Ὡς. D. E. ἐς. Reg. C. (?G?) K. Ar. Chr. Dan. ὡς ἐς. Statim C. βλάπτοντες, sed ō s. ē.

Ὁποτέρωσε ἄν. Cass. Aug. Pal. It. pessime ὁποτέρως ἐάν. Vat. ὁποτέρων ἐάν. Lugd. ὁποτέροσε ἐάν. De ἐάν vid. ad IV, 118.

Ἐσπίπτῃ. Gr. ἐμπίπτῃ. E. (non F., quem Bekk. nominat,) ἐσπίπτοι. Schol. ἐκπίπτῃ?

Καὶ Τεγεᾶται in marg. ponit K.

ται πολεμοῦσιν. ἐβούλετο δὲ τοὺς ἀπὸ τοῦ λόφου, βοηθοῦντας ἐπὶ τὴν τοῦ ὕδατος ἐκτροπήν, ἐπειδὰν κύθωνται, καταβιβάσαι τοὺς Ἀργείους καὶ τοὺς ξυμμάχους, καὶ ἐν τῷ ὁμαλῷ τὴν μάχην ποιεῖσθαι. 5. καὶ ὁ μὲν, τὴν ἡμέραν ταύτην μείνας αὐτοῦ περὶ τὸ ὕδωρ, ἐξέτρεπεν· οἱ δ' Ἀργεῖοι καὶ οἱ ξύμμαχοι, τὸ μὲν πρῶτον καταπλαγέντες τῇ ἐξ ὀλίγου [αἰφνιδίῳ] αὐτῶν ἀναχωρήσει, οὐκ εἶχον ὅ τι εἰκάσωσιν· εἶτα, ἐπειδὴ ἀναχωροῦντες ἐκεῖ-

1. *Πολεμοῦσιν*] ἀλλήλους δηλονότι. (λ. *Ἀϋγ.*) — *Βοηθοῦντας*] βοηθήσοντας. (λ. *Ἀϋγ.*) — 3. *Καταβιβάσαι*] ἀντὶ τοῦ ἀγάγειν αὐτοὺς τοῦ καταβῆναι παρασκεῖν. — 5. *Περὶ τὸ ὕδωρ*] πρὸς τῷ ὕδατι. — 7. *Ἐξ ὀλίγου*] καιροῦ δηλονότι. (λ. *Ἀϋγ.*) — 8. *Ἀναχωροῦντες*] οἱ Λακεδαιμόνιοι. (λ. *Ἀϋγ.*)

Τοὺς ἀπὸ τοῦ λόφου, βοηθοῦντας. „Participium *βοηθοῦντας* si iungatur cum verbis *τοὺς ἀπὸ τοῦ λόφου*, pro futuro *βοηθήσοντας* accipiatur necesse est, etsi ne sic quidem commoda sententia efficiatur, quum neque ad hoc constituti fuerint in colle, neque illud Agidis inceptum suspicari potuerint. Ergo *βοηθοῦντας* non potest iungi cum *τοὺς ἀπὸ τοῦ λόφου*, sed post *λόφου* comma ponendum est. Thucydides brevitatis studiosus *τοὺς ἀπὸ τοῦ λόφου καταβιβάσαι* dixit pro *τοὺς ἐπὶ τοῦ λόφου* (*ἱδρυθέντας*) *καταβιβάσαι ἀπ' αὐτοῦ.*“ HAACK. Cf. I. 1. p. 176.

Πύθωνται. Cl. It. Vat. H. Gr. B. C. E. Vind. Ar. Chr. Dan. Ald. Flor. Bas. *πείθωνται*, sed E. recte *ὕ* s. *ει*. Mox *τοὺς Ἀργ. καὶ τοὺς ξυμμ.* male olim suspectarant Haackio, quem vide. Cf. I. 1. p. 205.

Καὶ ἐν — ποιεῖσθαι laudat Phot. p. 241. Post *ποιεῖ.* Bekk. et Goell. male colon habent.

5. *Περί.* H. *παρά*, sed s. v. *περί.* Antea Pal. *μείνας.*

Τῇ ἐξ. C. *τῆς ἐξ.*

Αἰφνιδίῳ. C. D. I. Mosqu. *αἰφνιδίῳ.* In Reg. de. „Et potest suspectum esse, tanquam ex interpretatione, [praesertim quum ad c. 64. hoc exstet scholion, *ἐξ ὀλίγου· ἐξαίφνης* et iterum c. 66. *δι' ὀλίγου· ἐξαίφνης.* HAACK.] Nam *ἡ ἐξ ὀλίγου ἀναχώρησις* eadem est quae *αἰφνίδιος.* Thuc. II, 61. *μεταβολῆς μεγάλης καὶ ταύτης ἐξ ὀλίγου ἐμπεσούσης.* IV, 108. *οἱ μὲν Ἀθηναῖοι φυλακὰς ὡς ἐξ ὀλίγου καὶ ἐν χειμῶνι διέπεμπον ἐς τὰς πόλεις.* V, 64. *ἀλλὰ τοῖς μὲν ἐξ ὀλίγου τε ἐγένετο*, ubi schol. Cass. itidem supplet *καιροῦ.* Et c. 71. *ἐν αὐτῇ τῇ ἐφόδῳ καὶ ἐξ ὀλίγου παραγγείλαντι.*“ DUK. „*Ἐξ ὀλίγου* ad loci intervallum referendum.“ AE. PORT. „Vix est quin pro glossemate habeatur *αἰφνιδίῳ* et eiiciatur.“ BAU. Consentiunt Abresch. aliique. Uncos addidit Haack., non item Bekk. et Goell.

Αὐτῶν om. Gr.

Ὅ τι. Reg. *ὅ τι ἄν*, male. Vid. I. 1. p. 137. et Matth. Gr. §. 516. 3.

Εἶτα. Plerique libri (vid. I. 1. p. 421.) *εἶτ'*. Nostrum ante distinctionem (quam Duk. male

νοί τε ἀπέκρυψαν, καὶ σφεῖς ἡσύχαζον, καὶ οὐκ ἐπηκολούθουν, ἐνταῦθα τοὺς ἑαυτῶν στρατηγοὺς αὖθις ἐν αἰτίᾳ εἶχον, τό τε πρότερον καλῶς ληφθέντας πρὸς Ἄργει Λακεδαιμονίους ἀφεθῆναι, καὶ νῦν ὅτι ἀποδιδράσκον-
5 τας οὐδεὶς ἐπιδιώκει, ἀλλὰ καθ' ἡσυχίαν οἱ μὲν σώζονται, σφεῖς δὲ προδίδονται. 6. οἱ δὲ στρατηγοὶ ἐθορυβήθησαν μὲν τὸ παραυτίκα, ὕστερον δὲ ἀπάγουσιν αὐτοὺς ἀπὸ τοῦ λόφου, καὶ προελθόντες ἐς τὸ ὁμαλὸν, ἐστρατοπεδεύσαντο, ὡς ἰόντες ἐπὶ τοὺς πολεμίους.

(β'. Μάχη ἰσχυρὰ μεταξὺ Μαντινείας καὶ Τεγέας, ἐν ᾗ ἡσσῶνται Ἀργεῖοι καὶ οἱ ξύμμαχοι. ξϛ'—οέ. Λακεδαιμόνιοι, τῶν πολεμίων ἐξαίφνης ἐπιφανέντων, κατὰ τάχος ἐς κόσμον τὸν ἑαυτῶν καθίστανται.)

10 ξϛ'. Τῇ δ' ὑστεραίᾳ οἵ τε Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ξυνετάξαντο ὡς ἔμελλον μαχεῖσθαι, ἢν περιτύχωσιν· οἵ τε Λακεδαιμόνιοι, ἀπὸ τοῦ ὕδατος πρὸς τὸ Ἡράκλειον πάλιν ἐς τὸ αὐτὸ στρατόπεδον ἰόντες, ὁρῶσι δι' ὀλίγου

Αὐγ μην. ἀρχομ

1. Ἀπέκρυψαν] ἑαυτοὺς δηλονότι. ἀφανεῖς ἐγένοντο. ἰδίως δὲ ἐπὶ τῶν πλοϊζομένων καὶ οὐκέτι ὁρωμένων λέγεται ὅτι ἀπέκρυψαν. — Σφεῖς] οἱ Ἀργεῖοι. (λ. Αὐγ.) — 2. Αὖθις ἐν αἰτίᾳ εἶχον] ἐμέμφοντο. (λ. Αὐγ.) — 3. Καλῶς ληφθέντας] εὐκαίρως καὶ βεβαίως ἀποληφθέντας. — 5. Οἱ μέν] οἱ Λακεδαιμόνιοι. (λ. Αὐγ.) — 6. Σφεῖς δέ] οἱ Ἀργεῖοι. (λ. Αὐγ.)

ξϛ'. 11. Ἢν περιτύχωσι] τοῖς Λακεδαιμονίοις. (λ. Αὐγ.) — 13. Δι' ὀλίγου] ἐξαίφνης. (λ. Αὐγ.)

post ἀναχ. habet,) praestare putat. Cf. tamen I. 1. p. 218.

Ἀπέκρυψαν. Mosqu. ἐπέκρυψαν. At vid. adnot. Mox G. K. ἐπηκολούθουν.

Αὖθις. H. s. v. γρ. εὐθύς.

Ἐν αἰτίᾳ. Vind. ἐναντία, qui error affuit iam 60, 4.

Πρότερον. Mosqu. πρῶτον.

Καλῶς. C. κακῶς. Mox Pal. rursus σώζονται. Cf. de Art. crit. p. 150.

6. Ἐθορυβήθησαν. It. Vat. H. et in marg. Cl. perperam ἐθορύβησαν.

Προελθόντες. Aug. (in quo tamen σ eras.,) Vat. H. D. I. Mosqu. Ar. Chr. et in marg. Cl. ac Dan. προςελθόντες. „Non recte. Mox cap. sequ. ἀπὸ τοῦ λόφου προσεληλυθότας." DUK. Vulgatam agnoscit etiam Phot. p. 241. Add. Halbkart. ad Xen. Anab. IV, 2, 16.

Cap. LXVI. Μαχεῖσθαι. Dan. μάχεσθαι. Verba οἵ τε Ἀργ. καὶ οἱ ξύμμ. non expressit Valla.

Ἢν περιτύχωσιν. K. ἤνπερ τύχωσιν, non male.

Οἵ τε. I. s. v. ead. man. δέ.

Ἐς τὸ αὐτὸ στρατόπεδον. Cod. Bas. ἐστρατοπέδευον.

Digitized by Google

τοὺς ἐναντίους ἐν τάξει τε ἤδη πάντας, καὶ ἀπὸ τοῦ λόφου προεληλυθότας. 2. μάλιστα δὴ Λακεδαιμόνιοι, ἐς ὃ ἐμέμνηντο, ἐν τούτῳ τῷ καιρῷ ἐξεπλάγησαν· διὰ βραχείας γὰρ μελλήσεως ἡ παρασκευὴ αὐτοῖς ἐγίγνετο· καὶ εὐθὺς ὑπὸ σπουδῆς καθίσταντο ἐς κόσμον τὸν ἑαυτῶν, 5
Ἄγιδος τοῦ βασιλέως ἕκαστα ἐξηγουμένου κατὰ τὸν νόμον. 3. βασιλέως γὰρ ἄγοντος, ὑπ' ἐκείνου πάντα ἄρχεται, καὶ τοῖς μὲν πολεμάρχοις αὐτὸς φράζει τὸ δέον, οἱ δὲ τοῖς λοχαγοῖς, ἐκεῖνοι δὲ τοῖς πεντηκοντῆρσιν, αὖθις δ' οὗτοι τοῖς ἐνωμοτάρχαις, καὶ οὗτοι τῇ ἐνωμοτίᾳ. 358.
4. καὶ αἱ παραγγέλσεις, ἤν τι βούλωνται, κατὰ τὰ αὐ-

1. Ἐν τάξει] παρατεταγμένους. — 2. * * Ἐς ὃ ἐμέμνηντο] μετὰ τὴν τῶν ἀνθρώπων μνημην. (Λουγδ.) — 3. Διὰ βραχείας γὰρ μελλήσεως] χωρὶς ἀναβολῆς καὶ μελλήσεως. — 4. Ἡ παρασκευὴ] ἐφόπλισις. (λ. Αὐγ.) — 5. Ἐς κόσμον] εἰς τὴν σύνταξιν. (λ. Αὐγ.) — 6. Ἐξηγουμένου] ἀντὶ τοῦ διατάττοντος, ἑρμηνεύοντος. — 7. Βασιλέως γὰρ ἄγοντος] ἡγεμονεύοντος. [ὅρα τὴν τάξιν τῆς ἀρχῆς· πρῶτος] βασιλεύς, [δεύτερος] πολέμαρχος, [τρίτος] λοχαγός, [τέταρτος] πεντηκοντὴρ, [πέμπτος] ἐνωμοτάρχης, [ἕκτη] ἐνωμοτία. — 11. Κατὰ τὰ αὐτὰ χωροῦσι] διὰ † τούτων † χωροῦσι καὶ ταχέως

Τάξει τε. Τέ om. incertus Par. Pro πάντας Par. nescio quis πάντες.

2. Μάλιστα δή. Mosqu. μάλιστα δὲ καί. „Legendum videtur μάλιστα δέ. Saepissime quidem Thucydides δή usurpat post superlativos, etiam post μάλιστα. Sed h. l. particula adversativa aptior est, ne dicam necessaria." HAACK. Non displiceret μάλιστα δὲ δή.

Ἐμέμνηντο. Gr. in contextu et marg. ἐμέμνητο.

Βραχείας. Cass. βραχίας. Proximum γὰρ ante βραχ. collocant C. I. (non G., ut Bekk. affirmat.) At vid. I. 1. p. 302.

Μελλήσεως. Mosqu. μελήσεως. „Διὰ βραχ. μελλ. i. e. μετὰ βραχ. *ut parum aut nil temporis superesset ad cunctandum.* In voc. μελλ. autem, si cunctationem notat, non urgeatur haec notio; frigidum enim fuerit *breve tempus erat cunctandi*, quasi cunctandum omnino foret in tali casu. [Verum nos quoque *da durfte man nicht lange zaudern!*] Μελήσεως, quod est in Mosqu., non est Graecum satis. [Habent tamen Schneid. et Pass.]" BAU. Mox in ὑπὸ σπ. aliquantum haeremus. Vid. adnot.

3. Πεντηκοντῆρσιν Cass. Ang. Gl. It. Vat. H. Reg. (G.) F. Gr. D. I. E. K. (nisi quod hic ν ephelc. om.) m. Ar. Chr. Bas. Schol. Haack. Bekk. Goell. In C. πεντηκοντέρσιν. Vulgo male πεντηκοντατῆρσιν. „Xenophonti πεντηκοστῆρες dicuntur." HUDS. Sed etiam πεντηκοντῆρες Anab. III, 4, 21. 22. Hinc corrige Schneid. et Pass. Lex.

Ἐνωμοτάρχαις. Ἐνωμοτάρχοις si malis ob I. 1. p. 220., vid. ad Xenoph. Anab. III, 4, 21.

4. Ἤν τι. Pal. ἦν τὰ.

Digitized by Google

τὰ χωροῦσι, καὶ ταχεῖαι ἐπέρχονται. σχεδὸν γάρ τι πᾶν, πλὴν ὀλίγου, τὸ στρατόπεδον τῶν Λακεδαιμονίων ἄρχοντες ἀρχόντων εἰσὶ, καὶ τὸ ἐπιμελὲς τοῦ δρωμένου πολλοῖς προσήκει.

(Τάξις ἀφράτερων.)

δ ξξ. Τότε δὲ κέρας μὲν εὐώνυμον Σκιρῖται αὐτοῖς καθίσταντο, ἀεὶ ταύτην τὴν τάξιν μόνοι Λακεδαιμονίων ἐπὶ σφῶν αὐτῶν ἔχοντες· παρὰ δ' αὐτοῖς οἱ ἐπὶ Θρᾴκης Βρασίδειοι στρατιῶται καὶ Νεοδαμώδεις μετ' αὐτῶν· ἔπειτ' ἤδη Λακεδαιμόνιοι αὐτοὶ ἐξῆς καθίστασαν τοὺς
10 λόχους, καὶ παρ' αὐτοὺς Ἀρκάδων Ἡραιῆς, μετὰ δὲ τούτους Μαινάλιοι, καὶ ἐπὶ τῷ δεξιῷ κέρᾳ Τεγεᾶται καὶ Λακεδαιμονίων ὀλίγοι, τὸ ἕσχατον ἔχοντες· καὶ οἱ ἱππῆς

διέρχονται. — 1. Σχεδὸν γάρ τοι πᾶν — —] σχεδὸν ἅπαν τὸ τῶν Λακεδαιμονίων στρατόπεδον ἄρχοντες ἀρχόντων εἰσί. — 3. Τὸ ἐπιμελὲς] ἡ ἐπιμέλεια τοῦ πράγματος. (λ. Λύγ.) — Τοῦ δρωμένου] ἀντὶ τοῦ τῶν ἐπιγινομένων, γινομένων.

ξξ'. 5. Σκιρῖται] λόχος Λακωνικὸς οὕτω λεγόμενος. — 8. Βρασίδειοι] οἱ μετὰ Βρασίδου. — ** Νεοδαμώδεις] νεοπολῖται. (Λουγδ.) — 10. Παρ' αὐτούς] πλησίον. (λ. Λύγ.) — Ἡραιῆς] λεγόμενοι δηλονότι. (λ. Λύγ.)

Γάρ τι Cass. Aug. Pal. It. Vat. H. Reg. (G.) F. Gr. B. C. D. I. E. Vind. m. Ar. Chr. Dan. Ald. Flor. Bas. Haack. Bekk. Goell. Vulgo γάρ τοι. Cf. Duk. ad VII, 33.

Πλὴν ὀλίγου. — εἰσίν. „Aristides t. I. p. 387. ed. Cant. [sive p. 211.] ὀλίγων minus eleganter laudat." WASS. C. D. I. ὀλίγον.

Cap. LXVII. Εὐώνυμον. H. τὸ εὐώνυμον. At vid. I. 1. p. 195. Statim Mosqu. Σκιρῖται. Mox Pal. rursus αἰεί. Cf. I. 1. p. 211.

Τὴν τάξιν. Τήν om. Aug. Pal. R. Vat. H. At vid. I. 1. p. 196.

Παρὰ δ' αὐτοῖς. Ar. παρ' αὐτοῖς.

Βρασίδειοι. Aug. (in quo man. rec. corr. in ει,) R. Vat. D. E. m. Ar. Chr. Βρασίδιοι. H. F. I. K., sî Gailius vera tradit, Βραδίσιοι. Cf. c. 71. 72.

Νεοδαμώδεις. Mosqu. Νεοδαμώδαϛ.

Ἐξῆς. Mosqu. εὐθύς.

Καθίστασαν. Mosqu. καθίσταντο, non male. Vid. tamen I. 1. p. 187.

Αὐτούς. E. αὐτοῖς. Mox Ἡραιῆς, ἱππῆς, Μαντινῆς Pal. Bekk. Goell. Vulgo omnia cum ι subscr., in multis libris εις. Cf. I. 1. p. 472 sqq.

Τεγεᾶται καί. Καὶ s. v. H., om. It. Vat. Ante Haack. rursus Τεγεάται.

Οἱ ἱππῆς. Οἱ om. Gr. E. Ante καὶ οἱ paulo plenius interpunximus.

Digitized by Google

αὐτῶν ἐφ' ἑκατέρῳ τῷ κέρᾳ. 3. Λακεδαιμόνιοι μὲν οὕτως ἐτάξαντο. οἱ δ' ἐναντίοι αὐτοῖς, δεξιὸν μὲν κέρας Μαντινῆς εἶχον, ὅτι ἐν τῇ ἐκείνων τὸ ἔργον ἐγίγνετο, παρὰ δ' * αὐτοὺς * οἱ ξύμμαχοι Ἀρκάδων ἦσαν· ἔπειτα Ἀργείων οἱ χίλιοι λογάδες, οἷς ἡ πόλις ἐκ πολλοῦ ἄσκησιν τῶν ἐς τὸν πόλεμον δημοσίᾳ παρεῖχε· καὶ ἐχόμενοι αὐτῶν οἱ ἄλλοι Ἀργεῖοι, καὶ μετ' αὐτοὺς οἱ ξύμμαχοι αὐτῶν, Κλεωναῖοι καὶ Ὀρνεᾶται, ἔπειτα Ἀθηναῖοι ξύσχατοι, τὸ εὐώνυμον κέρας ἔχοντες, καὶ ἱππῆς μετ' αὐτῶν οἱ οἰκεῖοι.

(Ἀριθμὸς Λακεδαιμονίων ἐκ λογισμοῦ τινὸς γιγνόμενος.)

ξη'. Τάξις μὲν ἥδε καὶ παρασκευὴ ἀμφοτέρων ἦν· τὸ δὲ στρατόπεδον τῶν Λακεδαιμονίων μεῖζον ἐφάνη.

2. Οἱ δ' ἐναντίοι] [οἱ] Ἀργεῖοι καὶ οἱ σύμμαχοι [αὐτῶν]. — Αὐτοῖς] τοῖς Λακεδαιμονίοις. (λ. Ἀγ.) — 6. Τῶν ἐς τὸν πόλεμον] τῶν πολεμικῶν. (λ. Ἀγ.) — Δημοσίᾳ παρεῖχε] ἤτοι δημοσίᾳ ἤσκει αὐτούς. ἢ, ὡς τινες, ἐξουσίαν παρεῖχε τοῦ ἀσκεῖν αὐτούς. — 9. Τὸ εὐώνυμον κέρας ἔχοντες] τῶν ἀριστερῶν συντάξεων δηλονότι. (λ. Ἀγ.)

Ἑκατέρῳ. Cass. Aug. ἑκατέρων, quae scriptura in K. superscr., eiusque vestigia etiam in m. comparent.

2. Δεξιὸν μέν. Μέν om. D. E.

Τῇ ἐκείνων. Ar. τῇ ἐκείναν.

Αὐτούς Cass. Aug. Cl. Vat. H. Reg. Gr. B. C. D. k. E. K. m. Ar. Chr. Dan. Ald. Flor. Bas. Steph. 1. Bekk. Goell. Vulgo (et Haack.) αὐτοῖς. „Παρ' αὐτοῦς non minus recte ea significatione, quam hic habere debet, dicitur quam παρ' αὐτοῖς. Thuc. hoc ipso cap. καὶ παρ' αὐτοὺς Ἀρκάδων Ἠραιῆς.“ DUK. At ibi praecedit καθίσαν. (Cf. VI, 67.) „Quod verbum accusativo sane aptius quam nostro loco ἦσαν. Et afferri similiter ex hoc ipso cap. potest exemplum dativi, quam qui non cupide agit, dissimulare non debet παρὰ δ' αὐτοῖς οἱ ἐπὶ Θράκης Βρασ. στρατ. [Nihilo minus] vulgatum iam ipse dixerim abrogandum, quia παρά de [quiete in] loco intelligendum et alibi cum accusativo iungi constat. Cuius tamen usus exemplum nonnisi unum apud Thuc. inveni VII, 39. extr.“ HAACK. Ibi παρά est iuxta, lângs, et accusativus nihil difficultatis habet. Nec παρεῖναι παρά τινα III, 3. comparari potest, Paulo aptiora aliorum scriptorum exempla habet Matth. Gr. §. 588. 4. c. Cf. nos ad Xen. Cyr. I, 4, 18. et maxime in Ind. ad Anab.

Καὶ μετ' — Κλεωναῖοι om. Pal. Solum καί om. K.

Ὀρνεᾶται. Ante Haack. Ὀρνεάται. It. Ὀρναιάναι. Vat. et Lugd. Ὀρναιᾶται. Sic It. H. c. 72. 74. Idemque cum Cl. VI, 7. At vid. I, 2. p. 213.

Ἔσχατοι. Ed. Bas. οἱ ἔσχ.

Cap. LXVIII. Ἐφάνη om. D. I.

Digitized by Google

2. ἀριθμὸν δὲ γράψαι, ἢ καθ' ἑκάστους ἑκατέρων ἢ ξύμπαντας, οὐκ ἂν ἐδυνάμην ἀκριβῶς· τὸ μὲν γὰρ Λακεδαιμονίων πλῆθος διὰ τῆς πολιτείας τὸ κρυπτὸν ἠγνοεῖτο, τῶν δ' αὖ διὰ τὸ ἀνθρώπειον κομπῶδες ἐς τὰ οἰκεῖα πλήθη ἠπιστεῖτο· ἐκ μέντοι τοιοῦδε λογισμοῦ ἔξεστί τῳ σκοπεῖν τὸ Λακεδαιμονίων τότε παραγενόμενον πλῆθος. 3. λόχοι μὲν γὰρ ἐμάχοντο ἑπτὰ, ἄνευ Σκιρι-
359. τῶν, ὄντων ἑξακοσίων· ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες

ξή. 1. Ἑκατέρων] τῶν Λακεδαιμονίων καὶ Ἀργείων. (λ. Αὐγ.) — 3. Διὰ τῆς πολιτείας τὸ κρυπτόν] διὰ τὸ ἔθος εἶναι Λακεδαιμονίοις πάντα κρύφα πράττειν. — 4. Διὰ τὸ ἀνθρώπειον κομπῶδες] διὰ τὸ περὶ τῶν οἰκείων καὶ μάλιστα περὶ τοῦ ἰδίου πλήθους κομπάζειν τοὺς ἀνθρώπους. — 6. Παραγενόμενον πλῆθος —] ἡ πεντηκοστὺς συνίσταται ἀπὸ ἀνδρῶν ἑκατὸν εἴκοσι ὀκτώ· ὁ δὲ λόχος, τούτων τετραπλάσιος, γίνεται ἀνδρῶν πεντακοσίων καὶ δυοκαίδεκα. οἱ δὲ ἑπτὰ λόχοι ἄνδρες τρισχίλιοι πεντακόσιοι ὀγδοήκοντα τέσσαρες. ὥστε μετὰ τῶν ἑξακοσίων Σκιριτῶν γίνονται ἄνδρες οἱ πάντες Λακεδαιμονίων τετρακισχίλιοι ἑκατὸν ὀγδοήκοντα τέσσαρες. ἡ γὰρ πεντηκοστὺς ἑκκαίδεκα εἶχε [τοὺς] πρωτοστάτας· ὁ δὲ λόχος ἑξήκοντα τέσσαρας. οἱ δὲ ἑπτὰ λόχοι γίνονται τετρακόσιοι τεσσαράκοντα ὀκτώ. — 8. Ἐν δὲ ἑκάστῳ λόχῳ πεντηκοστύες ἦσαν δ.] ἔχει ἕκαστος λόχος πεντηκοστύας δ', καὶ γίνονται τῶν ζ' λόχων πεντηκοστύες κη'. ἔχει ἑκάστη πεντηκοστὺς ἐνωμοτίας δ', καὶ γίνονται τῶν κη' πεντηκοστύων ἐνωμοτίαι ριβ'. ἔχει ἑκάστη

2. Ἑκατέρων. D. I. ἀμφοτέρων, ex antecedd.

Ἐδυνάμην. I. δυνάμην, cum ε s. v. et δυναίμην in marg.

Μὲν γάρ. Γάρ om. Lugd.

Τῶν δ' αὖ. C. τὸ δ' αὖ.

Κομπῶδες. „[Ex Thuc.] laudat Poll. IX, 148. et agnoscit Hesych., ut recte observat Hemsterhus." WASS. Comparativum κομπωδέστερος legimus II, 62. G. hic κομπωκομπωδες.

Πλήθη. Cass. Aug. Vind. πλήθει.

Μέντοι. Reg. μέν. Mox Pal. ἔξεστι τῷ.

Τότε παραγενόμενον. H. τὸ περιγενόμενον.

3. Μὲν γάρ. Γάρ om. Dan.

Ἐμάχοντο. E. ἐγένοντο.

Ἑπτά. „Πέντε reponendum censet Meursius Att. Lect. l. I. c. 26. Vide Cragium de Republ. Laced. l. IV. c. 3. et Vales. in not. ad Mauss. in Harpocr. p. 123. [309.]" HUDS. Nituntur hi Schol. ad IV, 8. et Photio, qui scribit: Λόχοι Λακεδαιμονίων δ', ὡς Ἀριστοφάνης· Θουκυδίδης δὲ ε', Ἀριστοτέλης ζ'. At errare eum et Aristotelem quinque lochos meniorasse discimus ex Hesych. Tum Schol. Aristoph. ad Lysi. 454. ὁ δὲ Θουκυδίδης ζ' φησὶ χωρὶς τῶν Νικηριτῶν, ubi Σκιριτῶν legendum cum Valck. ad Herodot. IX, 53. Vide plura in adnot. ad IV, 8.

Σκιριτῶν. E. Σκηριτῶν. Ita F. in fine cap. Utroque loco Σκιτῶν Mosqu. Infra Σκιρτῶν D. At vid. c. 67. et I. 2. p. 200. Ante ἐν δέ et ἐπὶ δέ vulgo puncta, apud alios commata.

Digitized by Google

ἦσαν τέσσαρες, καὶ ἐν τῇ πεντηκοστύϊ ἐνωμοτίαι τέσσαρες. τῆς τε ἐνωμοτίας ἐμάχοντο ἐν τῷ πρώτῳ ζυγῷ τέσσαρες· ἐπὶ δὲ βάθος ἐτάξαντο μὲν οὐ πάντες ὁμοίως, ἀλλ' ὡς λοχαγὸς ἕκαστος ἐβούλετο, ἐπὶ πᾶν δὲ κατέστησαν ἐπὶ ὀκτώ. παρὰ δὲ ἅπαν, πλὴν Σκιριτῶν, τετρακόσιοι καὶ δυοῖν δέοντες πεντήκοντα ἄνδρες ἡ πρώτη τάξις ἦν.

(Παραινέσεις ἑκατέρων.)

ξθ'. Ἐπεὶ δὲ ξυνιέναι ἔμελλον ἤδη, ἐνταῦθα καὶ παραινέσεις καθ' ἑκάστους ὑπὸ τῶν οἰκείων στρατηγῶν τοιαίδε ἐγίγνοντο, Μαντινεῦσι μὲν, ὅτι ὑπέρ τε πατρίδος ἡ μάχη ἔσται, καὶ ὑπὲρ ἀρχῆς ἅμα καὶ δουλείας, τὴν μὲν μὴ πειρασαμένοις ἀφαιρεθῆναι, τῆς δὲ μὴ αὖθις πειρᾶσθαι· Ἀργείοις δὲ, ὑπὲρ τῆς τε παλαιᾶς ἡγεμονίας,

ἐνωμοτία ἄνδρας λβ', ὡς γίνεσθαι τὸν πάντα στρατὸν ἄνδρας τρισχιλίους πεντακοσίους ὀγδοήκοντα τέσσαρας.

Λόχοι	ζ'.	α'.	β'.	γ'.	δ'.	ε'.	ϛ'.	ζ'.
Πεντηκοστύες	κη'.	ν'ν'ν'ν'	ν'ν'ν'ν'	ν'ν'ν'ν'	ν'ν'ν'ν'	ν'ν'ν'ν'	ν'ν'ν'ν'	ν'ν'ν'ν'
Ἐνωμοτίαι	ριβ'.	ιϛ'.	ιϛ'.	ιϛ'.	ιϛ'.	ιϛ'.	ιϛ'.	ιϛ'.

2. ** Ζυγῷ] τάξει. (Λουγδ.)

ξθ'. 8. Ξυνιέναι ἔμελλον ἤδη]. ἀλλήλοις δηλονότι τὰ στρατεύματα. (λ. Αὐγ.) — 11. Τὴν μὲν] τουτέστι τὴν ἀρχήν. ** τὸ ἑξῆς, τὴν μὲν μὴ ἀφαιρεθῆναι πειρασαμένοις. (Λουγδ.) — 12. Τῆς δὲ] τῆς δουλείας. — ** Αὖθις] ὀπίσω. (Λουγδ.)

Καὶ ἐν τῇ — ἐνωμοτ. τέσσαρες om. Gr. E., sed in illo adscr. in marg.

Πεντηκοστύϊ. C. Dan. et in marg. Ar. et Chr. ἑκατοστύϊ, sicut ex corr. etiam K. At vid. Xenoph. de Repbl. Lac. 11, 4. Suid. et Harpocr. in μορῶν.

Τῆς τε. Τέ s. v. K.

Ἐνωμοτίας. Pal. C. Gr. ἐνωμοσίας. Cf. Lob. ad Phryn. p. 521.

Ἐπὶ δέ. Δέ om. cod. Bas.

Λοχαγός. Chr. ὁ λοχαγός, non contra linguam.

Παρά. D. περί. Mox K. τετρακόσοοι.

Cap. LXIX. Ἐπεί. D. I. Mosqu. ἐπειδή.

Ἐγίγνοντο. G. ἐγένοντο.

Ὑπέρ τε. Τέ om. cod. Bas.

Καὶ ὑπέρ. Καί om. Ar.

Μὲν μή. Μή om. C. Πειρασαμένοις virgulis perspicuitatis causa circumdedit Haack.

Τῆς δέ. F. E. τοῖς δέ.

Ὑπὲρ τῆς τε. F. ὑπέρ τε τῆς. Ald. Flor. ed. Bas. Steph. 1. ὑπέρ τε τῆς τε. Neutro loco τε habet Ar.

Digitized by Google

καὶ τῆς ἐν Πελοποννήσῳ κατὰ ἰσομοιρίας, μὴ διὰ παντὸς στερισκομένους ἀνέχεσθαι, καὶ ἄνδρας ἅμα ἐχθροὺς καὶ ἀστυγείτονας ὑπὲρ πολλῶν ἀδικημάτων ἀμύνασθαι· τοῖς δὲ Ἀθηναίοις, καλὸν εἶναι μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων ἀγωνιζομένους μηδενὸς λείπεσθαι, καὶ ὅτι, ἐν Πελοποννήσῳ Λακεδαιμονίους νικήσαντες, τήν τε ἀρχὴν βεβαιοτέραν καὶ μείζω ἕξουσι, καὶ οὐ μή ποτε τις αὐτοῖς ἄλλος ἐς τὴν γῆν ἔλθῃ. 2. τοῖς μὲν Ἀργείοις καὶ ξυμμάχοις τοιαῦτα παρῃνέθη. Λακεδαιμόνιοι δὲ, καθ' ἑκάστους τε, καὶ μετὰ τῶν πολεμικῶν νόμων, ἓν σφίσιν

10. *Μετὰ τῶν πολεμικῶν νόμων*] νόμους πολεμικοὺς λέγει τὰ ἅσματα, ἅπερ ᾖδον οἱ Λακεδαιμόνιοι μέλλοντες μάχεσθαι· ἦν δὲ

Ἐν Πελοποννήσῳ. E. *ἐν τῇ Πελοποννήσῳ.*

Ἰσομοιρίας. I. *ἰσομηρίας*, cum *οι* s. *η*. „Ne impedita sit loci structura, post *ἰσομοιρίας* [cum Duk.] virgula interpungendum est." HAACK. Mirum est non secutos esse Bekk. et Goell., licet iam antecedens enunciatio et locus, quem particula *μή* occupat, hanc rationem suaderet.

Στερισκομένους. In Cass. man. sec. mutatum in *στερισκομένοις.*

Ἀνέχεσθαι. It. Vat. H. *ἀμύνασθαι*, sed in H. s. v. *γρ. ἀνέχεσθαι.*

Ἐχθρούς. G. *καὶ ἐχθρούς.*

Ἀμύνασθαι. It. Vat. H. *ἀνέχεσθαι*, sed in H. s. v. *γρ. ἀνέχεσθαι.* Mox I. *ξυμμαχίαν*, cum *ας* s. *αν.*

Καὶ ἀγαθῶν. Καί om. Mosqu. (de quo falsa narrat Bekk.) Ante *τοῖς δέ* et ante *καὶ ὅτι* apud Duk. puncta. Post *Πελοπ.* Bauerus aliquando comma ponere cogitabat.

Ἄλλος om. Gr.

Ἔλθῃ. Cam. marg. Steph. *ἐπέλθῃ.* E. Mosqu. *ἔλθοι.* Optativum post *οὐ μή* ob praecedens *ὅτι* fortasse aliquis desideret, sicut Sophocles scripsit Phil. 611. *ἔθέσπισεν τάπὶ Τροίας πέργαμα εἰς οὐ μή ποτε πέρσοιεν.* Cf. Matth. Gr. p. 990. Sed ita futuri optativus requireretur. Vulgarem autem particularum *οὐ μή* structuram (de qua Matth. §. 517.) nonnunquam etiam post *ὅτι* servari docet Plutarchus De cap. ex inimic. util. p. 852. E. *ἀλλὰ μεῖζον καὶ κάλλιστον, ὅτι, τῷ δικαίῳ χρῆσθαι καὶ πρὸς ἐχθροὺς ἐθισθέντες, οὐδέποτε μὴ προσενεχθῶμεν ἀδίκως καὶ πανούργως τοῖς συνήθεσι καὶ φίλοις.* (Post *ὅτι quia* Plat. Phaedon. e. 11.)

2. *Ἀργείοις.* H. *ων* s. *οι.* In eodem proximum *καὶ* eras. Verba *τοῖς μὲν Ἀργ.— παρῃνέθη* om. Gr.

Τοιαῦτα Aug. Cl. Pal. It. Vat. H. Reg. (G.) F. Cam. C. I. K. m. Ar. Chr. Dan. Vall. Haack. Bekk. Goell. Vulgo *ταῦτα.* Cf. ad VI, 9.

Παρῃνέθη. Dan. *παρηνέχθη.*

Λακεδαιμόνιοι. Gr. *Λακεδαιμονίων.*

Ἑκάστους τε. Τε om. C.

Πολεμικῶν. F. *πολιτικῶν.* Quae etiam II, 40. et alibi confusa sunt.

Digitized by Google

αὐτοῖς ὧν ἠπίσταντο τὴν παρακέλευσιν τῆς μνήμης ἀγαθοῖς οὖσιν ἐποιοῦντο, εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην πλείω σώζουσαν ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσαν παραίνεσιν.

(Ξύνοδος ἑκατέρων.)

ο'. Καὶ μετὰ ταῦτα ἡ ξύνοδος ἦν, Ἀργεῖοι μὲν καὶ 5
οἱ ξύμμαχοι ἐντόνως καὶ ὀργῇ χωροῦντες, Λακεδαιμό- 360.
νιοι δὲ βραδέως καὶ ὑπὸ αὐλητῶν πολλῶν * νόμου *, ἐγκαθεστώτων οὐ τοῦ θείου χάριν, ἀλλ' ἵνα ὁμαλῶς μετὰ ῥυθμοῦ βαίνοντες προέλθοιεν, καὶ μὴ διασπασθείη

προτρεπτικά. ἐκάλουν δὲ ἐμβατήρια. ἡ δὲ διάνοια· ἕκαστος τῶν Λακεδαιμονίων αὐτοῖς παρεκελεύοντο, ἀγαθοῖς οὖσι, μεμνῆσθαι ὧν μεμαθήκεσαν καὶ ἠπίσταντο. ἐποίουν δὲ τοῦτο ᾄδοντες. — 2. Εἰδότες ἔργων ἐκ πολλοῦ μελέτην — —] εἰδότες ὅτι [τὰ] πλείω σώζεται ὑπὸ τῆς ἐν τοῖς ἔργοις μελέτης, ἐκ πολλοῦ γεγονυίας, ἢ ὑπὸ [τῶν] καλῶς ῥηθέντων λόγων.

ο'. 5. Ἡ ξύνοδος] ἡ ξυνέλευσις τῶν στρατευμάτων. (λ. Αὐγ.) — 6. Ἐντόνως καὶ ὀργῇ χωροῦντες] ἰσχυρῶς καὶ σὺν ὀργῇ. (λ. Αὐγ.) — 7. Ὑπὸ αὐλητῶν] ἤγουν μετά. (λ. Αὐγ.) — 8. Οὐ τοῦ θείου χάριν] ὕμνου δηλονότι. (λ. Αὐγ.) — Ὁμαλῶς] ἠρεμαίως. (λ. Αὐγ.) — 9. Προςέλθοιεν — —] καὶ ὅπως, εἰ προςέλθοιεν, μὴ διασπα-

Ἠπίσταντο. I. ἐπίσταντο, sed in marg. ἠπ.

Μνήμης. C. D. I. γνώμης.

Ἔργων — παραίνεσιν. „Stob. p. 201., qui μελέτη habet." WASS. „Stobaeus omittit participium εἰδότες, nec utitur oratione infinita, ob eamque causam etiam σώζει et παραίνεσις dicit. In eo magis a scriptura, quae in Thuc. est, abit, quod pro ῥηθεῖσαν habet ῥηθέντων. Quae lectio confirmari potest alio loco Thuc. VI, 68. [ubi] καλῶς λεχθέντες λόγοι." DUK. C. ἔργοις, Vind. K. ἔργον, sed hic a man. sec. ἔργων. Πλείω om. F. Pro σώζουσαν Pal. rursus σῴζουσαν.

Cap. LXX. Μετά om. Mosqu.

Ὀργῇ. „Ὁρμῇ in quibusdam exemplaribus Auli Gellii locum hunc citantis l. I. c. 11." HUDS. Consentit Heringa Observv. VI, 54., teste Gottl. „Nec dubium quin et addito ἐντόνως et opposito βραδέως aptius sit ὁρμῇ. Neque vero *irae* sat congrua hic mentio; utut studium quoque, ardorem, vehementiam, nostro notet vocab. ὀργῆς: illud tamen praetulerim." BAU. „Ὁρμῇ idem est quod ἐντόνως et vitium librarii." HAACK. *Hitzig und mit starken Schritten* posuit Heilm., *schnell und hitzig* Jacobi.

Νόμου Cass. Aug. Cl. Pal. It. Vat. G. (in quo et Cass. ῶ s. ōū, in Cass. rec. man. in G. ead. man.) F. cod. Bas. Gr. Vind. m. Haack. In H. I. ὁμοῦ. Vulgo (Bekk. Goell.) νόμῳ cum distinctione aut post ἐγκαθεστώτων aut (apud Goell.) ante νόμῳ. Res dubia. Vid. adnot.

Ἐγκαθεστώτων. F. ἐγκαθεστῶτος.

Προέλθοιεν. „Gellius et Schol. habent προςέλθοιεν." DUK. Ita

αὐτοῖς ἡ τάξις, ὅπερ φιλεῖ τὰ μεγάλα στρατόπεδα ἐν ταῖς προσόδοις ποιεῖν.

(Ἄγιδος ἐπίνοια πρὸς τὸ ἐξισῶσαι τὰ ἑαυτοῦ εὐώνυμον κέρας τοῖς πολεμίοις.)

οα'. Ξυνιόντων δ' ἔτι, Ἄγις ὁ βασιλεὺς τοιόνδε ἐβουλεύσατο δρᾶσαι. τὰ στρατόπεδα ποιεῖ μὲν καὶ ἅπαντα τοῦτο· ἐπὶ τὰ δεξιὰ κέρατα αὐτῶν ἐν ταῖς ξυνόδοις μᾶλλον ἐξωθεῖται, καὶ περιἴσχουσι κατὰ τὸ τῶν ἐναντίων εὐώνυμον ἀμφότεροι τῷ δεξιῷ, διὰ τὸ φοβούμενους προστέλλειν τὰ γυμνὰ ἕκαστον ὡς μάλιστα τῇ τοῦ ἐν δεξιᾷ παρατεταγμένου ἀσπίδι, καὶ νομίζειν τὴν πυκνότητα τῆς ξυγκλήσεως εὐσκεπαστότατον εἶναι· καὶ ἡγεῖ-

σθείη αὐτῶν ἡ τάξις. — 1. Ἐν ταῖς προσόδοις] ἐν ταῖς προσβολαῖς, ἐν ταῖς ἐνώσεσι.

οα'. 6. ** Ἐξωθεῖται] ἐκτείνεται. (Λουγδ.) — 8. Προστέλλειν τὰ γυμνὰ ἕκαστον] ἀντὶ τοῦ σκέπειν καὶ προσάγειν· ἀπὸ μὲν [οὖν] τοῦ στέλλειν καὶ στολὴ ὠνομάσθη· † ἀπὸ † δὲ τοῦ προσάγειν τὸ προστέλλειν δύνασθαι λέγεσθαι. δῆλον δὲ ἀπὸ τοῦ ἀπάγειν [καὶ] ἀποστέλλειν, [προσάγεσθαι.] — 9. Καὶ νομίζειν — —] καὶ νομίζειν τὸ πεπυκνῶσθαι καὶ ὑπ' ἀλλήλων πεφράχθαι εὐσκεπαστότερον, ἤπερ τὸ διεστάναι ὑπ' ἀλλήλων.

F. Cf. Abresch. „Illud rei aptius hoc προσόδοις. Mihi tamen προέλθοιεν placet." BAU. „Pollux III, 92. βαίνοιεν male pro βαίνοντες προέλθοιεν." WASS. Etiam Schol. dubitationem de scriptura movet.

Μεγάλα. Ante Wass. *μέγιστα*, sicut Gr. Lugd., sed nostrum cum Gell. Cass. Cl. Reg. Cam. Gr. Ar. Chr. Dan. marg. Steph. et omnes libri recentius inspecti. Cf. IV, 125.

Προσόδοις. K. m. Ar. Chr. Dan. marg. Steph. *προόδοις*, sed in K. m. s. v. γρ. προσόδοις, et in m. erasum videtur. Gellius *προσόδοις* tuetur, sed *ποιεῖν* ante *ἐν* ponit.

Cap. LXXI. *Δ' ἔτι.* D. I. solum *δέ.*

Τοιόνδε. D. *τοσόνδε*, E. *τοιόνδε τι.* Mox Pal. *δράσαι.*

Τὰ στρατόπεδα. Τά om. Mosqu.

Ποιεῖ μέν. Dan. *μὲν ποιεῖ.*

Ἅπαντα. E. *ἅπαν.*

Περιἴσχουσι. It. Vat. H. *περιϊσχύουσι.* At vid. §. 2. Mosqu. *περιέσχ.* Dan. *περιϊσχοῦσι.*

Τῶν ἐναντίων. Lugd. *ἐναντίον* (sine art.), nescio utrum in contextu an in gloss.

Διὰ τό. C. D. I. *διὰ τούς.*

Προστέλλειν. Cl. *περιστέλλειν.* Nostrum satis defendit imitatio Dionis Cass. XL, 23. Pal. *πρὸς πέλλειν.* Non apte Lugd. interpretatur *προτείνειν.*

Ἐν δεξιᾷ. Ἐν s. v. ead. man. G.

Ξυγκλήσεως Cass. Aug. It. Vat. H. Reg. (G.) Gr. D. I. Bekk. Goell. (nisi quod It. Vat. H. D. I. *σ.* pro *ξ.*) Vulgo *ξυγκλείσεως.* Cf. I. 1. p. 213.

Εὐσκεπαστότατον. E. *εὐσκεπτότατον.*

Digitized by Google

ται μὲν τῆς αἰτίας ταύτης ὁ πρωτοστάτης τοῦ δεξιοῦ κέρως, προθυμούμενος ἐξαλλάσσειν ἀεὶ τῶν ἐναντίων τὴν ἑαυτοῦ γύμνωσιν, ἔκπληξις δὲ διὰ τὸν αὐτὸν φόβον καὶ οἱ ἄλλοι. 2. καὶ τότε περιέσχον μὲν οἱ Μαντινῆς πολὺ * τῷ κέρᾳ * τῶν Σκιριτῶν, ἔτι δὲ πλέον οἱ Λακεδαιμόνιοι καὶ Τεγεᾶται τῶν Ἀθηναίων, ὅσῳ μεῖζον τὸ στράτευμα εἶχον. 3. δείσας δὲ Ἄγις μὴ σφῶν κυκλωθῇ τὸ εὐώνυμον, καὶ νομίσας ἄγαν περιέχειν τοὺς Μαντινέας, τοῖς μὲν Σκιρίταις καὶ Βρασιδείοις ἐσήμηνεν † ἐπεξαγαγόντας † ἀπὸ σφῶν ἐξισῶσαι τοῖς Μαντινεῦσιν· ἐς δὲ τὸ διάκενον τοῦτο παρήγγελλεν ἀπὸ τοῦ δεξιοῦ κέρως

2. Ἐξαλλάττειν ἀεὶ — —] μὴ κατὰ δόρυ τοῦ ἐναντίου ἔχειν τὰ γυμνὰ τοῦ σώματος, τουτέστι τὰ δεξιά. — 4. Περιέσχον] ἐκυκλώσαντο ἐπικάμψαντες. — 9. * * Ἐπεξαγαγόντας] ἐξαπλώσαντας. (Δουγδ.) — 11. Τὸ διάκενον τοῦτο] τὸ ἐν μέσῳ κενόν.

Ἐξαλλάσσειν Haack. Goell. Reliqui ἐξαλλάττειν. Cf. I. 1. p. 210. Statim Pal. rursus *αἰεί*.

Γύμνωσιν. G. cod. Bas. Gr. γνῶσιν, sed in primo *s.* v. ead. man. γρ. γύμνωσιν. „Γνῶσιν e compendio scripturae est.“ DUK.

Οἱ ἄλλοι. Οἱ om. Mosqu.

2. Πολὺ τῷ κέρᾳ Aug. Pal. It. Vat. H. G. (?). cod. Bas. F. C. I. Mosqu. K. Ar. Chr. Dan. Bekk. Goell. In Cass. Reg. (?) D. E. πολὺ τὸ κέρας. Gr. πολὺ τὸ κέρας. Vulgo τῷ κέρᾳ πολύ. „Non solum alio ordine scribi iubent codd., sed [etiam] τὸ κέρως recipiendum, ut περιέχειν, quod non potest cum genitivo iungi, habeat quo referatur. Et pro τῶν Ἀθηναίων fortasse legendum τὸ Ἀθην. vel τὸ τῶν Ἀθην.“ HAACK. Valla: *multum Sciritarum cornu superabant.* Dativum ob περιέχουσι τῷ δεξιῷ §. 1. et περιέσχον τῷ κέρᾳ III, 108. aegre sollicites. In genitivo videtur scriptor analogiam verborum περιγίγνεσθαι et ὑπερέχειν secutus esse.

Μεῖζον. K. μείζω. Ante Haack. rursus Τεγεάται.

3. Δείσας δέ. Δέ om. C.

Ἄγις. Reg. ὁ Ἄγις.

Βρασιδείοις. It. Vat. E. Βρασιδίοις. Cl. τοῖς Βρασιδίοις. Cf. c. 67. C. Βασιδείοις.

Ἐσήμηνεν. Ante Haack. ἐσήμηνεν. Reg. (G.) Gr. ἐσήμαινεν. Lugd. ἐσήμεινεν. Cod. Bas. ἐσήμανεν, quod Xenophonti facilius quam Thucydidi concedendum. Vid. ad Cyr. IV, 5. 36.

Ἐπεξαγαγόντας. „Ἐπί notat *ad hostem.* Quid tamen si scripsit Thucyd. ὑπεξαγαγόντας? quod plane respondeat Latino unice hic apto *subducere.*“ BAU. Cf. Xen. Cyr. III, 3, 60. Quod Haack. commentus est ἐπεξάγειν esse artis militaris vocabulum significans *eine Flankenbewegung machen*, hoc veremur ut demonstrare possit. Aliter ἐπεξάγειν legitur VII, 52. Mox Vind. ἐξισῶσαι.

Ἐς δέ. Ante Haack. εἰς δέ. Cf. I. 1. p. 212. cum Farr. discr. script.

Παρήγγελλεν. D. Mosqu. παρῆγγειλεν.

Digitized by Google

δύο λόχους τῶν πολεμάρχων Ἱππονοΐδᾳ καὶ Ἀριστοκλεῖ ἔχουσι παρελθεῖν, καὶ ἐσβαλόντας πληρῶσαι, νομίζων τῷ θ' ἑαυτῶν δεξιῷ ἔτι περιουσίαν ἔσεσθαι, καὶ τὸ κατὰ τοὺς Μαντινέας βεβαιότερον τετάξεσθαι.

(*Δύο πολεμάρχων Ἀγιδι οὐχ ὑπακουόντων, τὸ εὐώνυμον τῶν Λακεδαιμονίων ἡσσᾶται· τὸ δὲ μέσον τρέπει τοὺς ἐναντίους.*)

οβ'. Ξυνέβη οὖν αὐτῷ, ἅτε ἐν αὐτῇ τῇ ἐφόδῳ καὶ ἐξ ὀλίγου παραγγείλαντι, τόν τε Ἀριστοκλέα καὶ τὸν Ἱπποκοΐδαν μὴ θελῆσαι παρελθεῖν, ἀλλὰ καὶ διὰ τοῦτο τὸ αἴτιαμα ὕστερον φεύγειν ἐκ Σπάρτης, δόξαντας μαλακισθῆναι, καὶ τοὺς πολεμίους φθάσαι τῇ προσμίξει, καὶ κελεύσαντος αὐτοῦ, ἐπὶ τοὺς Σκιρίτας ὡς οὐ παρῆλθον οἱ λόχοι, πάλιν αὖ σφίσι προσμίξαι, μὴ δυνηθῆναι ἔτι μηδὲ τούτους ξυγκλῆσαι. 2. ἀλλὰ μάλιστα δὴ κατὰ πάν-

2. *Πληρῶσαι*] τὸ διάκενον δηλονότι. (λ. *Αὐγ.*) — *Νομίζων τῷ θ' ἑαυτῶν δεξιῷ — —*] *νομίζων τό τε δεξιὸν τῶν Λακεδαιμονίων ἔτι ὑπερέχειν τῶν ἐναντίων, καὶ τὸ εὐώνυμον τὸ κατὰ τοὺς Μαντινεῖς ἐν ἀσφαλείᾳ ἔσεσθαι, ὡς ἂν μὴ δυνάμενον κυκλωθῆναι.*

οβ'. 5. ***Ἅτε*] καθάπερ, ὡσανεί. (*Δουγδ.*) — 7. *Μὴ θελῆσαι παρελθεῖν*] καὶ οἱ πολέμαρχοι οὐκ ἠθέλησαν ἐς τὸ διάκενον ἀγαγεῖν τοὺς λόχους. — 8. *Φεύγειν*] *συνέβη* δηλονότι. (λ. *Αὐγ.*) — *Μαλακισθῆναι*] *χαύνους γενέσθαι.* (λ. *Αὐγ.*) — 9. *Καὶ τοὺς πολεμίους φθάσαι τ. πρ.*] *καὶ φθάσαι τοὺς πολεμίους τοῖς Λακεδαιμονίοις προσμίξαι, πρὶν εἰς τὸ διάκενον παρελθεῖν τοὺς δύο λόχους.* — 10. *Αὐτοῦ*] *τοῦ Ἀγιδος.* (λ. *Αὐγ.*) — *Ὡς οὐ παρῆλθον*] *ἦγον ἐπὶ τὸ μέρος τῶν Σκιριτῶν.* (λ. *Αὐγ.*)

Τῷ θ' ἑαυτῶν. Reg. *τὸ θ' ἑαυτῶν.* F. E. Mosqu. *τῷ μεθ' ἑαυτῶν.* D. I. *τῷ καθ' ἑαυτῶν.*

Τὸ κατά. Τό om. Ar. Chr. Dan.

Τοὺς Μαντινέας. Τούς om. E.

Τετάξεσθαι. Ar. Chr. *τε τάξεσθαι.* Bas. *τεταξεσθαι.* D. I. *τάξασθαι.*

CAP. LXXII. *Ἱπποκοΐδαν.* G. D. I. *Ἱπποκοΐδα.*

Φθάσαι s. v. G. Antea F. *Σπάρτης.*

Κελεύσαντος. Gr. *κελεύοντος*, sed cum superscr. emend. *κελεύσαντος.* Virgula ante Bauer. male post *Σκιρίτας* demum erat. Neutro loco habent Bekk. et Goell. At vid. adnot. Caeterum D. *Σκιρίτας.*

Οὐ παρῆλθον. Οὐ om. Reg. (G.)

Μὴ δυνηθῆναι. D. I. *οὐ δυνηθῆναι* Pessime vulgo (Bekk. Goell.) non post *προσμίξαι*, sed post *ἔτι* interpungitur. Utroque loco distinxit Haack. Melius Reisk. Vid. adnot.

Ξυγκλῆσαι Goell. Reliqui *ξυγκλεῖσαι.* Cf. §. 2. Syllaba *σαι* in K. a sec. man.

Digitized by Google

τα τῇ ἐμπειρίᾳ Λακεδαιμόνιοι ἐλασσωθέντες τότε, τῇ ἀνδρείᾳ ἔδειξαν οὐχ ἧσσον περιγενόμενοι. 3. ἐπειδὴ γὰρ 361.
ἐν χερσὶν ἐγίγνοντο τοῖς ἐναντίοις, τὸ μὲν τῶν Μαντινέων δεξιὸν τρέπει αὐτῶν τοὺς Σκιρίτας καὶ τοὺς Βρασιδείους· καὶ ἐςπεσόντες οἱ Μαντινῆς καὶ οἱ ξύμμαχοι αὐτῶν, καὶ τῶν Ἀργείων οἱ χίλιοι λογάδες, κατὰ τὸ διάκενον καὶ οὐ ξυγκλῃσθὲν, τοὺς Λακεδαιμονίους διέφθειρον, καὶ κυκλωσάμενοι ἔτρεψαν, καὶ ἐξέωσαν ἐς τὰς ἁμάξας, καὶ τῶν πρεσβυτέρων τῶν ἐπιτεταγμένων ἀπέκτεινάν τινας. 4. καὶ ταύτῃ μὲν ἡσσῶντο οἱ Λακεδαιμόνιοι· τῷ δὲ ἄλλῳ στρατοπέδῳ, καὶ μάλιστα τῷ μέσῳ, ᾗπερ ὁ βασιλεὺς Ἄγις ἦν, καὶ περὶ αὐτὸν οἱ τριακόσιοι ἱππῆς καλούμενοι, προςπεσόντες τῶν [τε] Ἀργείων τοῖς πρεσβυτέροις καὶ πέντε λόχοις ὠνομασμένοις, καὶ Κλεω-

1. ** Τῇ ἐμπειρίᾳ] τῇ στρατηγικῇ. (Λουγδ.) — 3. Ἐν χερσὶν ἐγίγνοντο] οἱ Λακεδαιμόνιοι δηλονότι. (λ. Αὐγ.) — 8. Ἔτρεψαν] τοὺς Λακεδαιμονίους. (λ. Αὐγ.) — Ἐς τὰς ἁμάξας] ἀντὶ τοῦ ἔσω τῶν ἁμαξῶν. — 14. Πεντελόχοις] ἅμα ἀναγνωστέον πεντελόχοις, [ὡς ἀρχιλόχοις. (Κασσ. Αὐγ.)].

2. Ἀνδρείᾳ. Cass. Aug. (sed hic a corr.) H. et a pr. man. Gr. cum Bekk. ἀνδρίᾳ. Cf. de Art. crit. p. 153.

Περιγενόμενοι. F. περιγενέσθαι, sed nostrum in marg. ead. man. Malim περιγιγνόμενοι, *se vincere* (*solere*), vel ἂν περιγενόμενοι, *se vincere posse* (Heilm.: dass sie zu siegen wüssten).

3. Μὲν τῶν. Τῶν om. C.

Βρασιδείους. It. H. E. Dan. Βρασιδίους. Cf. c. 67.

Διάκενον. D. διακείμενον. At vid. 71, 3.

Ξυγκλῃσθέν. Vulgo (et Haack.) ξυγκλεισθέν. Cass. Aug. Gr. συγκλησθέν. Nostrum Bekk. Goell. Cf. I. 1. p. 218.

Διέφθειρον. D. I. E. διέφθειραν. K. διέφθηραν, man. sec. διέφθειραν.

Ἐξέωσαν. Mosqu. ἐξώσαν. Proximum ἐς om. C.

Ἐπιτεταγμένων. Cass. τεταγμένων. Sed nostrum valet *in subsidiis collocatorum*. Cf. VI, 67.

4. Τῷ δέ. Δέ plene pro vulg. δ' longe plurimi libri. Vid. I. 1. p. 437. ubi adde cod. Bas.

Ἦν om. Dan., ante Ἄγις ponunt Reg. (G.) cod. Bas. Gr. C. D. E. K. m. Ar. Chr.

Προςπεσόντες. Gr. προςπεσοῦντες, sed nostrum in marg.

Τῶν τε. Τέ de. Cass. Aug. Pal. It. Vat.

Πέντε λόχοις separatim Cl. Reg. Gr. Ar. Chr. al. „atque ita, reclamante licet Scholiaste, legendum esse olim docuit Meursius Att. Lect. l. I. c. 16." HUDS. Wassio iubente ita edidit Duk. Prius πεντελόχοις, „quod Huds. ex edd. praecedentibus dederat, et in Cass. ac Dan. est." DUK. Sic etiam Aug., sed hic eraso accentu super πέν.

ναίοις, καὶ Ὀρνεάταις, καὶ Ἀθηναίων τοῖς παρατεταγμένοις, ἔτρεψαν οὐδὲ ἐς χεῖρας τοὺς πολλοὺς ὑπομείναντας, ἀλλ', ὡς ἐπῄεσαν οἱ Λακεδαιμόνιοι, εὐθὺς ἐνδόντας, καὶ ἔστιν οὓς καὶ καταπατηθέντας, τοῦ μὴ φθῆναι τὴν ἐγκατάληψιν.

(Ἄγεδος τῷ εὐωνύμῳ σφῶν βοηθήσαντος, πᾶν τὸ στράτευμα τῶν ἐναντίων ἐς φυγὴν τρέπεται.)

ογ'. Ὡς δὲ ταύτῃ ἐνεδεδώκει τὸ τῶν Ἀργείων καὶ ξυμμάχων στράτευμα, παρεῤῥήγνυντο ἤδη ἅμα καὶ ἐφ' ἑκάτερα, καὶ ἅμα τὸ δεξιὸν τῶν Λακεδαιμονίων καὶ Τεγεατῶν ἐκυκλοῦτο τῷ περιέχοντι σφῶν τοὺς Ἀθηναίους. καὶ ἀμφοτέρωθεν αὐτοὺς κίνδυνος περιειστήκει, τῇ μὲν κυκλουμένους, τῇ δὲ ἤδη ἡσσημένους· καὶ μάλιστ' ἂν τοῦ στρατεύματος ἐταλαιπώρησαν, εἰ μὴ οἱ ἱππῆς παρόντες αὐτοῖς ὠφέλιμοι ἦσαν. 2. καὶ ξυνέβη τὸν Ἄγιν, ὡς ᾔσθετο τὸ εὐώνυμον σφῶν πονοῦν τὸ κατὰ τοὺς Μαντινέας καὶ τῶν Ἀργείων τοὺς χιλίους, παραγγεῖλαι

2. Οὐδὲ ἐς χεῖρας τοὺς πολλοὺς ὑπομείν.] ἐλθεῖν δηλονότι. — 3. Ἐνδόντας] τραπέντας. (λ. Αὐγ.) — 4. * * Τοῦ μὴ φθῆναι τὴν ἐγκατ.] ὅτι μὴ ἔφθασαν τὸ * ἐγκατειλῆφθαι * ὑπ' αὐτῶν τῶν Λακεδαιμονίων. (Λουγδ.)

ογ'. 9. Ἐκυκλοῦτο] ἐκύκλου. (λ. Αὐγ.) — Τῷ περιέχοντι] τῷ ἰσχυρῷ. (λ. Αὐγ.)

Ὀρνεάταις. It. H. Ὀρναιάταις. Cf. c. 67.

Ἐς. Ante Haack. εἰς ut c. 71.

Ὑπομείναντας. Cod. Bas. ὑπομείνοντας. E. ὑπομένοντας. D. ὑπομείναντες, sed ὑπ. ἐς.

Ἐπῄεσαν. Lugd. ἀπῄεσαν, sed ἐ. τ. α.

Ἐνδόντας, καί. Καί om. E. (qui ἐδόντας?)

Καὶ καταπατηθέντας. Καί om. Gr.

Cap. LXXIII. Καὶ ξυμμάχων. Marg. Steph. καὶ τὸ τῶν ξυμμ.

Παρεῤῥήγνυντο. C. D. I. ἐκεῤῥήγνυντο. At vid. IV, 96. VI, 70. Mosqu. παρεῤῥήγνηντο.

Ἤδη ἅμα. Reg. (G.) δὴ ἅμα.

Τὸ δεξιὸν — τοὺς Ἀθηναίους. „Thom. Mag. in κυκλέω [omissis τῷ περιεχ. σφῶν]." DUK.

Ἐκυκλοῦτο. It. Vat. H. C. ἐκυκλοῦντο.

Αὐτοὺς κίνδυνος. Gr. κίνδυνος αὐτούς.

Περιειστήκει. B. περιεστήκει.

Ἤδη om. It. Mox Aug. ἡσσημένους exarat. Vind. ἡσσομένους.

Οἱ ἱππῆς. G. οἱππης. B. om. οἱ.

2. Τὸ κατά. Τό om. C. I. E.

παντὶ τῷ στρατεύματι χωρῆσαι ἐπὶ τὸ νικώμενον. 3. καὶ γενομένου τούτου, οἱ μὲν Ἀθηναῖοι ἐν τούτῳ, ὡς παρῆλθε, καὶ ἐξέκλινεν ἀπὸ σφῶν τὸ στράτευμα, καθ' ἡσυχίαν ἐσώθησαν, καὶ τῶν Ἀργείων μετ' αὐτῶν τὸ ἡσσηθέν. οἱ δὲ Μαντινῆς καὶ οἱ ξύμμαχοι, καὶ τῶν Ἀργείων οἱ λογάδες, οὐκέτι πρὸς τὸ ἐγκεῖσθαι τοῖς ἐναντίοις τὴν γνώμην εἶχον, ἀλλ' ὁρῶντες τούς τε σφετέρους νενικημένους, καὶ τοὺς Λακεδαιμονίους ἐπιφερομένους, ἐς φυγὴν ἐτράποντο. 4. καὶ τῶν μὲν Μαντινέων † καὶ † πλείους διεφθάρησαν, τῶν δὲ Ἀργείων λογάδων τὸ πολὺ ἐσώθη. ἡ μέντοι φυγὴ καὶ ἀποχώρησις οὐ βίαιος οὐδὲ μακρὰ ἦν· οἱ γὰρ Λακεδαιμόνιοι μέχρι μὲν τοῦ τρέψαι χρονίους τὰς μάχας καὶ βεβαίους τῷ μένειν ποιοῦνται, τρέψαντες δὲ, βραχείας καὶ οὐκ ἐπὶ πολὺ τὰς διώξεις.

(Μέγεθος τῆς μάχης. ἀριθμὸς τῶν ἀποθανόντων.)

οδ'. Καὶ ἡ μὲν μάχη τοιαύτη † καὶ † ὅτι ἐγγύτατα τούτων ἐγένετο, πλείστου * δὲ * χρόνου μεγίστη δὴ τῶν Ἑλληνικῶν, καὶ ὑπὸ ἀξιολογωτάτων πόλεων ξυνελ- 362

1. Ἐπὶ τὸ νικώμενον] μέρος δηλονότι. (λ. Αὐγ.) — 12. Μακρά] ἐπὶ πολὺ διάστημα. (λ. Αὐγ.)

οδ'. 16. ** Ὅτι] λίαν. (Λουγδ.) — 17. Τούτων] τῶν ῥηθέντων. (Λουγδ.) — Πλείστου δὴ χρόνου] ἤγουν διὰ πλείστου. §. ** δὴ μακρά. (Λουγδ.)

Στρατεύματι. Mosqu. στρατοπέδῳ.

3. Ἐν τούτῳ. Haec ante Haack. temere uncis inclusa erant.

Ἡσσηθέν. I. ἡσσημένον.

Καὶ τῶν Ἀργείων. Καί om. D. Mox ἐγκῆσθαι exarat C.

4. Τῶν μέν, Μέν om. Cl.

Καὶ πλείους. Cl. (non, ut Bekk. vult, Chr.) Ar. marg. Steph. οἱ πλείους. Nec καί omnibus placeat.

Διεφθάρησαν. Mosqu. διέφθειραν.

Ἐσώθη. Cl. διεσώθη. Pal. rursus ἐσώθη, et supra ἐσώθησαν.

Ἡ μέντοι om. Ar.

Χρονίους. D. χρονίους τε.

Cap. LXXIV. Τοιαύτη καί. Καί om. I. Pro eo ἤ probabiliter conficit Duk. ad VII, 87.

Ἐγγύτατα. Mosqu. ἐγγυτάτω. Cf. ad III, 40.

Πλείστου δέ. Cass. Aug. Pal. It. Vat. Reg. (G.) F. Gr. K. m. et Schol. in cap. πλείστου δή. Δέ pro δή hic positum esse male putabat Bau.

Ἀξιολογωτάτων. Lugd. τῶν ἀξιολογ.

θαῖσα. 2. οἱ δὲ Λακεδαιμόνιοι, προθέμενοι τῶν πολεμίων νεκρῶν τὰ ὅπλα, τροπαῖον εὐθὺς ἵστασαν, καὶ τοὺς νεκροὺς ἐσκύλευον, καὶ τοὺς αὑτῶν ἀνείλοντο καὶ ἀπήγαγον ἐς Τεγέαν, ὅπερ ἐτάφησαν, καὶ τοὺς τῶν πολεμίων ὑποσπόνδους ἀφέδοσαν. 3. ἀπέθανον δὲ Ἀργείων μὲν καὶ Ὀρνεατῶν καὶ Κλεωναίων ἑπτακόσιοι, Μαντινέων δὲ διακόσιοι, καὶ Ἀθηναίων ξὺν Αἰγινήταις διακόσιοι καὶ οἱ στρατηγοὶ ἀμφότεροι. Λακεδαιμονίων δὲ οἱ μὲν ξύμμαχοι οὐκ ἐταλαιπώρησαν, ὥστε καὶ ἀξιόλογόν τι ἀπογενέσθαι· αὐτῶν δὲ χαλεπὸν μὲν ἦν τὴν ἀλήθειαν πυθέσθαι, ἐλέγοντο δὲ περὶ τριακοσίους ἀποθανεῖν.

(γ'. Λακεδαιμόνιοι οὐ χρῶνται τῇ νίκῃ, ἀναπτῶνται γε μέντοι τὴν παλαιὰν δόξαν.)

οέ. Τῆς δὲ μάχης μελλούσης ἔσεσθαι, καὶ Πλειστοάναξ ὁ ἕτερος βασιλεὺς, ἔχων τούς τε πρεσβυτέρους καὶ νεωτέρους, ἐβοήθησε· καὶ μέχρι μὲν Τεγέας ἀφίκετο, πυθόμενος δὲ τὴν νίκην ἀπεχώρησε. 2. καὶ τοὺς ἀπὸ Κο-

8. Ἐσκύλευον] ἀπεγύμνουν. (λ. Αὐγ.) — 8. Οἱ στρατηγοί] τῶν Ἀθηναίων. (λ. Αὐγ.) — 9. Οὐκ ἐταλαιπώρησαν] οὐ κακῶς ἔσχον ἐν τῷ πολέμῳ. (λ. Αὐγ.) — 10. Ἀπογενέσθαι] ἀποβῆναι. (λ. Αὐγ.) ** ἀποθανεῖν. (Λουγδ.)

2. Προθέμενοι om. F.
Πολεμίων. Vat. πόλεων. Mox Pal. rursus τρόπαιον. Cf. I, 1. p. 214.
Ἵστασαν. It. ἔστασαν. Vat. ἔστασαν. Ar. Chr. Dan. ἔστησαν, ut sexcenties, et, si recte meminimus, praeter VI, 70. fere ubique in hac formula, etiam cum imperfectis ἐσκύλευον et ἀνῃροῦντο IV, 44.
Αὐτῶν. Cass. Aug. Cl. Pal. Gr. m. Chr. Dan. αὑτῶν, quod hic et II, 79. recepissemus (cf. Farr. discr. script.), nisi ἑαυτῶν IV, 44. legeretur. Statim K. ἀνειλοντον.
Τεγέαν. De accentu vid. ad c. 32, 3. Mox Pal. ἀπέδοσαν.
2. Ὀρνεατῶν. It. H. Lugd. Ὀρναιατῶν. Vid. ad. c. 67.
Κλεωναίων. Gr. Κλαιωναίων.
Καὶ Ἀθην. — Αἰγιν. (? διακοσ.?) om. Vind. Αἰγινίταις scribit G.
Ὥστε καί. Καί om. Reg. (G., non Gr., quem Bekk. addit.) Non redundat, ut Bau. scribit, sed significat Lacedaemonios non adeo pressos esse, ut praeter laborem praesentem *etiam* magnam iacturam facerent.
Ἐλέγοντο. D. I. ἐλέγετο. Statim pro δέ H. δ' οὖν, non ineleganter. Cf. Ind. Xen. Anab.
Τριακοσίους. Gr. Chr. τετρακοσίους.
Cap. LXXV. Ἀπεχώρησε. Cass. Aug. Pal. H. et Bekk. in minn.

Digitized by Google

ρίνθου καὶ ἔξω Ἰσθμοῦ ξυμμάχους ἀπέστρεψαν πέμψαντες οἱ Λακεδαιμόνιοι· καὶ αὐτοὶ ἀναχωρήσαντες, καὶ τοὺς ξυμμάχους ἀφέντες, (Κάρνεια γὰρ αὐτοῖς ἐτύγχανον ὄντα,) τὴν ἑορτὴν ἦγον. 3. καὶ τὴν ὑπὸ τῶν Ἑλλήνων τότε ἐπιφερομένην αἰτίαν ἔς τε μαλακίαν διὰ τὴν ἐν τῇ νήσῳ ξυμφορὰν, καὶ ἐς τὴν ἄλλην ἀβουλίαν τε καὶ βραδυτῆτα, ἐνὶ ἔργῳ τούτῳ ἀπελύσαντο, τύχῃ μὲν, ὡς ἐδόκουν, κακιζόμενοι, γνώμῃ δὲ οἱ αὐτοὶ ἔτι ὄντες.

Λύγ. μην.

(4. Ἐπιδαυρίων ἐς τὴν Ἀργείαν ἐσβαλόντων, Ἀργεῖοι καὶ οἱ ξύμμαχοι ἄρχονται Ἐπίδαυρον τειχίζειν.).

4. Τῇ δὲ * προτεραίᾳ * ἡμέρᾳ ξυνέβη τῆς μάχης ταύτης καὶ τοὺς Ἐπιδαυρίους πανδημεὶ ἐσβαλεῖν ἐς τὴν * Ἀρ-

οσ'. 3. Κάρνεια] τὴν ἐπὶ τῷ Ἀπόλλωνι ἑορτὴν λέγει. (λ. Λύγ.)

exempll. ἀπεχώρησεν. Cf. Farr. discr. script.

2. Ἀπέστρεψαν Cass. Aug. Cl. Pal. Vat. Gr. C. K. m. Ar. Chr. Haack. Bekk. Goell. Vulgo ἀπέτρεψαν. „Magis placet ἀπέστρεψαν. Thuc. IV, 97. ἁπαντᾷ κήρυκι Βοιωτῷ, ὃς αὐτὸν ἀποστρέψας.“ DUK. „Recte haud dubie. Ἀποτρέπειν magis notat avertere, dehortari, dissuadere; ἀποστρέφειν autem retro convertere, iubere redire.“ BAU. Scriptura pariter fluctuatur IV, 80. VIII, 108. Cf. etiam ad VI, 18.

Πέμψαντες. E. πάντες, ex compend.

Καὶ τούς. I. τούς τε.

Ἐνύγχανον. E. ἐτύγχανεν. At vid. I. 1. p. 98. ubi noster locus addendus. Dobreum ad Aristoph. Plut. 145. consuli iubet Bekk.

Ἦγον. Ar. Chr. Dan. εἶχον. At vid. §. 5.

3. Τῶν Ἑλλήνων. Τῶν om. Vat. H.

Καὶ ἐς. Ἐς om. Gr.

4. Προτεραίᾳ. Cass. Aug. Cl. It. Vat. Lugd. Mosqu. προτέρᾳ. „Ammonius et Thom. Mag. hoc discrimen statuunt inter προτέρα et προτεραία: προτέρα, ἐπὶ τάξεως· προτεραία δὲ ἐπὶ μόνης ἡμέρας. Itaque ex illorum sententia non recte dicitur τῇ προτέρα ἡμέρᾳ τῆς μάχης. Sed non minus recte dici τῇ προτέρᾳ ἡμέρᾳ quam τῇ προτεραίᾳ ostendit Steph. ex Hom. Il. φ'. v. 5. Od. π'. 50. et ex Aristot. V. Polit. 12. εἰ τῇ προτέρᾳ ἐγένετο τῆς τροπῆς, pridie solstitii vel brumae. Poll. I. 65. φαίης δ' ἂν — καὶ τῇ προτεραίᾳ, καὶ τῇ προτέρᾳ.“ DUK. Cf. id. ad VII, 51. Etiam Xen. Cyr. IV, 2, 6. scriptura incerta est, sed Anab. II, 1, 4. vulgatum προτέρᾳ ex libris correctum.

Ξυνέβη Cass. Aug. Pal. It. Vat. Reg. (G.) F. Gr. D. E. m. Haack. Bekk. Goell. Vulgo συνέβη. „Male. Poetae omnes ξ pro σ passim usurparunt, oratores perraro, Isocrates bis tantum, si libri non fallunt, [Xenophon nonnunquam.] Circa Alexandri Magni tempora usus elementi ξ exole-

Digitized by Google

γείαν *; ὡς ἔρημον οὖσαν, καὶ τοὺς ὑπολοίπους φύλακας τῶν Ἀργείων ἐξελθόντων [αὐτῶν] διαφθεῖραι πολλούς. 5. καὶ Ἠλείων τριςχιλίων ὁπλιτῶν βοηθησάντων Μαντινεῦσιν ὕστερον τῆς μάχης, καὶ Ἀθηναίων χιλίων πρὸς τοῖς προτέροις, ἐστράτευσαν ἅπαντες οἱ ξύμμαχοι οὗτοι εὐθὺς ἐπὶ Ἐπίδαυρον, ἕως οἱ Λακεδαιμόνιοι Κάρ-
863. νεια ἦγον· καὶ διελόμενοι τὴν πόλιν περιετείχιζον. 6. καὶ οἱ μὲν ἄλλοι ἐξεπαύσαντο, Ἀθηναῖοι δὲ, ὥςπερ προσετάχθησαν, τὴν ἄκραν τὸ Ἡραῖον εὐθὺς ἐξειργάσαντο. καὶ ἐν τούτῳ ξυγκαταλιπόντες ἅπαντες τῷ τειχίσματι φρουρὰν, ἀνεχώρησαν κατὰ πόλεις ἕκαστοι. καὶ τὸ θέρος ἐτελεύτα.

B. Χειμών. Κεφ. οϛ'—πα'.

(1. Σπονδαὶ καὶ ξυμμαχία Λακεδαιμονίων καὶ Ἀργείων. οϛ'—οθ'. αἰτίαι τῶν σπονδῶν. Λίχου πρεσβεία.)

οϛ'. Τοῦ δ' ἐπιγιγνομένου χειμῶνος ἀρχο- Ὀλ. ϛ. ἔτ. γ'.

1. Ὡς ἔρημον οὖσαν] τοῦ στρατεύματος. (λ. Αὐγ.) — 8. Ἐξεπαύσαντο] [ἀντὶ τοῦ] ἀπέκαμον [τοῦ περιτειχίζειν.] — 9. ** Τῷ Ἡραῖον] τῆς Ἥρας τὸν ναόν. (Λουγδ.)

visse videtur. Apud Polybium vix invenias. [Revocavit passim Lucian.]" WASS. in Praef. Cf. l. 1. p. 209. cum Farr. discr. script.

Ἀργείαν. It. Vat. F. C. D. I. Mosqu. Ἀργείων, aeque bene.

Ἔρημον. D. ἐρήμην. Ne id quidem falsum. Vid. ad IV, 26.

Ἐξελθόντων. Mosqu. ἐξελθόντας, quod erunt qui non improbent; sed ἐπεξελθόντας esse debebat.

Αὐτῶν inserunt Cass. Aug. Cl. Vat. H. G. Lugd. Cam. C. I. Vind. K. m. Ar. Chr. Dan. marg. Steph. Bened. Haack. Ex quibus Bened. distinctione cum Cam. Ar. Chr. post ἐξελθ. posita refert ad πολλούς, Haack. ad Ἀργείων. Illud ambiguitatem parat, secundum hanc rationem ante ἐξελθ. collocandum erat. Quibus causis Bekk. et Goell. adducti videntur, ut rursus omitterent. Haud facile tamen hic interpretibus originem debuerit. Statim Pal. διαφθῆραι.

5. Ὁπλιτῶν — χιλίων om. C. (ob praeced. τριςχιλ.)

Ἐπὶ Ἐπίδαυρον. Cam. ἐς Ἐπίδαυρον.

Κάρνεια. Ar. Κράνεια hic et passim. At vid. adnot. ad c. 54. Pal. etiam peius Κάρνειαν cum cod. Bas. Verb. Καρν. ἦγ. καί ad marg. reiicit et διελόμενοι om. Lugd.

6. Ἡραῖον. Mosqu. Ἡρεῖον.

Ξυγκαταλιπόντες. Mosqu. ξυγκαταλείποντες. Pal. ξυγκαταλειπόντες. Hoc verbum Schneid. et Pass. Lexicis addendum.

Ἅπαντες om. B. *Coniunctim relicto praesidio communi* interpretatur Bauer.

Digitized by Google

πρὸ Χρ. μένου εὐθὺς οἱ Λακεδαιμόνιοι, ἐπειδὴ τὰ Κάρνεια ἦγα-
νιή· γον, ἐξεστράτευσαν, καὶ ἀφικόμενοι ἐς Τεγέαν, λόγους
Σεπ- προὔπεμπον ἐς τὸ Ἄργος ξυμβατηρίους. 2. ἦσαν δὲ αὐ-
τεμβρ. τοῖς πρότερόν τε ἄνδρες ἐπιτήδειοι, καὶ βουλόμενοι τὸν
ἀρχ. δῆμον τὸν ἐν Ἄργει καταλῦσαι, καὶ ἐπειδὴ ἡ μάχη ἐγεγέ- 5
νητο, πολλῷ μᾶλλον ἐδύναντο πείθειν τοὺς πολλοὺς ἐς
τὴν ὁμολογίαν. ἐβούλοντο δὲ, πρῶτον σπονδὰς ποιήσαν-
τες πρὸς τοὺς Λακεδαιμονίους, αὖθις ὕστερον καὶ ξυμ-
μαχίαν, καὶ οὕτως ἤδη τῷ δήμῳ ἐπιτίθεσθαι. 3. καὶ ἀφι-
κνεῖται πρόξενος ὢν Ἀργείων Λίχας ὁ Ἀρκεσιλάου, πα- 10
ρὰ τῶν Λακεδαιμονίων δύο λόγω φέρων ἐς τὸ Ἄργος,
τὸν μὲν, καθ' ὅ τι εἰ βούλονται πολεμεῖν, τὸν δ', ὡς
εἰ εἰρήνην ἄγειν. καὶ γενομένης πολλῆς ἀντιλογίας, (ἔτυ-
χε γὰρ καὶ ὁ Ἀλκιβιάδης παρὼν,) οἱ ἄνδρες οἱ τοῖς Λα-
κεδαιμονίοις πράσσοντες, ἤδη καὶ ἐκ τοῦ φανεροῦ τολ- 15

ος'. 1. Ἦγαγον] ἐώρτασαν. (λ. Ἀνγ.) — 3. Ἦσαν δὲ αὐτοῖς] ἐν τῷ Ἄργει. (λ. Ἀνγ.) — 4. Ἐπιτήδειοι] φίλοι. (λ. Ἀνγ.) — Τὸν δῆμον] τὴν δημοκρατίαν. (λ. Ἀνγ.) — 6. Πείθειν τοὺς πολλοὺς — ὁμολ.] ἤγουν καταπεῖσαι ὁμολογῆσαι καὶ συνθέσθαι. — 13. Γενομένης πολλῆς ἀντιλογίας] ἐν τῷ Ἄργει. (λ. Ἀνγ.) — 15. Ἠράσσοντες] τὸ τῆς ἑνώσεως. (λ. Ἀνγ.) — Ἐκ τοῦ φανεροῦ τολμῶντες] ἤγουν ἀναισχυντοῦντες καὶ εἰς τὸ φανερὸν λέγοντες. (λ. Ἀνγ.)

CAP. LXXVI. 2. *Πρότερόν τε.* Τέ om. I.

Καὶ ἐπειδή. Καί in marg. habet I. Apud Duk. male punctura praecedit.

Ξυμμαχίαν. I. ξυμμαχίας, cum ν s. ς. Statim in καί si haereas, vid. Herm. ad Vig. p. 772.

Ἤδη om. Lugd.

3. *Ἀργείων* om. Chr.

Λίχας. G. F. C. D. E. Vind. K. Ar. Chr. Dan. *Λείχας*, in K. tamen ε eras. „Vide supra c. 50. VIII, 39. et 43." HUDS.

Δύο λόγω post *Ἄργος* ponunt C. I. K. m. Ar. Chr. Dan. Praeterea Vind. *δύω* contra morem Atticorum. Etiam m. ῶ super ὸ. Pal. *λόγῳ* pro *λόγω*.

Καθότι εἰ — ὡς εἰ. Εἰ utroque loco om. Gr., altero etiam C. Pro priore *εἰ* I. habet *ἦν* (in marg. *ἄν*), pro altero H. *ἂν*. *Ἔσται* supplent Haack. et Goell. (*duas afferebat conditiones, alteram, quemadmodum, si bellum mallent, foret, alteram, quomodo si pacem*), *πολεμήσουσι* et *εἰρήνην ἄξουσι* alii. Adde adnot. ad VI, 88.

Ἄγειν. H. *ἀγοιην.* Deinde Lugd. *καὶ πολλῆς ἀντιλογ. γενομένης.* „Ante *ἔτυχε* Mosqu. repetit *γενομένης*, nil tamen notatur, an omiserit antea." BAU.

Γὰρ καί. m. *καὶ γὰρ καί.*

Ὁ Ἀλκιβιάδης. Ὁ om. Ar. Chr. Dan.

Καὶ ἐκ. C. I. *καὶ οὐκ ἐκ.*

Digitized by Google

μῶντες, ἔπεισαν τοὺς Ἀργείους προσδέξασθαι τὸν ξυμβατήριον λόγον. ἔστι δὲ ὅδε.

(Αἱ σπονδαὶ αὗται.)

οϛ'. „Καττάδε δοκεῖ τᾷ ἐκκλησίᾳ τῶν Λακεδαιμονίων ξυμβαλέσθαι ποττὼς Ἀργείως, ἀποδιδόντας τὼς παῖδας τοῖς Ὀρχομενίοις, καὶ τὼς ἄνδρας τοῖς Μαιναλίοις, καὶ τὼς ἄνδρας τὼς ἐν Μαντινείᾳ τοῖς Λακεδαιμονίοις ἀποδιδόντας, καὶ ἐξ Ἐπιδαύρου ἐκβῶντας, καὶ τὸ τεῖχος ἀναιροῦντας. 2. αἱ δέ κα μὴ εἴκωντι τοὶ Ἀθηναῖοι ἐξ Ἐπιδαύρου, πολεμίους εἶμεν τοῖς Ἀργείοις καὶ

οϛ'. 3. *Καττάδε*] *Δωριστι, [ἀντὶ τοῦ κατὰ τάδε.]* — 7. *Ἐξ Ἐπιδαύρου*] *ἐξελθεῖν δηλονότι.* (λ. *Δώγ.*)

Ξυμβατήριον Pal. It. Vat. m. Steph. Haack. Bekk. Goell. Vulgo *συμβατ.*, operarum, ut videtur, errore. Vid. I. 1. p. 403.

Ὅδε. Gr. *ὁ δέ.*

Cap. LXXVII. *Καττάδε.* Cass. Aug. *κανγάδε.* C. *ἄττα δέ.* D. I. E. *παντα δε*, I. adeo bis deinceps. Gr. Ar. Chr. Dan. *κατὰ τάδε*, repugnante dialecto.

Τᾷ. D. I. K. m. *τῷ* vel *τῶ*, I. in marg. *τό*, Gr. Ar, Chr. Dan. *τῇ.*

Ποττώς. Cass. *πὸτ τὼς.* Aug. a corr. et Gr. *ποτώς.* Pal. Lugd. *ποττῶς.* Lugd. cum al. *πρὸς τούς.* Ar. Chr. *ποτὶ τώς.* „Vid. Eustath. ad Il. *χ'*. p. 828. et Il. *ϙ'*. p. 1106. *πὸτ τῶ Διὸς, ἤγουν πρὸς τοῦ Διός.* Etym. M. coniungit: *Ποττάν, ἀντὶ τοῦ πρὸς τάν, Δωριικῶς. ποττὸ πῦρ, ἀντὶ τοῦ πρὸς τὸ πῦρ*, Posterius est ex Aristoph. Acharn. v. 751., qui ibid. v. 732. *ποττὰν μάδδαν*, Lysistr. v. 1105. *ποττὰν Ἑλλάδα*, v. 1266. *ποττὰς σπονδάς.* Et Theocr. XI, 1. *ποτ τὸν Ἔρωτα.*" DUK. Cf. Matth. Gr. §. 38.

Ἀργείως. C. *Ἀργίως.* Sequitur punctum apud Duk.

Μαιναλίοις. F. *Μαναλίοις.*

Ἐξ om. Gr.

Ἐπιδαύρου hic et statim §. 2. Cass. Aug. Pal. It. Reg. F. Lugd. Gr. C. E. Vind. m. Ar. Chr., altero loco, sed, ut videtur, etiam nostro, D. I. K., duntaxat altero loco H. Vulgo (Haack. Bekk. Goell.) *Ἐπιδαύρῳ.* Cf. I. 1. p. 234.

Ἐκβῶντας. Pal. *ἐκβοῶντας.* Reg. *ἐκβάντας*, quod mavult Fr. Port., sed tempus adversatur, et nostrum satis tuetur Matth. Gr. §. 226. D. I. K. *ἐκβαλόντας.* C. *ἐκβαλόπτες.*

Καὶ τό. *Τό* om. D. I.

2. *Αἱ δέ κα.* Pal. *αἰ δὲ αἰ κα.*

Εἴκωντι. Cass. Aug. It. Lugd. Mosqu. Ar. Chr. *εἴκοντι*, solocce, quum *αἴ κα* valeat *ἐάν.* Pal. *εἴκοντει.* D. *εἴκωντα*, cum *τ* s. d.

Ἀθηναῖοι. D. *Ἀθηναίοις.*

Εἶμεν Cl. It. Reg. (?) cod. Bas. Vind. m. Ar. Bekk. Goell. In Pal. *ειμεν* sine accentu. Mosqu. *εἶμεν.* Cass. Aug. Vat. Gr. *εἰ μέν.* Ex H. G. F. C. I. K. *ει μεν* accentu, ut ubique, non addito affert Gail. Vulgo (et Haack.) *ἦμεν*, non deterius. Cf. Buttm. Gr. §. 108. p. 550. et Matth. Gr.

Digitized by Google

τοῖς Λακεδαιμονίοις, καὶ τοῖς τῶν Λακεδαιμονίων ξυμμάχοις καὶ τοῖς τῶν Ἀργείων ξυμμάχοις. 3. καὶ αἴ τινα τοι Λακεδαιμόνιοι παῖδα ἔχοντι, ἀποδόμεν ταῖς πολίεσι πάσαις. 4. περὶ δὲ τῶ σιῶ * σύματος εἶμεν * λῆν τοῖς

§. 217, p. 415. Sed vid. §. 5. et c. 79.

Καὶ τοῖς Λακεδ. om. Cass. (in quo deinde man. rec. int. vers. scripta,) Pal. Vat. Mosqu. Καὶ τοῖς om. Ar. Chr., solum τοῖς om. Dan., et a man. 2. habet K.

3. Αἴ τινα Cass. Aug. Pal. It. Vat. H. F. C. D. L. E. Vind. m, Ar. Chr. Bar. Ald. Flor. Bas. Steph. 1. Haack. Bekk. Goell. Vulgo ἄν τινα. Καὶ ἄν om. Mosq.

Ἔχοντι Cass. Aug. Cl. Pal. It. H. Reg. Lugd. cod. Bas. Gr. F. Vind. Mosqu. Ar. Chr. Haack. Vulgo (Goell. Bekk.) ἔχωντι, quod defendi potest. Cf. ad αἴ δέ τι δοκῇ §. 9.

Ἀποδόμεν. H. ἀποδόμεναι. D, I. Vind. m. ἀποδῶμεν, sed D. I. in marg. ἀποδόμεν. Cf. §. 4.

Πολίεσι. Lugd. πολίεσσι. Gr. πολέεσσι. Cf. c. 79. ubi boni libri πολίεσσι. Vid. Boeckh. ad Pind. Pyth. VII, sed etiam Buttm. Gr. §. 46. p. 182. * et Matth. Gr. §. 80. adnot. 6.

4. Τῶ σιῶ. Gr. Ar. Chr. τὼ σιώ. C. D. I. τως εω. E. Vind. K. τὼς ἴωσι. Haack. τῶ τῶ σιῶ ex coniectura Valck. Ep. ad Roev. p. 73. et ad Adon. p. 284. Sed hoc non est Graecum, quum nunquam articuli plane eiusdem formae, ut τοῦ τοῦ, τὴν τήν, iuxta ponantur.

Σύματος εἶμεν λῆν. Vulgo συμβατόσαιμεν λῆν. Gr. συμβατόσαι μὲν λην. Reg. (G.) F. συματόσαι μὲν λῆν, sed Reg. (G.) in marg. rec. man. συμβατῶσαι μέν. Cod. Bas. συματῶσαιμεν. Ae. Port. ξυμβατοσέμεν λῆν coniiciebat. Sed Aug. Pal. σύματος εμεν λῆν. Lugd. σύματος αἱμὲν λῆν (cum gl. ἀντὶ τοῦ ζητον Σεμέλην.) Cum Aug. et Pal. consentit Cass., nisi quo ἐμέν, in marg. ἔμεν et γρ. εἰθέλην vel ἐθέλην (nam vix legi poterat) habet. „Erant in eiusdem marg. etiam haec scripta: αἱ μὲν ὗλην τοῖς επι, sed deinde transversa linea traiecta.“ (DUK.) Nostrum ex optt. codd. scriptura eruerunt Reisk. Heilm. (nisi quod ἔμεν pro εἶμεν legi voluit,) et Valck. ad Adon. l. l. (postquam in Ep. ad Roev. coniecerat σύματος σέμεν, i. e. θεῖναι, λῆν.) Receperunt Haack. (nisi quod ἦμεν pro εἶμεν dedit,) Bekk. Goell. „Equidem malim σύματος, αἱ μὲν λῆν τὼς Ἐπιδαυρίως, ὅρκον δόμεναι αὐτοῖς ὁμόσαι.“ BEKK. In It. Vat. H. marg. Vict. σύματος ἐμέλην. (In marg. Vict. tamen adscr. αἱ μὲν ὅλην τοῖς, nisi pro ὅλην sit ὗλην, ut in Cass.) Mosqu. σύγματος ἐμέλην. Ar. σύγματος λῆν. Dan. συμτοι λην. Chr. σύμτολην. C. σύματι εε μεν λῆν. D. I. σύματι εμεν λῆν. E. ματην (μὰ τὴν) Σεμέλην. Vind. μὰ τὸν Σεμέλην. Item K. μὰ τὸν Σεμέλην. Valla: *Qui exigunt ab Epidauriis iusiurandum, id exigant per Semelen.* Cf. adnot.

Τοῖς Ἐπιδαυρίοις. Vind. K. Ar. Chr. Dan. τὸν Ἐπιδαυρίοις. Sic etiam m., quantum per glires licuit videre, quorum dentes hic quoque acerbissime in verba grassati sunt.

Digitized by Google

Ἐπιδαυρίοις ἄρχον, δόμεν δὲ αὐτοὺς ὁμόσαι. 6. τὰς δὲ
364. πόλιας τὰς ἐν Πελοποννάσῳ, καὶ μικρὰς καὶ μεγάλας, αὐτονόμους εἶμεν πάσας κατὰ πάτρια. 6. αἱ δέ κα τῶν ἐκτὸς Πελοποννάσου τις ἐπὶ τὰν Πελοπόννασον γᾶν ἴῃ

Δόμεν Cass. Aug. Pal. It. Vat. Reg. cod. Bas. Gr. I. Mosqu. Haack. Bekk. Goell. In H. *δόμεναι*. Vulgo *δῶμεν*. „[Magis] *δόμεν* [dicunt Dores], quod et hic quidam libri habent, ut paulo ante [fere] omnes *ἀποδόμεν* pro *ἀποδοῦναι*· non *δῶμεν*, nec *ἀποδῶναι*," DUK. Cf. Buttm. Gr. §. 107. not. 27.

Αὐτούς. C. I. Vind. (non quem Bekk. addit, H.) *αὐτοῖς*. „Magis *αὐτοῖς*, ut puto, dicunt Dores, quam *αὐτούς*, ut *καθαρώς*, *ὀφθαλμώς* et alia huiusmodi apud Theocritum." DUK. Vid. tamen I. 1. p. 132.

5. *Πελοποννάσῳ*. Pal. Reg. (G.) *Πελοποννήσῳ*. Cod. Bas. K. *Πελοπονάσῳ*. Vind. *Πελοποννήσῳ*. Cass. Aug. *Πελοσνάσσῳ* et mox *Πελοπονάσσου*, *Πελοπόννασσον*. Gr. ubique cum duplici $\bar{\nu}$ et duplici $\bar{\sigma}$. Cf. ad I, 1.

Πάσας om. Dan. (pro quo Vind. male nominat Bekk.)

Εἶμεν It. Reg. (?) cod. Bas. Gr. Vind. Mosqu. m. Dan. Bekk. Goell. In Pal. *ειμεν* sine accentu. Cass. Vat. *εἰ μέν*, in Cass. tamen corr. *ἦμεν*. Ex H. G. F. D. I. E. K. *ει μεν* apposuit Gail. Vulgo (et Haack.) *ἦμεν*. Cf. §. 2.

Κατὰ in K. a sec. man. In Reg. *κὰτ τά*. Gr. D. Vind. Ar. Chr. Dan. *κατὰ τά*.

6. *Πελοποννάσου*. „Etsi ita in omnibus scriptis et editis est, non dubitem legere *Πελοποννάσω*, ut paulo inferius *ἐκτὸς Πελοποννάσω*. Scio a quibusdam dici, non ubique servari dialectum Doricam; sed nulla causa est, cur in eadem voce servari non debeat. Nec improbabile est saepe scribis librariis, qui communi linguae Graecae magis adsueti erant, tribuendum esse, quod interdum dialecti Doricae ratio non habetur. Cui rei vel sola varietas editionum Theocriti in iisdem vocabulis argumento esse potest," DUK. Nobis in hac quidem re dissentiendum videtur. Cf. I. 1. p. 232.

Τὰν Πελοπόννασον. F. *τὰν Πελοποννάσου*. G. D. I. *τὴν Πελοπόννασον*. Cod. Bas. K. *τὰν Πελοπόνασον*, et antea *Πελοποννάσου*.

